τὸν ἀγαθὸν ἄνδρα ὅ τι ἂν περιθῇ ἡ τύχη. καὶ γὰρ αὕτη, φησὶν ὁ Βίων, ὥσπερ ποιήτρια, ὁτὲ μὲν πρωτολόγου, ὁτὲ δὲ δευτερολόγου περιτίθησι πρόσωπον, καὶ ὁτὲ μὲν βασιλέως, ὁτὲ δὲ ἀλήτου. μὴ οὖν βούλου δευτερολόγος ὢν τὸ πρωτολόγου πρόσωπον· εἰ δὲ μή, ἀνάρμοστόν τι ποιήσεις. σὺ μὲν ἄρχεις καλῶς, ἐγὼ δὲ ἄρχομαι, φησί, καὶ σὺ μὲν πολλῶν, ἐγὼ δὲ ἑνὸς τουτουῒ παιδαγωγὸς γενόμενος, καὶ σὺ μὲν εὔπορος γενόμενος δίδως ἐλευθερίως, ἐγὼ δὲ λαμβάνω εὐθαρσῶς παρὰ σοῦ οὐχ ὑποπίπτων οὐδὲ ἀγεννίζων οὐδὲ μεμψιμοιρῶν. σὺ κέχρησαι τοῖς πολλοῖς καλῶς, ἐγὼ δὲ τοῖς ὀλίγοις· οὐ γὰρ τὰ πολυτελῆ, φησί, τρέφει, οὐδὲ ἐκείνοις μὲν ἔστι μετ' ὠφελείας χρῆσθαι, τοῖς δὲ ὀλίγοις καὶ εὐτελέσι μετὰ σωφροσύνης οὐκ ἔστι καὶ ἀτυφίας. διὸ καὶ εἰ λάβοι, φησὶν ὁ Βίων, φωνὴν τὰ πράγματα, ὃν τρόπον καὶ ἡμεῖς, καὶ δύναιτο δικαιολογεῖσθαι, οὐκ ἂν εἴποι, φησίν, [πρῶτον ἡ πενία, ἄνθρωπε, τί μοι μάχῃ;] ὥσπερ οἰκέτης πρὸς κύριον ἐφ' ἱερὸν καθίσας δικαιολογεῖται 'τί μοι μάχῃ; μή τί σοι κέκλοφα;

---

2 *Βίων*] vid. Tel. rel. p. 40, 2 et quae disserui in prolegomenis Tel. p. XCI sqq. ‖ 3 *δὲ* om. operarius Gesn.² p. 68, inde vulg. | *δευτερολόγου* Meineke: *ὑστερολόγου* M A Tr. ‖ 4 *ἀλεἰτου* A ‖ 5 *εἰ δὲ μὴ* — p. 43, 2. 3 *ἐξέσται σοι* om. M ‖ 6 *σὺ μὲν* — 7 sq. *παιδαγωγὸς γενόμενος*] eodem loco Bionis utitur Teles rel. p. 16, 13 | *καὶ* secludi iubet Nauck ‖ 7 *πολλῶν* ⟨*ἡγῶ*⟩ ci. Wachsmuth ‖ 10 *οὐδὲ ἀγεννίζων* Tr.: *οὐδ' ἀγενίζων* A ‖ 12 *φησὶ* Meineke: *φασι* vel *φασὶ* A Tr. | *τρέφει* scripsi: *τρέφειν* A Tr. | *ἀφελείας* ci. Giesecke ‖ 14 sq. *εἰ λάβοι* — *φωνὴν τὰ πρ.*] exempla huius locutionis collegit Nauck *mél. gr.-rom.* IV p. 663 adn. 61. addi poterit Galenus *περὶ ψ. π. καὶ ἁμ.* p. 69, 18 Marqu. Athen. X p. 418 a, alia ‖ 15 *καὶ ἡμεῖς* Tr. Br: *ἡμεῖς* A ‖ 16 sq. *πρῶτον ἡ πενία* (sic A Br: *ἡ πενία* Tr.) seclusit Wilamowitz *philol. unters.* IV p. 297 adn. 8, *ἄνθρωπε, τί μοι μάχῃ;* Cobet mnemos. IX p. 99. v. *πρῶτον ἡ πενία* defendebat Weber *Leipz. stud.* X p. 162, sed *πρῶτον* illud afuisse videtur ab altera codicum classi. *πρῶτον ὁ Πλοῦτος* ci. Diels *deutsche litteraturzeitung* 1890 p. 1160 ‖ 17 *πρὸς κύριον* A Br: *π̈ κῦ* Tr. ‖ 18 *καθίσας* A Tr.: *καθήσας* Br | ⟨*ἄνθρωπε,*⟩ *τί μοι μάχῃ* Cobet l. c. mihi probabilius infra (39, 3) scribendum esse *πρὸς τὸν ἐγκαλοῦντα* ⟨*ἄνθρωπε,*⟩ *τί μοι μάχῃ;* nam *Paupertatis* orationis exordium supra (16) male praeceptum est | *μή τι* Tr.: *τί* A Br

[redacted]

ὐ πᾶν τὸ προσταττόμενον ὑπὸ σοῦ ποιῶ; οὐ τὴν ἀποφορὰν ὑτάκτως σοι φέρω;' καὶ ἡ Πενία ⟨ἂν⟩ εἴποι πρὸς τὸν γκαλοῦντα 'τί μοι μάχῃ; μὴ καλοῦ τινος δι' ἐμὲ στε-ίσκῃ; μὴ σωφροσύνης; μὴ δικαιοσύνης; ⟨μὴ⟩ ἀνδρείας; ἀλλὰ μὴ τῶν ἀναγκαίων ἐνδεὴς εἶ; ἢ οὐ μεσταὶ μὲν αἱ ὁδοὶ λαχάνων; πλήρεις δὲ αἱ κρῆναι ὕδατος; οὐκ εὐνάς σοι τοσαύτας παρέχω ὁπόση γῆ; καὶ στρωμνὰς φύλλα; ἢ εὐφραίνεσθαι μετ' ἐμοῦ οὐκ ἔστιν; ἢ οὐχ ὁρᾷς γράδια φυστὴν φαγόντα τερετίζοντα; ἢ οὐκ ὄψον ἀδάπανον καὶ ἀπερίεργον παρασκευάζω σοι τὴν πεῖναν; ἢ οὐχ ὁ πεινῶν ἥδιστα ἐσθίει καὶ ἥκιστα ὄψου δεῖται; καὶ ὁ διψῶν ἥδιστα πίνει καὶ ἥκιστα τὸ μὴ παρὸν ποτὸν ἀναμένει; ἢ πεινᾷ τις πλακοῦντα ἢ διψᾷ Χῖον; ἀλλ' οὐ ταῦτα διὰ τρυφὴν ζητοῦσιν ἄνθρωποι; ἢ οἰκήσεις οὐ παρέχω σοι προῖκα, τὸν μὲν χειμῶνα τὰ βαλανεῖα, θέρους δὲ τὰ ἱερά;

---

1 *οὐ πᾶν τὸ* Dobree: *οὐκ ἂν τὸ* A Tr. *οὐ τὸ* Br ex emend. ut videtur ‖ 2 *σοι* in A periit resarto margine | *ἂν* addidit Cobet ‖ 2. 3 *πρὸς τὸν ἐγκαλοῦντα*] ipsa hominis crimina ab epitomatore vel a Telete suppressa breviter nunc verbis *πρὸς τὸν ἐγκαλοῦντα* significari putat Weber l. c. p. 163 ‖ 4 *μὴ* addidi | *ἀνδρείας* Tr.: *ἀνδρίας* A Br ‖ 5 *εἶ; ἢ* Buecheler: *εἴης* A Br Tr. *εἷς* Halm *εἶ* Cobet ‖ 7 *σοι* in marg. add. Br[1] ‖ 8 *ἔστιν* Tr. Br: *ἔστι σοι* (sic) A, hinc *ἔστιν σοι* Gaisford et Meineke | *ἢ οὐχ* A Tr.: *οὐχ* Br ‖ 8. 9 *γράδια φύστην* Toup: *γράδιαφίρτην* A *γραδιοφύρτην* Br *γραδιαι φύρτην* Tr ‖ 10 sq. Xenoph. apomn. I 6, 5: *οὐκ οἶσθ' ὅτι ὁ μὲν ἥδιστα ἐσθίων ἥκιστα ὄψου δεῖται, ὁ δὲ ἥδιστα πίνων ἥκιστα τοῦ μὴ παρόντος ἐπιθυμεῖ ποτοῦ*; partim Xenophontis libros partim Bionis discrepantiam confirmat Socrates Laertii II 27 *καὶ ἔλεγεν ἥδιστα ἐσθίων ἥκιστα ὄψου προσδεῖσθαι, καὶ ἥδιστα πίνων ἥκιστα τὸ μὴ παρὸν ποτὸν ἀναμένειν* a Xenophontis editoribus immerito neglectus. de colore orationis cf. Epicurus ad Menoec. ep. tert. p. 63, 19 sq. et fr. 490 p. 307 Vsener. Laert. IX 19. Plut. Sol. c. 28. Stob. III 1, 23 p. 10 | *οὐχ ὁ* Tr. Br: *οὐχὶ ὁ* A | *πεινῶν* A Br: *πινῶν* Tr. ‖ 12 post *ἀναμένει* praecipit v. *ἢ οἰκήσεις οὐ παρέχω σοι* A ‖ 13 *Χῖον* Nauck (per litt.); *χιόνα* libri quod frustra tuebatur Halm l. c. aliique collato Xenoph. apomn. II 1, 30; aptius poterit comparari Antisthenes ap. Xenoph. conv. IV 41: *ὥσπερ καὶ νῦν τῷδε τῷ Θασίῳ οἴνῳ ἐντυχὼν οὐ διψῶν πίνω αὐτόν* ‖ 13. 14 *διατρυφὴν* A ‖ 14 *ἄνθρωποι* Tr. Br: *οἱ ἄνθρωποι* A ‖ 15 ante *πρῶτον μὲν* per errorem

ποῖον γάρ σοι τοιοῦτον οἰκητήριον, φησὶν ὁ Διογένης, τοῦ θέρους, οἷον ἐμοὶ ὁ παρθενὼν οὗτος, εὔπνους καὶ πολυτελής;' εἰ ταῦτα λέγοι ἡ Πενία, τί ἂν ἔχοις ἀντειπεῖν; ἐγὼ μὲν γὰρ ⟨ἂν⟩ δοκῶ ἄφωνος γενέσθαι. ἀλλ' ἡμεῖς πάντα μᾶλλον αἰτιώμεθα ἢ τὴν ἑαυτῶν δυστροπίαν καὶ κακοδαιμονίαν, τὸ γῆρας, τὴν πενίαν, τὸν ἀπαντήσαντα, τὴν ἡμέραν, τὴν ὥραν, τὸν τόπον. διό φησιν ὁ Διογένης φωνῆς ἀκηκοέναι κακίας ἑαυτὴν αἰτιωμένης,

οὔτις ἐμοὶ τῶνδ' ἄλλος ἐπαίτιος, ἀλλ' ἐγὼ αὐτή.

παράφοροι δὲ πολλοὶ οὐχ ἑαυτοῖς ἀλλὰ τοῖς πράγμασι τὴν αἰτίαν ἐπάγουσιν. ὁ δὲ Βίων, ὥσπερ τῶν θηρίων,

---

habet v. *Περὶ φρονήσεως* i. e. Stobaei capitis tertii inscriptionem Tr. p. 16 mrg, rem explanavi mus. Rh. XXXIX p. 397 | *προῖκα* (sic Buecheler), *τὸν μὲν χειμῶνα* scripsi: *πρῶτον μὲν χειμῶνα* (*χειμῶν* Br Tr.) A Br Tr. *πρῶτον μὲν χειμῶνος* Gaisford qua coniectura recepta *πρῶτον μὲν* secludit Wilamowitz l. c. p. 297 adn. 8 ratione non probabili. ceterum concinnius Teles infra p. 31, 1 Hens. | *τὰ* (ante *βαλ.*) Tr. Br: *εἶτα* A

1 *πῶς γάρ* ci. I. Sitzler *neue philol. rundsch.* 1890 p. 276 ‖ 2 *οἷος* Sitzler l. c. ‖ 3 *λέγοι* Halm l. c.: *λέγει* A Br Tr. | *ἔχοις* A Br: *ἔχεις* Tr. ‖ 4 *ἂν* addidit Meineke | *ἄφωνος* A Br: *εὔφονος* Tr. ‖ 6 *καὶ κακοδ.* A Br Tr.; *τὴν κακοδ.* temere Gesn.[1] p. 20, inde vulg. ‖ 6. 7 *ἀπαντήσαντα* A Br: *ἀπατήσαντα* Tr., inde vulg.; locum recte interpretatur Beving *remarques critiques* (Brux. a. 1833) p. 16 ‖ 9 *οὔτις ἐμοὶ* usque ad fin. om. Tr., inde vulg.; ex A hanc eclogae partem primus edidit Gaisford | *οὔτις — αὐτή*] fluxit versus ex imitatione Homerica Il. I 335 *οὔ τί μοι ὔμμες ἐπαίτιοι, ἀλλ' Ἀγαμέμνων.* cf. Plut. de tranquill. animi p. 477 A (Stob. flor. 24, 15 Mein.) | *τῶνδ'* A Br: *τῶν* Plut. Stob. flor. 24 | *ἄλλος* A Br: *ἄλλων* Plut. Wyttenb. Stobaei libri in flor. 24 | *ἐπαίτιος* A Plut. Stob. flor. 24: *ὑπαίτιος* Br | *αὐτή* A: *αὐτῇ* Br ‖ 10 *παράφρονοι* — 11 *ἐπάγουσιν* delenda censet Wilamowitz l. c. p. 297 adn. 8 | *παράφοροι* Meineke: *παράφρονοι* A Br, vid. Lobeck paral. p. 181; *παράφρονες* vel *παραφρόνιμοι* vel *παραφρόνως* temptaverat Gaisford. vocabulum *παράφοροι* ad Theodorum excerptorem rettulit Diels l. c. ut infra p. 45, 2 *ἐπαῖται.* sed sententia certe Bionea, vide Tel. proleg. p. XX sq. CI sq. | *δὲ ⟨οἱ⟩ πολλοὶ* conieci l. c. p. CVIII ‖ 11 *ὁ δὲ Βίων κτἑ.*] Bionem imitatur Musonius apud Clement. Alex. paed. III s. 35: vid. Wendland quaest. Muson. p. 64 sq. Bionem redolet etiam Epicteteum illud ench. c. 43: *πᾶν πρᾶγμα δύο ἔχει λαβάς, τὴν μὲν φορητήν, τὴν δὲ ἀφόρητον*

[redacted]

ησί, παρὰ τὴν λῆψιν ἡ δῆξις γίνεται, κἂν μέσου τοῦ φεως ἐπιλαμβάνῃ, δηχθήσῃ, ἐὰν τοῦ τραχήλου, οὐδὲν είσῃ· οὕτω καὶ τῶν πραγμάτων, φησί, παρὰ τὴν ὑπόηψιν ἡ ὀδύνη γίνεται, καὶ ἐὰν μὲν οὕτως ὑπολάβῃς περὶ ὐτῶν, ὡς ὁ Σωκράτης, οὐκ ὀδυνήσῃ, ἐὰν δὲ ὡς ἑτέρως, ιάσῃ, οὐχ ὑπὸ τῶν πραγμάτων ἀλλ' ὑπὸ τῶν ἰδίων ρόπων καὶ τῆς ψευδοῦς δόξης. διὸ δεῖ μὴ τὰ πράγματα ειρᾶσθαι μετατιθέναι, ἀλλ' αὑτὸν παρασκευάσαι πρὸς ὐτά πως ἔχοντα, ὅπερ ποιοῦσιν οἱ ναυτικοί· οὐ γὰρ οὺς ἀνέμους καὶ τὴν θάλατταν πειρῶνται μετατιθέναι, λλὰ παρασκευάζουσιν αὑτοὺς δυναμένους πρὸς ἐκεῖνα τρέφεσθαι. εὐδία, γαλήνη· ταῖς κώπαις πλέουσι. κατὰ ὺν ἄνεμος· ἐπῆραν τὰ ἄρμενα. ἀντιπέπνευκεν· ἐστείαντο [μεθείλαντο]. καὶ σὺ πρὸς τὰ παρόντα χρῶ. γέρων έγονας· μὴ ζήτει τὰ τοῦ νέου. ἀσθενὴς πάλιν· μὴ ζήτει ὰ τοῦ ἰσχυροῦ [φορτία βαστάζειν καὶ διατραχηλίζεσθαι],

---

2 ἐπιλαμβάνῃ Cobet l. c. p. 99: ἐπιλαμβάνοις A Br ἐπιλαμβάνῃς acite Gaisford | δήχθήσῃ dupl. acc. sed priore deleto A[1] || 3 πείσῃ, d ει in corr. Br || 5 ὡς ὁ Σωκράτης A Br; ὥσπερ ὁ Σ. tacite ripsit Gaisford. delet verba Nauck. an epitomatoris sunt? cf. Tel. rel. 43, 18 | ἐὰν δὲ οὕτως [ἑτέρως] proponit Nauck (per litt.) baud scio an cte. cf. p. 44, 13 || 6 οὐχ ὑπὸ τ. πρ.] Arr. Epict. ench. c. 5: Ταράσσει ὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων γματα, sed totum caput dignum quod comparetur nec non similes loci diatribis | οὐχ A: οὐχὶ Br || 8 αὑτὸν tacite Meineke: αὐτὸν A Br || 9 πρὸς ταῦτα πῶς ἔχ. libri, hoc non recte defendit Meineke: πρὸς ὐτά πως ἔχ. Arnim frustra hic et alibi Stoicae doctrinae vestigia odotus Gött. gel. anz. 1890 p. 124, προς ταῦτα ἴσως ἔχοντα coll. p. 43, 1 els l. c. || 10 πειρῶνται sed ω̃ in ras. A || 11 αὑτους tacite Gaisford: τοὺς A Br || 12 στρέφεσθαι (sic ut tacite Gaisford) Br: τρέφεσθαι || 14 μεθείλαντο expunxit Cobet l. c. p. 99 tanquam ineptam dittoaphiam; καθείλαντο ci. Nauck non recte, cola pari fere syllabarum mero exaequata sunt | καὶ σὺ — χρῶ] 'debuit Teles aut πρὸς τὰ π. ρα scribere aut χρῶ si scripsit, addere dativum; hunc fortasse glosma expulit (τῇ αὐτῇ μεθόδῳ καὶ σὺ —)': Buecheler || 16 φορτία αστάζειν καὶ διατραχηλίζεσθαι seclusit Wilamowitz l. c. p. 297 adn. 8 t male praecepta ex eis quae narrantur de Diogene

ἀλλ' ὥσπερ Διογένης, ἐπεί τις ὤθει καὶ ἐτραχήλιζεν ἀσθενῶς ἔχοντα, οὐ διετραχηλίζετο, ἀλλὰ δείξας αὐτῷ τὸν κίονα 'βέλτιστε' ἔφη 'τοῦτον ὤθει προσστάς'. ἄπορος πάλιν γέγονας· μὴ ζήτει τὴν τοῦ εὐπόρου δίαιταν, ἀλλ' ὡς πρὸς τὸν ἀέρα φράττῃ (εὐδία, καὶ διεστείλω· ψῦχος, συνεστείλω), οὕτω καὶ πρὸς τὰ ὑπάρχοντα· εὐπορία, διάστειλον· ἀπορία, σύστειλον. ἀλλ' ἡμεῖς οὐ δυνάμεθα ἀρκεῖσθαι τοῖς παροῦσιν, ὅταν καὶ τρυφῇ πολὺ διδῶμεν, καὶ τὸ ἐργάζεσθαι .... αἱ κρίνωμεν καὶ τὸν θάνατον ἔσχατόν [τι] τῶν κακῶν. ἐὰν δὲ ποιήσῃ καὶ τῆς ἡδονῆς καταφρονοῦντά τινα, καὶ πρὸς τοὺς πόνους μὴ

---

1 *ἐπεί τις* A: *ἐπεί τις αὐτον* (sic) Br: *ὅς ἐπεί τις* scripsit Meineke postea coniciens fortasse in fine enuntiati aliquid excidisse. at recte monuit Haupt opusc. III p. 638: 'neglegentius loquitur Teles, sed ut facile tamen intellegatur hoc eum velle, *fac ut Diogenes*'. quamquam Teleti an epitomatori neglegentia tribuenda sit hic ut alibi haesites ‖ 1. 2 *ἐτραχήλιζεν — διετραχηλίζετο* (sic ut corr. Gaisford) Br: *ἐτραχηλίαζεν — διετραχηλιάζετο* A ‖ 3 *τὸν* Br: *τὴν* A; v. *τὸν κίονα κτὲ.* recte interpretati sunt Beving et Haupt, deerravit Meineke | *ἔφη* A: *φησὶ* Br | *προσστάς* Haupt scite monens verbum palaestrae esse videri coll. Plat. Phileb. p. 41 B: *πρὸς τάδε* A *προστάς* Br | *ἄπορος* (sicut scripsit Gaisford) Br: *ἄπ* quattuor litteris erasis A ‖ 5 *φράττῃ* A: *πράττων* (*π* in ras., *ων* ex *η* (?) corr. Br[1]) Br | *εὐδία — συνεστείλω* in parenthesi dictum esse perspexit Meineke | *εὐδία* A: *εὔνοια* (*νο* in ras.) Br | *καὶ* delendum iudicat Meineke ‖ 6 *ψῦχος* Gaisford: . *ῦχ*. (vocabuli prima litt. et extrema eras.) A *ψύχους* Br | *συνεστείλω* A: *καὶ συνεστείλω* Br ‖ 6. 7 *οὕτω καὶ πρὸς τὰ ὑπάρχοντα· εὐπορία, διάστειλον, ἀπορία, σύστειλον* ante Hauptium Cobet l. c. p. 99: *οὕτω καὶ πρὸς τὰ ὑπάρχοντα δι' εὐπορίαν διάστειλον, ἀπορίαν καὶ .... ειλον* (ante *ειλον* quattuor litteris erasis sed servato ut videtur accentu) A *οὕτω καὶ πρὸς τὰ ὑπάρχοντα δι' εὐπορίαν, διάστειλον ἀπορίᾳ καὶ σύστειλον* Br ‖ 7 *ἀλλ' ἡμεῖς* usque ad fin. om. Br ‖ 9 *διδῶμεν* Iacobs lect. Stob. p. 45: *δίδωμεν* | ante *αἱ* (?) tres vel quattuor litt. quae hodie dignosci nequeunt A: *ταλαιπωρεῖσθαι κρ.* ci. Iacobs l. c. excedens spatium, *ζημίαν* (vel *ζημιοῦσθαι*) *κρ.* Meineke, cui cupidius obloquitur Cobet l. c.; exspectaveram *ἀνιᾶσθαι* vel *ἀηδίαν* sim. *κακον* proposuit Buecheler, *αἰκίαν* Wachsmuth ‖ 10 *τι* secludendum esse ante Cobetum vidit Meineke ‖ 10. 11 *ἐὰν δὲ — καταφρονοῦντά τινα*] *quando te ipsum ita comparaveris ut et voluptatem contemnas* exspectat

διαβεβλημένον, καὶ πρὸς δόξαν καὶ ἀδοξίαν ἴσως ἔχοντα, καὶ τὸν θάνατον μὴ φοβούμενον, ὅ τι ἂν θέλῃς ἐξέσται σοι ἀνωδύνῳ ὄντι ποιεῖν. διὸ ἅπερ λέγω, οὐχ ὁρῶ πῶς αὐτὰ τὰ πράγματα ἔχει τι δύσκολον, ἢ γῆρας ἢ πενία ἢ ξενία. οὐκ ἀηδῶς γὰρ Ξενοφῶν 'ἐάν σοι' φησί 'δείξω δύο ἀδελφῶν τὴν ἴσην οὐσίαν διελομένων τὸν μὲν ἐν τῇ πάσῃ ἀπορίᾳ, τὸν δὲ ἐν εὐκολίᾳ, οὐ φανερὸν ὅτι οὐ τὰ χρήματα αἰτιατέον ἀλλ' ἕτερόν τι;' οὕτως ἐάν σοι δείξω δύο γέροντας, δύο πένητας, δύο φεύγοντας, τὸν μὲν ἐν τῇ πάσῃ εὐκολίᾳ καὶ ἀπαθείᾳ ὄντα, τὸν δὲ ἐν τῇ πάσῃ ταραχῇ, οὐ φανερὸν ὅτι οὐ τὸ γῆρας, οὐ τὴν πενίαν, οὐ τὴν ξενίαν αἰτιατέον ἀλλ' ἕτερόν τι; καὶ ὅπερ Διογένης ἐποίησεν πρὸς τὸν πολυτελῆ φάμενον πόλιν εἶναι τὰς

Cobet l. c. p. 100. num ἐὰν δὲ ⟨τὸν τρόπον⟩ ποιήσῃ — καταφρονοῦντά [τινα] coll. Tel. p. 26, 10? subiectum fuisse ἀτυφία vel huius similem vocem suspicatur Buecheler. sed emendatio incerta: dormitavit epitomator | καταφρονοῦντα sed ut φρονοῦντα hodie difficile sit lectu A

2 ὅ τι ἂν ante Meinekium Iacobs lect. Stob. p. 45: ὅτι ἐὰν A || 3 inde a verbis ἀνωδύνω ὄντι incipit rursus M f. 5^{r-v}, unde descripsit Gesn.[2] p. 18 sqq. *Musonii* esse haec suspicatus, quo errore deceptus est Peerlkamp Musonii Rufi rel. p. 185 sqq. | διὸ ἅπερ M^d A: δι' ἅπερ ci. Nauck || 4 ἔχει, sed οι superscr. A^1 ἔχοι M^d || 4. 5 πενία ἢ ξενία tacite Gesn.[2] l. c., inde vulg.: πενίαν ἢ ξενίαν M^d A || 5 Xenoph. conv. IV 35 || 7 τὸν δὲ ἐν ⟨τῇ πάσῃ⟩ εὐκολίᾳ dubitanter ci. Meineke, quod verum videtur || 9 δύο γέροντας, δύο πένητας scripsi coll. p. 40, 6. 43, 4. 11: δύο πένητας δύο γέροντας M^d A || 11 ὅτι οὐ (sic ut tacite scr. Gesn.[2]) A: ὅτι M^d | οὐ τὴν πενίαν, οὐ τὸ γῆρας coniecit Meineke: tu vide ad 9 || 11. 12 οὐ τὴν ξενίαν Meineke: καὶ τὴν ξενίαν M^d A | 12 fortasse καθάπερ vel καθάπερ ⟨καὶ⟩ Δ., nisi malis traicere ὅπερ καὶ | Διογένης] eadem fere de Socrate narrat Plutarchus de tranquill. animi p. 470 F: ὁ Σωκράτης ἀκούσας τινὸς τῶν φίλων λέγοντος ὡς πολυτελὴς ἡ πόλις· μνᾶς ὁ Χῖος οἶνος· ἡ πορφύρα τριῶν μνῶν· τοῦ μέλιτος ἡ κοτύλη πέντε δραχμῶν· λαβὼν αὐτὸν προσήγαγε τοῖς ἀλφίτοις, ὀβολοῦ τὸ ἡμίεκτον, εὐτελὴς ἡ πόλις· εἶτα κτὲ. Aristonem Chium ut videtur secutus. cf. R. Heinze mus. Rh. XLV p. 508 sqq. cognata his sed leviora offerunt Laertius VI 35 extr., Arrianus Epict. Stobaei flor. 97, 28 Mein. (cf. Tel. prol. p. XCIV sq.), gnomol. Vatic. 495. vide praeterea Bernays *Phokion* p. 115 Duemmler *Akad.* p. 9

Ἀθήνας· λαβὼν γὰρ αὐτὸν ἦγεν εἰς τὸ μυροπωλεῖον καὶ ἐπυνθάνετο πόσου τῆς κύπρου ἡ κοτύλη. 'μνᾶς' φησὶν ὁ μυροπώλης· ἀνέκραγε 'πολυτελής γε ἡ πόλις'. ἀπῆγεν αὐτὸν πάλιν εἰς τὸ μαγειρεῖον καὶ ἐπυνθάνετο πόσου τὸ ἀκροκώλιον. 'τριῶν δραχμῶν'· ἐβόα 'πολυτελής γε ἡ πόλις'. εἰς τὰ ἔρια πάλιν τὰ μαλακὰ καὶ πόσου τὸ πρόβατον. 'μνᾶς' φησίν· ἐβόα 'πολυτελής γε ἡ πόλις'. 'δεῦρο δή' φησί. κἀνταῦθα ἄγει αὐτὸν καὶ εἰς τοὺς θέρμους. 'πόσου ἡ χοῖνιξ;' 'χαλκοῦ' φησίν· ἀνέκραγεν ὁ Διογένης 'εὐτελής γε ἡ πόλις'. πάλιν εἰς τὰς ἰσχάδας, 'δύο χαλκῶν'· 'τῶν δὲ μύρτων;' 'δύο χαλκῶν'· 'εὐτελής γε ἡ πόλις'. ὃν τρόπον οὖν ὧδε οὐχ ἡ πόλις εὐτελὴς καὶ ⟨πολυτελής, ἀλλ' ἐὰν μὲν οὕτω ζῇ⟩ πολυτελής, ἐὰν δὲ οὕτως, εὐτελής, οὕτω καὶ τὰ πράγματα, ἐὰν μὲν αὐτοῖς οὕτω χρῆται, εὐπετῆ καὶ ῥᾴδια φανεῖται, ἐὰν δὲ οὕτως, δυσχερῆ. — Ἀλλ' ὅμως δοκεῖ μοι ἔχειν τι ἡ πενία δυσχερὲς καὶ ἐπίπονον· καὶ μᾶλλον ἄν τις ἐπαινέσαι τὸν μετὰ πενίας εὐκόλως ⟨τὸ⟩ γῆρας ἐνεγκόντα ἢ τὸν μετὰ πλούτου. — Καὶ τί ἔχει δυσχερὲς ἢ ἐπίπονον ἡ πενία; ἢ οὐ Κράτης

---

10 *εἴς* (sic) A || 12 *ὦδε* M[d] *ὧδε* A; *τῷδε* Meineke. recte illud defendit Blass *lit. centralbl.* 1890 nr. 30, item I. Sitzler *neue philol. rundsch.* 1890 p. 276 sq., qui in proximis *ἀλλ' ἐὰν μέν τις οὕτω ζῇ* suppleri vult (*φανεῖται* quod in proecdosi minus apte addideram deleto) fortasse recte. nam sic *τις* pronomine in versu 14 poterit careri || 12 *οὐχ* seclusit Cobet l. c. p. 100, non recte || 12. 13 *πολυτελής, ἀλλ'* (*ἀλλ'* recte Wachsmuth) *ἐὰν μὲν οὕτω ζῇ* addidi; *ante ἐὰν δὲ uidetur legendum ἐὰν μὲν γὰρ οὕτω τὶς ζήσῃ uel simile quid* Gesnerus addend. ed. sec., quod supplementum in textum recepit ed. tert. p. 19, inde vulg. vulgatam retinuit Schow p. 40, nisi quod rectius dedit *ἐαν μὲν γὰρ οὕτω τὶς ζήσῃ, π ο λ υ τ ε λ ὴ ς, ἐὰν δὲ κτέ.* verum hoc visum est Gaisfordo, cuius neglegentia imposuit Meinekio aliis || 13 *οὕτως* (ante v. *εὐτελής*) A: *οὕτω* M[d] || 14 *μὲν αὐτοῖς* M[d] A; *μέν τις αὐτοῖς* tacite Gesn.[2], inde vulg. num *μὲν αὐτοῖς ⟨τις⟩*? || 15 *οὕτως* M[d] A || 16 *ἀλλ' ὅμως* — 18 *μετὰ πλούτου* interloculoris sunt || 17 *ἐπανέσαι* M[d]: *ἐπαινέσῃ* A; *ἐπανέσειε* tacite Gesn.[2], inde vulg.; cf. Tel. proleg. p. XXI || 18 *τὸ* addidi fortasse non necessario, cf. p. 45, 10 | *ἐνεγκόντα* infra libri: *ἐνέγκαντα* hoc loco M[d] A || 19 *καὶ τί* coniecit Gesn.[2] p. 19 mrg: *καὶ*

καὶ Διογένης πένητες ἦσαν; καὶ πῶς ῥᾳδίως διεξήγαγον; ἄτυφοι γενόμενοι καὶ ἐπαῖται καὶ διαίτῃ εὐτελεῖ καὶ λιτῇ δυνάμενοι χρήσασθαι. ἀπορία καὶ δάνεια περιέστηκεν· κόγχον καὶ κύαμον συνάγαγε, φησὶν ὁ Κράτης, καὶ τὰ τούτοις πρόσφορα· κἂν τάδε δράσῃς, ῥᾳδίως στήσεις τρόπαιον κατὰ πενίας. ἢ τί δεῖ μᾶλλον ἐπαινέσαι τὸν μετὰ πενίας εὐκόλως ⟨τὸ⟩ γῆρας ἐνεγκόντα ἢ τὸν μετὰ πλούτου; ἐπεί τοι οὐδὲ γνῶναι ῥᾳδιέστερόν ἐστι, ποῖόν τι ἐστὶ πλοῦτος ἢ ποῖόν τι πενία· ἀλλὰ καὶ πλούτῳ πολλοὶ μετὰ γήρως δυσκόλως χρῶνται καὶ πενίᾳ ἀγεννῶς καὶ ὀδυρτικῶς· καὶ οὔτε τούτῳ ῥᾴδιον, ὥστε τῷ πλούτῳ ἐλευ-

---

ἔτι M^d A; similiter Teles p. 18, 14 *καὶ πῶς ἂν εἴη κτέ.* post verba adversarii, item p. 24, 3 Hens.

1 *διήγαγον* rescribi iubet Cobet l. c. p. 100, cuius auctoritate ne quis fallatur, conferatur Aristo Chius Theophili ad Autol. III 7 p. 206 Otto (Meineke hist. cr. com. p. IX), ut taceam de Chrysippo aliis ‖ 2 *ἐπαίται* A: *αἰτῆσαι* M^d; *αἰτηταὶ* ci. Peerlkamp. v. *καὶ ἐπαῖται* tamquam dittographiam (ante *καὶ διαίτῃ*) secludi iubet Wilamowitz l. c. p. 297 adn. 8: neque enim ideo laetos degisse illos, quod essent mendici. at conferatur Ps.-Plut. an vitios. p. 499 C: *ἀλλ' ἐξ οὐσίας λαμπρᾶς καὶ οἴκου καὶ τραπέζης καὶ πολυτελείας εἰς τρίβωνα καὶ πήραν καὶ προσαίτησιν ἐφημέρου τροφῆς κατάξεις* (sc. *Τύχη*); *ταῦτα εὐδαιμονίας ἀρχαὶ Διογένει, ταῦτα ἐλευθερίας Κράτητι καὶ δόξης.* ratione vere Cynica vel mendicatio hoc loco numeratur inter *εὐδαιμονίας ἀρχάς.* ambigitur autem *αἰτῆσαι* praestet an *ἐπαῖται*, nam et simplex *αἰτεῖν* et *ἐπαίτης* dicitur de Cynico: Arr. diss. Epict. III 22, 10. 89. codici A favet collocatio verborum et concinnitas ‖ 4 *συνάγαγε* M^d: *συνήγαγε* A; *σύναγε* (malim *ξύναγε*) scripsit Bergk inter Cratetis poematia referens verba *κόγχον καὶ κύαμον σύναγε* p. l.⁴ II p. 368 fr. 11 ‖ 5 *δράσῃς* compend. A: *δρᾶς* M^d | Cratetei carminis particulam refingere studet Blass l. c. *κἂν τάδε δράσῃς Ῥηϊδίως στήσεις κατὰ τῆς πενίης τὸ τρόπαιον.* sed dicebant *ἱστάναι τρόπαιον,* non *τὸ τρόπαιον.* eadem Crates utitur similitudine in apophthegmate Stobaei flor. 6, 39 Mein. ‖ 6 *τίνα* pro *τί* maluit Meineke ‖ 7 *τὸ* addidit Wilamowitz l. c. p. 297 adn. 8, sed cf. 10 et p. 44, 18 ‖ 8 *ἐπεί τοι οὐδὲ* Wilamowitz l. c.: *ἐπειτοῦδε* M^d *ἔπειτα οὐδὲ* A; *ἐπεί τοι οὔτε* Arnim, qui proxima sic refingi iubet *ἢ ποῖόν τι πενία ⟨οὔτε βιῶναι μετ' ἐκείνου ἢ μετὰ πενίας⟩· ἀλλὰ κτέ.* ‖ 9 *καὶ* pro *ἢ* proposuit Nauck | *ποῖόν τι* Meineke: *ποῖον ἢ* M^d A ‖ 10 v. *καὶ πενίᾳ ἀγ.* post *ὀδυρτικῶς* transponi vult Wachsmuth ‖ 11 *τούτῳ* scripsi: *τοῦτο* M^d A; *τούτοις* Nauck

θερίως καὶ ἀφόρτως, οὔτε ἐκείνῳ, ὥστε ⟨τῇ⟩ πενίᾳ γενναίως, ἀλλὰ τοῦ αὐτοῦ ἀμφότερα, καὶ ὅσπερ τοῖς πολλοῖς δύναται κατὰ τρόπον, οὗτος καὶ τοῖς ἀνάπαλιν. καὶ ἐὰν μὲν ἐκποιῇ πενητεύουσι ⟨δεῖ⟩ μένειν ἐν τῷ βίῳ, εἰ δὲ μή, ῥᾳδίως ἀπαλλάττεσθαι ὥσπερ ἐκ πανηγύρεως [οὕτω καὶ ἐκ τοῦ βίου]. καθάπερ καὶ ἐξ οἰκίας, φησὶν ὁ Βίων, ἐξοικιζόμεθα, ὅταν τὸ ἐνοίκιον ὁ μισθώσας οὐ κομιζόμενος τὴν θύραν ἀφέλῃ, τὸν κέραμον ἀφέλῃ, τὸ φρέαρ ἐγκλείσῃ, οὕτω, φησί, καὶ ἐκ τοῦ σωματίου ἐξοικίζομαι, ὅταν ἡ μισθώσασα φύσις τοὺς ὀφθαλμοὺς ἀφαιρῆται τὰ ὦτα τὰς χεῖρας τοὺς πόδας· οὐχ ὑπομένω, ἀλλ' ὥσπερ ἐκ συμποσίου ἀπαλλάττομαι οὐθὲν δυσχεραίνων, οὕτω καὶ ἐκ τοῦ βίου, ὅταν [ἡ] ὥρα ᾖ, 'ἔμβα πορθμίδος ἕρμα.' ὥσπερ

1 *ἐκείνῳ* Md: *ἐκεῖν*⌐ A; *ἐκεῖνο* tacite Gesn.², inde vulg., *ἐκείνοις* Nauck | *τῇ* addendum esse vidit Meineke || 2 *ὅσπερ* Wilamowitz l. c.: *ὅπερ* Md *ὥσπερ* (sic ut male ci. Gesn.² mrg) A | 3 *οὗτος* Wilamowitz: *οὕτω* Md A | *καὶ τοῖς ⟨ὀλίγοις⟩ ἀνάπαλιν* Cobet l. c. p. 100 || 4 *δεῖ* addidi || 5 *ὥσπερ ἐκ πανηγύρεως*] comparationis huius exempla non nulla collegit Nauck ad Iambl. de vita Pyth. c. XII et lex. Vindob. append. p. 205 cf. etiam Arr. Epict. diss. III 5, 10 IV 1, 105 | 5. 6 *οὕτω καὶ ἐκ τοῦ βίου* seclusit Wilamowitz l. c. tamquam male praecepta ex 12 sqq. *οὕτω καὶ ἐκ* deleri iusserat Cobet l. c. p. 98 || 6 *καθάπερ — οἰκίας*] cf. Seneca ep. 70, 16 et quae composui Tel. proleg. p. XCIX | 9 *οὕτω, φησί* scripsi: *φησίν* (*φησὶν* A) *οὕτω* Md A; *φησίν* tacite abiecit Gen.², inde vulg. fortasse praestat *οὕτω καὶ ἐκ σωματίου, φησίν, ἐξοικ.* coll. p. 41, 3 | *ἐξοικίζομαι* Md: *ἐξοικιζόμεθα* A | *ὅταν — τοὺς πόδας*] cf. Axiochi auctor p. 367 B: *κἂν μή τις θᾶττον ὡς χρέος ἀποδιδῷ τὸ ζῆν, ὡς ὀβολοστάτις ἡ φύσις ἐπιστᾶσα ἐνεχυράζει τοῦ μὲν ὄψιν, τοῦ δὲ ἀκοήν, πολλάκις δὲ ἄμφω* || 10 *ἀφαιρῆται* Md: *ἀφαιρεῖται* A || 11 *ὥσπερ ἐκ συμποσίου — οὐθὲν δυσχεραίνων*] *uti conviva satur* Hor. sat. I 1, 119; plures auctorum locos quibus *haud scio an fons fuerit Bio* indicat Vsener Epicur. fr. 499 p. 310 || 13 *ἡ* seclusit Nauck; *ὅταν ᾖ ὥρα, 'εἶ' ἔμβα π. ἕ.'* ci. Diels l. c. | *ἕρμα* Nauck tr. gr. fr.² adesp. 520 p. 941: *ἔρυμα* Md A; tragici alicuius frustulum agnoverat Gaisford. Timotheo dithyrambographo versiculum adscripsit Bergk p. l.⁴ III p. 621 incerta coniectura. similitudinem hanc quasi commentario illustrat Arrianus Epicteteus ench. c. 7: *ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον ἀφεὶς ἐκεῖνα πάντα μηδὲν ἐπιστρεφόμενος*

⟨ὁ⟩ ἀγαθὸς ὑποκριτὴς εὖ καὶ τὸν πρόλογον εὖ καὶ τὰ μέσα εὖ καὶ τὴν καταστροφήν, οὕτω καὶ ὁ ἀγαθὸς ἀνὴρ εὖ καὶ τὰ πρῶτα τοῦ βίου εὖ καὶ τὰ μέσα εὖ καὶ τὴν τελευτήν· καὶ ὥσπερ ἱμάτιον τρίβωνα γενόμενον ἀπεθέμην καὶ οὐ . . . . παρέλκω οὐδὲ φιλοψυχῶ, ἀλλὰ μὴ δυνάμενος ἔτι εὐδαιμονεῖν ἀπαλλάττομαι. καθάπερ καὶ Σωκράτης· ἦν αὐτῷ ἐκ τοῦ δεσμωτηρίου, εἰ ἐβούλετο, ἐξελθεῖν· καὶ τῶν δικαστῶν κελευόντων ἀργυρίου τιμήσασθαι οὐ προσεῖχεν, ἀλλὰ τῆς ἐν πρυτανείῳ σιτήσεως ἐτιμήσατο· καὶ τριῶν ἡμερῶν αὐτῷ δοθεισῶν τῇ πρώτῃ ἔπιεν καὶ οὐ προσέμεινεν τῆς τρίτης ἡμέρας τὴν ἐσχάτην ὥραν παρατηρῶν, εἰ ἔτι ἥλιος ἐπὶ τῶν ὀρῶν, ἀλλ' εὐθαρσῶς [τῇ πρώτῃ], ⟨ὡς Πλάτων φη⟩σίν, οὐδὲν τρέσας ⟨οὐδὲ διαφθείρας⟩ οὔτε τοῦ προσώπου οὔτε τοῦ χρώ-

---

1 ὁ addidi ‖ 3 πρῶτα τοῦ] litt. ωτα τ macula perierunt A ‖ 5 ante παρέλκω hiat oratio. exempli causa proposuit Buecheler ἀπεθέμην καὶ οὐ⟨κέτι ἐφόρουν, οὕτω καὶ τὸν βίον . . ἀποτίθεμαι καὶ οὐ⟩ παρέλκω οὐδὲ φιλοψ. intercidisse aliquid primus perspexerat Meineke. sed non recte ante v. οὐδὲ φιλοψ. inseri voluit οὕτω καὶ τὸν βίον ἄχρηστον γενόμενον ἀποτίθεμαι | μὴ Nauck: καὶ M[d] A ‖ 7 ἐξῆν pro ἦν ci. Nauck (per litt.) ‖ 8 post ἐξελθεῖν addi voluit Meineke ἀλλ' οὐκ ἐξῆλθε ‖ 9 ἐν hodie evanidum A, item mox litt. ρίτη in vocabulo τρίτης ‖ 10 de trium dierum mora Socrati concessa nihil aliunde constare monuit Wyttenbach ‖ 12 παρατηρῶν M[d] A; παρατηρεῖν oscitanter Gesn.[2], inde vulg. | ἔτι Meineke: ἔστιν M[d] ἐστὶν A; possis εἰ ἐστὶν ⟨ἔτι⟩ ἥλιος vel εἰ ⟨ἔτ'⟩ ἐστὶν ἥλιος ἐπὶ τῶν ὀρῶν coll. Plat. Phaed. p. 116 E: ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσιν καὶ οὔπω δεδυκέναι | ὀρῶν tacite Gesn.[2], inde vulg.: ὁρῶν M[d] ὡρων compend. A ‖ 13 τῇ πρώτῃ seclusi. post πρώτῃ quae deinceps sequuntur om. M ubi f. 6 et 7 scriptura carent: primus edidit Gaisford ex A | ⟨ὡς Πλάτων φη⟩σίν supplevimus: ante σὶν sex septemve litt. evanidae vel erasae A: ⟨καὶ ὡς ὁ Πλάτων φη⟩σὶν proposuit Iacobs lect. Stob. p. 46, quod fere recepit (καὶ ὡς Πλ. φ.) Meineke | τρέσας Plato p. 117 B: τρέψας A ‖ 14 οὐδὲ διαφθείρας addidi. dicit Plato l. c. p. 117 B: καὶ ὃς λαβὼν καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ' ὥσπερ εἰώθει ταυρηδὸν ὑποβλέψας κτἑ., dein p. 117 C: μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιεν. cf. etiam Ps.-Plut. an vitios. p. 499 B

ματος, ἀλλὰ μάλα ἱλαρῶς τε καὶ εὐκόλως λαβὼν τὸ ποτήριον ἐξέπιεν, καὶ τὸ τελευταῖον ἀποκοτταβίσας ʽτουτὶ δέ' φησίν ʽἈλκιβιάδῃ τῷ καλῷ'· ὅρα σχολὴν καὶ παιδιάν. ἡμεῖς δέ, κἂν ἄλλον ἴδωμεν, πεφρίκαμεν. καὶ μέλλων ἀποθνήσκειν ἐκάθευδε βαθέως, ὥστε μόλις διεγεῖραι τινά. ταχύ γ' ἂν καὶ ἡμῶν τις ἂν κοιμηθείη; καὶ γυναικὸς χαλεπότητα πρᾴως ἔφερε κἀκείνης βοώσης οὐκ ἐφρόντιζεν, ἀλλὰ Κριτοβούλου εἰπόντος ʽπῶς ἀνέχῃ ταύτης συμβιούσης;' ʽπῶς δὲ σὺ τῶν παρὰ σοὶ χηνῶν;' ʽτί δέ μοι μέλει ἐκείνων;' φησίν ʽοὕτως οὐδ' ἐμοὶ ταύτης, ἀλλ' ἀκούω ὥσπερ χηνός'. καὶ πάλιν παρειληφότος αὐτοῦ Ἀλκιβιάδην ἐπ' ἄριστον, ὡς ἐκείνη παρελθοῦσα τὴν τράπεζαν ἀνέτρεψεν, οὐκ ἐβόα οὐδ' ὠδυνᾶτο δεινοπαθῶν ʽὢ τῆς παρανομίας, ωστε ταύτῃ πάσχειν', ἀλλ' ἀναλέξας τὰ

1 fuerit *λαβὼν* in A, sed hodie legitur nihil nisi *βων* et ne hoc quidem satis integrum ‖ 2 *ἀποκοτταβίσας — τῷ καλῷ*] Xenoph. Hell. II 3, 56: *καὶ ἐπεί γε ἀποθνήσκειν ἀναγκαζόμενος τὸ κώνειον ἔπιε* (sc. *ὁ Θηραμένης*), *τὸ λειπόμενον ἔφασαν ἀποκοτταβίσαντα εἰπεῖν αὐτόν, Κριτίᾳ τοῦτ' ἔστω τῷ καλῷ.* immanes errores quibus Socrates confunditur cum Theramene, Critiae loco Alcibiades nominatur, inde repetierim, quod duo olim constantis et aequi ante mortem animi exempla praebebantur vicina, Socratis et Theramenis. nam vicina haec leguntur apud M. Tullium Tusc. disp. I 40, 96 sq. Alcibiadem autem substituerit qui urbanum illud *τῷ καλῷ* ad corporis pulcritudinem spectare male opinatus est ‖ 2. 3 *τουτὶ δὲ φησὶ* inveni in A; *τουτὶ φησὶν* Gaisford ‖ 3 v. *ὅρα — 4 πεφρίκαμεν*, item 6 *ταχύ γ' — κοιμηθείη* a Telete aliena esse vidit Cobet v. l.² p. 371, ad Theodorum epitomatorem rettulit Diels. sententiam, non verba ipsius scriptoris superesse suspicatur Wachsmuth coll. Arr. Epict. diss. IV 1, 166 | *παιδιάν* Buecheler: *παιδείαν* A ‖ 6. 7 ante *καὶ γυναικὸς κτέ.* haud scio an non nihil omiserit epitomator. male haec cum prioribus cohaerere nuper monuit etiam Diels ‖ 10 *μέλλει* A: tacite corr. Gaisford; ceterum vide ne scribendum sit ʽ*πῶς δὲ σύ*' ⟨*φησί*⟩ ʽ*τῶν παρὰ σοὶ χηνῶν;*' ʽ*τί δέ μοι μέλει ἐκείνων;*' ʽ*οὕτως*' *φησίν* ʽ*οὐδ' ἐμοὶ ταύτης — χηνός*'. anseris similitudo recurrit apud Diog. Laert. II 37 ‖ 11 sqq. similia de Socrate et Euthydemo leguntur apud Plut. de cohib. ira p. 461 D. vid. quae monui in prolegomenis Tel. p. XLV sq. ‖ 13 *ὠδυνᾶτο* (sic ut tacite Meineke) A; *ὀδυνᾶτο* Gaisford | 14 *παρανομίας* A; *παροινίας* ci. Meineke perperam | *ὥστε ταυτὶ πάσχειν* apte Blass qui recte haec iunxit cum prioribus

[redacted]

πεσόντα, ἀποθέσθαι πάλιν ἐκέλευσε τὸν Ἀλκιβιάδην· ὡς δὲ ἐκεῖνος οὐ προσεῖχεν ἀλλ' ἐγκαλυψάμενος ἐκάθητο αἰσχυνόμενος, 'προάγωμεν δή' φησίν 'ἔξω· φαίνεται γὰρ ἡ Ξανθίππη ὀξυρεγμίᾳ σπαράττειν ἡμᾶς.' εἶτα μετ' ὀλίγας ἡμέρας αὐτὸς ἀριστῶν παρὰ τῷ Ἀλκιβιάδῃ, ὡς ἡ ὄρνις ἡ γενναία ἐπιπτᾶσα κατέβαλε τὸν πίνακα, ἐγκαλυψάμενος ἐκάθητο καὶ οὐκ ἠρίστα· ὡς δὲ ἐκεῖνος ἐγέλα καὶ ἐπυνθάνετο εἰ διὰ τοῦτο οὐκ ἀριστᾷ ὅτι ἡ ὄρνις ἐπιπτᾶσα καταβάλοι, 'δῆλον ὅτι' φησί 'σὺ μὲν πρῴην Ξανθίππης ἀνατρεψάσης οὐκ ἐβούλου ἀριστᾶν, ἐμὲ δὲ οἴει νῦν ⟨ἂν⟩ ἀριστᾶν τῆς ὄρνιθος ἀνατρεψάσης; ἢ διαφέρειν τι ἐκείνην ὄρνιθος κορυζώσης ἡγῇ;' 'ἀλλ' εἰ μὲν ὗς' φησίν 'ἀνέτρεψεν, οὐκ ἂν ὠργίζου, οὐκ ἂν διηνέχθης, εἰ δὲ γυνὴ ὑώδης;' ὅρα παιδιάν.

99 (5, 68 Mein.) Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου (c. 43).

Πᾶν πρᾶγμα καὶ πρόσωπον δύο ἔχει λαβάς, μίαν φορητήν, μίαν ἀφόρητον· ὁ ἀδελφὸς ἐὰν ἀδικῇ, ἔνθεν

---

1 ἀποθέσθαι A; ἅπτεσθαι ci. Buecheler; ἐπιθέσθαι scripsisse Meinekium paenituit, aliud quid latere ei videtur v. IV p. LV ‖ 3 αἰσχυνόμενος secludi vult Meineke tamquam interpretamentum verbi ἐγκαλυψάμενος ‖ 4 ὀξυρεγμίᾳ] cf. Aristoph. fr. V com. II 2 p. 1143 | σπαράττειν scripsi: σπαράσσειν A ‖ 6 κατέβαλε tacite Meineke: κατέβαλλε A | ἐγκαλυψάμενος Meineke v. IV l. c.: συγκαλυψάμενος A | 8 ἐπιπτᾶσα Meineke: ἐπιστᾶσα A ‖ 11 ἂν addidit Buecheler ‖ 13 ὠργίζου tacite Gaisford: ὀργίζου A; nescio an ex margine irrepserint v. οὐκ ἂν ὠργίζου et simile quid sensisse videtur Cobet mnemos. IX p. 102 ubi tacite omisit v. οὐκ ἂν διηνέχθης. fortasse apodosin aliquis addiderat verbis εἰ δὲ γυνὴ ὑώδης adscribens ὠργίζου. an οὐδ' ἂν διηνέχθης? | διηνέχθης A; διενέχθης Gaisford ‖ 14 ὅρα παιδείαν in marginem reiecit tamquam lectoris additamentum Cobet v. l.[2] p. 371, Theodoro tribuit Diels | ὅρα tacite Gaisford: ὁρᾶ A | παιδιάν ut supra Buecheler: παιδείαν A ‖ 15 ecl. cum lemm. hab. A, om. M de quo dixi ecl. praegressae p. 47, 13 ‖ 16 καὶ πρόσωπον om. Arr. ‖ 16. 17 μίαν φορητὴν μίαν ἀφόρητον A, τὴν μὲν φορητήν, τὴν δὲ ἀφόρητον Arr.; μιᾷ φορητόν, μιᾷ ἀφ. scripsit Meineke qui proposuit etiam μίαν ᾗ φορητόν, μίαν ᾗ ἀφ. flor. v. IV p. LV. de Bioneo huius dicti colore monui p. 40, 11 ‖ 17 ὁ ἀδελφὸς — p. 50, 2 φορητόν ἐστι A: ὁ ἀδελφὸς ἐὰν ἀδικῇ, ἐντεῦθεν αὐτὸ μὴ λάμβανε, ὅτι ἀδικεῖ· αὕτη γὰρ ἡ λαβή

αὐτὸ μὴ λάμβανε ὅτι ἀδικεῖ, ἀλλ' ἐκεῖθεν ὅτι ἀδελφ καὶ οὕτω λήψῃ αὐτὸ καθ' ὃ φορητόν ἐστι.

100 (5, 69 Mein). *Διωτογένους Πυθαγορείου ἐκ τοῦ Ι ὁσιότητος* (fr. 4 I p. 535 Mullach.).

Περὶ βίω ἐκλογισμὸς καθ' ὅν κα εἴη ὁ ἀνθρώπ βίος ὁσιώτατός τε καὶ νομιμώτατος. πρᾶτον μὲν αἴκα μὴ πολυπραγμονῇ μηδὲ ταχὺ ἐπὶ τὰς δίκας ὁρμῴη, ἀ πολὺν χρόνον ἀμβαλλόμενος αὐτός τε προκαλεόμενος ἐ δίκας οἷς τε ὁ ἀντίδικος προεκαλέσατο, ἐμμένων· αἴκα τὰ πολλὰ † ἐξηταγόρεν τῷ πράγματι † χαμαύλῃ ἰ αὐτὸ τὸ πρᾶγμα· καὶ ἐπὶ μὲν τᾶς ἀλλοτρίας ζαμίας ἀκριβὲς μῷτο, ἐπὶ δὲ τᾶς ἰδίας τὸ μέτριον· τὸ γὰρ αἰ παρ' αὐτῷ διαιτῆσθαι μετριωτέρω ἤθεος. καὶ μὴ ἐπὶ ζαμίᾳ οὕτως ὡς ἐπὶ τᾷ αἰσχύνᾳ λυποῖτο· τὸ μὲν γὰρ ἀργυρίῳ ὀδυνῆσθαι φαύλω ἤθεος, τὸ δὲ ἐπὶ τᾷ αἰσχ καὶ τᾷ ἀτιμίᾳ καλοκαγάθω.

101 (5, 70 Mein.) *Ἐκ τῶν Ἀριστοξένου Πυθαγορ ἀποφάσεων.*

ἔστιν αὐτοῦ οὐ φορητή. ἀλλὰ ἐκεῖθεν μᾶλλον, ὅτι ἀδελφὸς ὅτι τροφος· καὶ λήψῃ αὐτό, καθ' ὃ φορητόν Arr. | *ἐνθένδ'* mavult Buecl 3 ecl. cum lemm. hab. A, om. M de quo dixi ad ecl. 98 p. 40, 1. . *τογένους* scripsi: *Διωτογενέος* A *Διωτογένεος* Gaisford. *Πυθαγορ* pro *-ρίου* quod est in A tacite Gaisford ‖ 5 v. *περὶ βίω* — 6 *νομιμώτ* praemitti videntur tamquam eclogae summarium | *ὅν κα* ci. Meineke *κ'* A ‖ 6 *πρᾶτον* Gaisford: *παρὰ τοῦ* A ‖ 7 *πολυπραγμονοῖ* (vel propter insequens *ὁρμῴη* recte mavult Meineke. scripserim *πρᾶτον αἴ [κα] τις μὴ πολυπραγμονοίη* ‖ 8 *προκαλεόμενος* Iacobs lect. p. 47: *προσκαλεόμενος* A ‖ 9 *οἷς τε* Cobet mnemos. IX p. 111: *ὥσι προεκαλέσατο* Iacobs: *προεκαλέσσατο* A | *ἐμμένων* Cobet: *ἔμμενεν* pendiose A; *ἐμμένεν* tacite Gaisford | *καὶ αἴκα* — 11 *τὸ πρᾶγμα* verb rupta. operam perdidit Iacobs l. c., ut merito monuit Meineke. nec fe Mullach sic scripsit: *καὶ αἴκα τὰ πολλὰ ἐξαγορεύων τῷ πράγμ μὴ ἄλλα λέγῃ ἀλλ' αὐτὸ τὸ πρᾶγμα.* 'sententiam opinor hanc fuis *πολλὰ ἐξὸν ἐπικαταγορὲν τῷ πράγματι μὴ καταγορῇ ἀλλ' ἢ αὐτ πρ.* etsi in *χαμαύλῃ* verbum lateat aliud, *μὴ ἐγκαλῇ* aut sim.' Buec ‖ 12 *μῶτο* A ‖ 13 *αὐτῷ* Meineke v. IV p. LVI: *αὐτῶ* A | *διαιτῆ* Cobet: *διαιτεῖσθαι* A; *διαιτᾶσθαι* Meineke ‖ 14 *ζαμίᾳ* tacite Gais *ζημία* A ‖ 15 *ὀδυνᾶσθαι* A: corr. Cobet ‖ 16 *καλωκἀγάθω* A: Meineke ‖ 17 ecl. cum lemm. hab. A, om. M de quo vide ad ec

Τὴν ἀληθῆ φιλοκαλίαν ἐν τοῖς ἐπιτηδεύμασι καὶ ἐν ταῖς ἐπιστήμαις ἔλεγεν εἶναι· τὸ γὰρ ἀγαπᾶν καὶ στέργειν τῶν καλῶν ἐθῶν τε καὶ ἐπιτηδευμάτων ὑπάρχειν· ὡσαύτως δὲ καὶ τῶν ἐπιστημῶν τε καὶ ἐμπειριῶν τὰς καλὰς καὶ εὐσχήμονας ἀληθῶς εἶναι φιλοκάλους, τὴν δὲ λεγομένην ὑπὸ τῶν πολλῶν φιλοκαλίαν, οἷον ⟨ἐν⟩ τοῖς ἀναγκαίοις καὶ χρησίμοις πρὸς τὸν βίον γινομένην, λάφυρά που τῆς ἀληθινῆς κεῖσθαι φιλοκαλίας.

102 (5, 71 Mein.) *Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου* (c. 33).

Τὰ πολλὰ δὲ καὶ τὸ γελᾶν ἀπέστω καὶ τὸ γέλωτα κινεῖν· ὀλισθηρὸς γὰρ ὁ τόπος εἰς ἰδιωτισμὸν καὶ ἅμα τὴν αἰδῶ τὴν πρὸς σὲ τῶν πλησίον ἱκανὸς ἀνεῖναι καὶ διαφθεῖραι. καὶ ἄλλος παράκειται τόπος ἐπισφαλὴς ταῖς τοιαύταις ἀνέσεσι, τὸ εἰς αἰσχρολογίαν εὐκόλως προαγαγεῖν τὸν πλησίον. ὅταν οὖν τι συμβῇ τοιοῦτον, ἂν μὲν εὔκαιρον ᾖ, καὶ ἐπίπληξον τῷ αἰσχρολογήσαντι· ἐὰν δὲ τοιαῦτα ᾖ τὰ πρόσωπα ὥστε μὴ καιρὸν εἶναι, τῷ ἀποσιωπῆσαι καὶ σκυθρωπάσαι καὶ ἐρυθριᾶσαι δῆλος γενοῦ δυσαρεστῶν τῷ ῥηθέντι.

---

3 *ὑπάρχει* A: corr. Meineke ‖ 5 *φιλοκάλου* ci. Wachsmuth ‖ 6 *ἐν* addidi; *οἷον ⟨ἐπὶ⟩ τ.* proposuerat Meineke ‖ 9 ecl. cum lemm. hab. A, om. M de quo vide ad ecl. 98. initium eclogae usque ad v. *ἰδιωτισμόν* (11) recurrit Maxim. c. 64 p. 258 Rib. (*Ex Epicteti sententiis*) ‖ 10 *τὰ πολλὰ δὲ καὶ τὸ γελᾶν ἀπέστω καὶ τὸ γέλωτα κινεῖν* A: *Ἀπέστω δὲ καὶ τὸ γέλωτα κινεῖν* Arr.; cf. Simplicii comment.: *πρότερον δὲ εἰπὼν μὴ δεῖν αὐτὸν ἐπὶ πολλοῖς γελᾶν μηδὲ πολὺν γέλωτα μηδὲ ἀνειμένον εἶναι· νῦν λέγει μηδὲ τοῖς ἄλλοις γέλωτα κινεῖν* ‖ 11 *τόπος* A, Arriani codd. plerique: *τρόπος* Arr. aliquot, Simpl. | *εἰς ἰδιωτισμὸν*, sed ut litterae *ις ἰ* macula detersae sint A ‖ 12 *ἱκανὸς* post *ἅμα* (11) collocant libri Arriani | *ἀνεῖναι καὶ διαφθεῖραι* A: *ἀνιέναι* Arr. ‖ 13 *καὶ ἄλλος* usque ad 15 *τὸν πλησίον* A: *ἐπισφαλὲς δὲ καὶ τὸ εἰς αἰσχρολογίαν προελθεῖν* Arr. ‖ 15 *ἂν* A, Arr. plerique: *ἐὰν* Arr. non nulli; *ἐὰν* scripserim, nisi malis infra *ἂν δὲ* ‖ 16 *τῷ αἰσχρολογήσαντι* A: *τῷ προελθόντι* Arr.; fortasse utrumque fluxit ex interpretatione, cf. Simpl.: *ἐὰν εὔκαιρον ᾖ, καὶ ἐπιπλῆξαι κελεύει*, absolute ponitur verbum ench. c. 35 init. ‖ 16 *ἐὰν δὲ* — 17 *εἶναι* A: *εἰ δὲ μὴ* Arr. ‖ 17 *τῷ γε ἀποσιωπῆσαι καὶ ἐρυθριᾶσαι καὶ σκυθρωπάσαι* Arr. ‖ 19 *γενοῦ* A: *γίνου* Arr., Simpl. | *δυσαρεστῶν τῷ ῥηθέντι* A: *δυσχεραίνων τῷ λόγῳ* libri Arr.; *δυσχε-*

103 (1, 85 Mein.) *Εὐσεβίου* (fr. 1 III p. 7 sq. Mullach.).

Ἐχθρὸς γενοίμην μηδενός, φίλος δὲ τοῦ αἰεὶ [καὶ] παραμενέοντος· καὶ μήκοτε μὲν διενεχθείην πρὸς τοὺς οἰκειοτάτους, διενεχθεὶς δὲ διαλλαχθείην ὡς τάχιστα. Μηδενὶ ἐπιβουλεύσαιμι, ἐπιβουλευόμενος δὲ ἄνευ ἀνάγκης τοῦ τι ἀντιδρᾶσαι ἀνήκεστον ἀπαθὴς διαφύγοιμι. Ὀργῆς κρατοίην. Ἐρῴην καὶ ἐπιθυμέοιμι καὶ τυγχάνοιμι μούνων τῶν καλῶν, τῶν δὲ ἀπ' ἐναντίης, τῆς ἐπιθυμίης μηδὲ ἁμαρτὼν κοτε ὥστε εὔξασθαι τύχοιμι [ἐπιθυμίης] μόγου. Βουλοίμην πάντας εὐτυχέειν, φθονήσαιμι μηδενὶ τῶν εὐτυχεόντων. Μήκοτέ τις ἐμὲ τῶν νομιζομένων παραλόγως εὖ πρήσσειν ἐκπλήξειε μηδὲ ἀνιήσειε· τί γὰρ δεῖ τοῖσι παρὰ τῆς τύχης δεδομένοισι φθονέειν; φίλοι δέ με καὶ οἱ κατ' ἀξίην εὐτυχέοντες εὐφραίνοιεν. Μήκοτε τῷ ἀπὸ οἰκείης γνώμης ἔχθρην κατ' ἐμέο ἐπανελομένῳ δυστυχήσαντι ἐπησθείην. Μήκοτε συγγνοίην ἐμεωυτῷ κακοῦ τευ τινὶ αἰτίην παρασχόντι. Λαθών κοτε ἐμεωυτὸν ὡς

ραίνων (om. *τῷ λόγῳ* vel *τῷ ῥηθέντι*) legisse videtur Simplicius, cf. Epict. v. IV 1 p. 456 Schweigh.

1 ecl. cum lemmate hab. A (post ecl. 5, 71) lemmate et initio eclogae lacuna absorptis M (cf. quae monui ad ecl. 98 p. 40, 11) ‖ 2 *ἐχθρὸς* — 3 *παραμέ-* om. M cuius fol. 8ʳ incipit a syllabis *νοντος*. fuit igitur *παραμένοντος*. cf. Stob. III 1, 33 | *καὶ* ante *παραμ.* expungi iussit Cobet mnemos. IX p. 93 ‖ 5 *ἐπι* in vocabulo *ἐπιβουλεύσ.* nunc erasum in A | *ἄνευ ἀνάγκης*] *ἀνάγκη*, si libris fides est, saepius dixit Eusebius, sic infra p. 54, 19 et flor. 10, 36 Mein. *ὑπ' ἀνάγκης*, sed *ἀναγκαίη* flor. 11, 22 Mein. ‖ 6 *τοῦ τι ἀντιδρᾶσαι* Iacobs: *τοῦ τι* (*τουτὶ* M^d) *ἂν δρᾶσαι* M^d A ‖ 7 *κρατοίην* sed *οίην* in corr. M^d | *καὶ ἐπιθυμέοιμι* Cobeto obsecutus seclusit Meineke frustra ‖ 8 *ἀπεναντίασ* M *ἀπ' ἐναντίας* A ‖ 9 *ἐπιθυμίης μόγου* M^d A: temere secluserat Gesn.^{2} p. 20, inde vulg. aliquando putavi novam sententiam constituendam esse sic ⟨*Μήκοτε ἀποτύχοιμι*⟩ *ἐ. μ.*, nunc Buechelero obtemperavi cum prioribus haec iungenti sed alterum *ἐπιθυμίης* delenti: 'contraria autem cupientem me ne si defecerint quidem, tantis umquam ut precer adficiar molestiis' ‖ 10 *μηδενὶ* M^d A; *δὲ οὐδενὶ* oscitanter Gesn.^{2}, inde vulg. ‖ 11 *νομιζομένων* M^d *λογιζομένων* A ‖ 13 *τοῖσι* Mullach: *τοῖς* M^d A | *δεδομένοισι* scripsi: *δεδομένοις* M^d *διδομένοις* (*-οισι* Mullach) A ‖ 15 *ἐμέο* Meineke v. IV p. LII: *ἐμοῦ* M^d A ‖ 16 *ἐμεωυτῷ* Mullach: *ἐμαυτῷ* M^d *ἐμαυτοῦ* A; *ἐμωυτῷ* Gaisford et Meineke ‖ 17 *παρασχόντα* M^d A: tacite corr. Gesn.^{2}, unde vulg. | *ἐμὲ ωὐτὸν* (*ὠϋτὸν* A) M^d A; *ἐμωυτὸν* Gaisf.

[redacted]

παρὰ μέλος ἤτοι τι εἴπας ἢ πρήξας, μὴ περιμείναιμι τοὺς μωμησομένους καὶ ἐπιπλήξοντας· αὐτὸς δὲ ἐμεωυτὸν μωμησαίμην μέχρι τοῦ ἀκέσασθαι. Εἰδείην γενναίως φέρειν τὰ προσπίπτοντα, καὶ τὰ μὲν μέτρια ἐκδεχοίμην ὥσπερ αὐτῶν ἔχει ἡ φύσις, τοῖσι δὲ ὑπερβάλλουσι μὴ καὶ τὸ παρ' ἐμεωυτοῦ προστιθείην. Εὐτυχίην εἰδείην φέρειν σωφρόνως· μήκοτε ὑπὸ εὐπρηγίης ἐς ὑπερηφανίην ἄλογον ἀερθείην. Πλοῦτον νομίζοιμι τὸν ἀρκέοντα βίον τῷ σώφρονι. Ἄπαυστον καὶ ἀκόρεστον ἐπιθυμίην χρημάτων μὲν μήκοτε σχοίην, μούνων δὲ τῶν ὠφελεόντων τὴν ψυχὴν μαθημάτων ἐθέλοιμι ἃ δεῖ ἔσεσθαι. Νικῴην νίκην τὴν καὶ ἐμοὶ καὶ τῷ προσδιαλεγομένῳ ἀβλαβέα. Φιλοτιμέεσθαι παρὰ καιρὸν πρὸς φίλους καὶ ἐν τῇσι ζητήσεσι φυλασσοίμην. Μήκοτε καὶ παρὰ τὸ ἐμοὶ δοκέον ἐν τῇσι ζητήσεσι τοῦ νικᾶν ἕνεκα ἔριν ἀσπασαίμην. Μήκοτε ἐπὶ βλάβῃ τοῦ ἀληθέος καὶ ὥστε παρ' ἃ αὐτὸς οἶδα παραλογίσασθαι τὸν προσδιαλεγόμενον ἐρίσαι ἐπαρθείην. Τοῖσι τὸ ἀληθὲς λόγοισι ξυνιστᾶσιν αἰεὶ ξυμμαχοίμην. Ἀκο-

1 *πρήξας* Cobet mnemos. IX p. 94: *πράξας* libri || 2 *ἐμαυτὸν* (*ἐμ-* Md) Md A ‖ 3 *μέχρι* Md: *ἄχρι* A quod recepit Meineke | *γενναίως φ. τὰ π.*] cf. Nauck ad Soph. fr. 296 p. 199 sqq.[2] ‖ 4 *τὰ μὲν μέτρια* Iacobs lect. Stob. p. 23: *μετὰ μέτρια* Md A; *τὰ μέτρια* tacite Gesn.[2], inde vulg. || 5 *τοῖσι* Mullach: *τοῖς* Md A || 6 *ἐμὲ αὐτοῦ* Md *ἔμε ὠοιτοῦ* A | *εὐτυχείην* Md ‖ 7 *ὑπὸ* bis scr. A | *εἰς* A ‖ 8 *βίον* scripsi: *βίω* (vel *-ῳ*) Md A, cf. Herodot. I 31 *τούτοισι γὰρ . . . βίος τε ἀρκέων ὑπῆν* ‖ 10 *μήχ* (superscr. *τε*) sed *ο* eras. A | *σχοίην* Meineke: *εχοίην* sine spir. Md *.χοίην*, *ε* vel *σ* eras. A | *δὲ τῶν* Valckenaer: *θ' αὐτων* (sic) Md *θ' ἃ τῶν* A ‖ 11 *ἃ δεῖ ἔσεσθαι* MdA corrupte: *ἀεὶ ἐφίεσθαι* (debebat *αἰεὶ ἐπίεσθαι*) Iacobs lect. Stob. p. 23 *ἴδρις γενέσθαι* Cobet mnemos. IX p. 93. *ἀδέεσθαι* proponit Buecheler. an *ἅδην δέχεσθαι?* | *νικώην* sed *ην* e corr. Md ‖ 13 *τῇσι* hic et 14 Mullach: *ταῖς* MdA ‖ 15 *τοῦ νικᾶν* libri; *τῆς νίκης* temere Gesn.[2] p. 20, inde vulg. | *ἕνεκα* MdA; sed *εἵνεκα* libri flor. 16, 24 Mein., et sic aut *εἵνεκεν* Eusebius nescio an scripserit. ceterum cf. flor. 4, 101 Mein. ‖ 16 *ὥστε μὴ τὸ ἀληθὲς αὐτὸ βλάψαι* dixit flor. 4 | *παρὰ* Md *παρ' ἃ* A; *παρ' ὃ* ci. Gesn.[2] p. 20 mrg ‖ 17 *ἐρῖσαι* Md *αἰρῆσαι* A; *ἢ ἐρίσαι* oscitanter Gesn.[2], unde vulg. ‖ 18 *τοῖς τὸ ἀληθὲς λόγοις ξυνιστᾶσιν ἀεὶ* MdA: ionismos restituit Mullach | *ξυμμαχοίην* ci. Nauck (per litt.)

λάστου ἐπιθυμίης μήκοτε τι μηδὲ ἐννοηθείην. Ξυνείην αἰεὶ τοῖσι σώφροσιν· εἴη τέ μοι αἰεὶ προσδιαλέγεσθαι, παρ' ὧν ἔστι τι πάντως ἀπελθεῖν χρηστὸν προσλαβόντι. Μήκοτε ἐπαρθείην κέρδεος ἕνεκα πλημμελῆσαι. Φίλους διαφερομένους καταρτίζοιμι. Φίλοισι δυνάμενος καὶ τοῖσι δεομένοισι τὰ δέοντα ἐπαρκέοιμι. Φίλους ἐν κινδύνοισι καταστάντας δυνάμενος ὠφελέειν, μήκοτε ἐγκαταλίποιμι. Φίλων ξυμφοράς, ἀπ' ὧν οἷόν τε, ἐπανορθοῦσθαι προθυμοίμην. Λυπεομένοισι παρεὼν ἐλαφρύνοιμι ἠπίῳ καὶ ἀκεσίμῳ λόγῳ τὰς ἀνίας. Εἰδείην ἐμεωυτὸν αἰδέεσθαι. Τῶν καλῶν φιλομαθείην ἀσκέοιμι. Ζητοίην μὴ τὰ περισσά, ἀλλὰ περὶ ὧν ἄριστον καὶ ἃ μαθὼν ὠφελησοίμην. Θεοὺς τιμώην καὶ νόμῳ πόλιος καὶ σπουδῇ οἰκείῃ νόῳ εὐσεβέι. Αἰεὶ τὸν ἐν ἐμοὶ θυμὸν ἀγριούμενον ἡμεροίην. Ἐθίζοιμι ἐμεωυτὸν ἵλεω εἶναι καὶ μὴ πρὸς τὰ πρήγματα ἔχειν δυσκόλως. Τίς πονηρός, καὶ τίνι τούτων τί πέπρηκται, μή μέλοι μοι· εἰδείην δὲ τοὺς ἀγαθούς, καὶ τούτους μεταδιώκοιμι. Ὀφείλοιμι μηδενὶ μηδέν· εἰ δέ κοτε ὑπ' ἀνάγκης μεγάλης ἐς τοῦτο κατασταίην, γένοιτό

---

1 ἐπιθυμίης πέρι μήκοτε τι Md, ἐπιθυμίης μή κοτέ τϊ (sic) A quod recepi; ἐπιθυμίης τι μήκοτε Gaisford sed errans de A ‖ 2 ἀεὶ hic et in proximis Gesn.², unde vulg. | τοῖσι σώφροσι Mullach: τοῖς σώφροσιν MdA ‖ 3 πάντως om. A | προσμαθόντι ci. Cobet mnemos. IX p. 94, recte, opinor ‖ 4 ἕνεκα Md A, vide ad p. 53,15 ‖ 5 καταρτίοιμι Md καταρτύοιμι A: corr. Gesn.² p. 20, unde vulg. | φίλοις — τοῖς δεομένοις Md A ‖ 6 κινδύνοις Md A ‖ 7 ἐγκαταλοίποιμι A -λείποιμι enotaverat Gaisford ‖ 8 ἀπ' Cobet mnemos. IX p. 94: ἀφ' MdA ‖ 10 ἐναισίμῳ pro ἀκεσίμῳ ci. Cobet l. c. p. 93 | ἀνίας sed ι e corr. Md | ἐμαυτὸν (ἐμ- Md) Md A ‖ 11 ζητοίην, sed οίην e corr. Md ‖ 12 ὠφελησόμην A ‖ 14 εὐσεβεῖ Md A | ἀεὶ Gesn.², inde vulg. | τὸν ἐν ἐμοὶ θυμὸν ἀγριούμενον Buecheler: τὸν ἐν ἐμοὶ θυμούμενον Md A: τὸ ἐν ἐμοὶ θυμούμενον Halm lect. Stob. p. 34; τὸν ἐμοὶ θυμ. Gesn.² p. 21, inde vulg. | ἡμεροίην Md ἡμερούμην (compend.) A; fort. ἡμεροίμην ‖ 15 ἐμεωὺτὸν Md ἐμεώϋτον A ‖ 16 ποτε πρήκται Md πέπρηκται A; κοτε πέπρηκται Halm l. c. p. 24 | μέλοι μοι Hirschig: μέλοιμι Md A ‖ 18 ὀφείλοιμι sed οιμι e corr. Md ‖ 19 κοτε tacite Gaisford: ποτε Md A | ὑπ' ἀναγκαίης μεγάλης dixit Herodotus IX 15 | κατασταίην Gesn.²: κατασταίειν Md syll. ταστaίην macula obscuratae A

[redacted]

μοι τάχιστα ἐλευθέρῳ γενέσθαι δυνηθῆναι. Αἰνέοιμι τοὺς ἀγαθοὺς ἀφθόνως· φιλόψογον δὲ γλῶσσαν παντὸς ἀποστυγοίην. Εἰδείην σιγᾶν περὶ ὧν ἄμεινον.

104 (1, 86 Mein.) Σωκράτους.

Οὔτε ναῦν ἐξ ἑνὸς ἀγκυρίου οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον.

105 (1, 70 Mein.) Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ παιδεύσεως ἠθικῆς (fr. 12 phil. Gr. I p. 557 Mullach.).

Φαμὶ τὰν ἀρετὰν ἦμεν ποττὸ μὴ κακοδαιμονὲν ἱκανάν, τὰν δὲ κακίαν ποττὸ μὴ εὐδαιμονέν, αἴκα τὰς ἕξιας αὐτὰς κρίνωμες. αἰεὶ μὲν γὰρ κακοδαιμονὲν ἀνάγκα τὸν κακόν, αἴτε ἔχει ὕλαν (κακῶς τε γὰρ αὐτᾷ χρέεται) αἴτε σπανίζει· ὡς καὶ τὸν τυφλόν . . ., αἴτε φῶς ἔχει καὶ λαμπρότατα ὁρατάν, αἴτε ἐν σκότει διατελεῖ· οὐκ αἰεὶ δὲ

2 malim πάντως | ἀποστγέειν (sic) M[d] ἀποστυγέοιν A: ἀποστυγοίην Gaisford. verum videtur ἀποστυγέοιμι propter αἰνέοιμι quod praecedit, quamquam promiscue utitur formis ἀσκέοιμι ζητοίην, al. fortasse igitur etiam ista -έοιν ‖ 4 ecl. cum lemm. hab. MA. iteratur ecl. infra 110, 22 Mein. cum lemm. ἐπικτήτου, desumpta ut videtur ex Arriani diatribis. recurrit locus corp. Par. 11 Elt. (Πλουτάρχου) gnomol. Byz. 131 p. 187 Wachsm. (Pal. 102 Bar. 71a). cf. gnomol. Theoct. 13 et flor. 2, 47 Mein. Seneca de rem. fort. XV p. 107, 22 Rossb.: *quid? tu in tanta tempestate ad unam ancoram stabas?* ‖ 5 ναῦν] νῆα Pal. | ἐξ ἑνὸς ἀγκυρίου] ἐκ μιᾶς ἀγκύρας flor. 110 var. scr., Pal. ‖ 7 ecl. cum lemm. hab. MA, om. Tr.; in lemmate πυθαγορίου A ‖ 10 φαμὶ A: φημὶ M[d] | ἡ μὲν M[d] | κακοδαιμονὲν Canter apud Galium opusc. mythol. (Amstelod. a. 1688) p. 695 ubi dialectica non nulla restituta sunt: κακοδαιμονεῖν M[d] A ‖ 11 τὰν δὲ tacite Gesn.[2] p. 12, unde vulg.: δὲ τὰν M[d] A | πὸττο M[d] ποΤὸ A | εὐδαιμονεῖν M[d] A | αἴκα] αἶκε (πυ τε supra scr.) A | ἐξίας sed ε e corr. M[d] ἀξίας A: tacite corr. Gesn.[2] ‖ 12 κρίνοιμες M[d] κρίνοιμεν A: corr. Gaisford | κακοδαιμονεῖν M[d] A ‖ 13 ἔχει scripsi: ἔχῃ libri | ὕλαν suppl. A[1] | αὐτᾷ tacite Gesn.[2]: αὐτὰ M[d] αὐτ (ᾶ supra scr.) A[1] | χρέται M[d] | σπανίζει scripsi: σπανίζοι M[d] A[2] (fortasse A[1]) σπανίζ una post ζ litt. erasa A[1]; σπανίζῃ Gaisford ‖ 14 post τυφλὸν intercidisse non nulla intellexit Meineke, cui addendum videtur αἰεὶ ἀνάγκα εἶμεν τυφλόν. nescio an sufficiat αἰεὶ ἦμεν τυφλόν | ἔχει M[d]: ἔχῃ A ‖ 15 αἴτε] ἀεὶ τὲ M[d] | διατελεῖ M[d]: διατελῆ A

εὐδαιμονὲν τὸν ἀγαθόν. οὐ γὰρ ἁ κτᾶσις τᾶς ἀρετᾶς εὐδαιμονία ἦς, ἀλλ' ἁ χρᾶσις. καὶ γὰρ ὁ ἔχων τὴν ὄψιν οὐχ ὁρῇ αἰεί· αἱ γὰρ μὴ ἔχει φῶς, οὐκ ὄψεται. δύο δ' ὁδοὶ τέμνονται ἐν βίῳ, ἃ μὲν σκυθρωποτέρα, τὰν ὁ τλάμων ἐβάδιζεν Ὀδυσσεύς, ἃ δὲ εὐδιεινοτέρα, τὰν ἐπορεύετο Νέστωρ. τὰν ὦν ἀρετάν φαμι δήλεσθαι μὲν ταύταν, δύνασθαι δὲ καὶ τήναν. ἀλλὰ τὰν εὐδαιμονίαν καρύσσει ἁ φύσις βίον εὐκταῖον καὶ εὐσταθέα διὰ τὸ γνώμας τελεσθῆμεν· ὥστε ἃ μὴ δήληταί τις παριόντα, οὐκ εὐδαίμων μέν, οὐ μὰν πάντα κακοδαίμων.

106 (1, 71 Mein.) *Ἐν ταὐτῷ* (fr. 12 phil. Gr. I p. 558 Mullach.).

Μὴ ὦν ἄνοσον καὶ ἀνάλγητον τολμώντων τὸν ἀγαθὸν εἰπέν, μηδὲ ἄλυπον θρασυνέσθωσαν λέγεν· ὡς γὰρ σώματι ἀλγεινά τινα ἀπολείπομεν, οὕτω καὶ ψυχᾷ ἐπώδυνα. ἀλλὰ ταὶ μὲν ἀφρόνων λῦπαι ἀλόγιστοι πέλοντι· ταὶ δὲ φρονίμων ἐς ὅσον κα λόγος ἐπιτρέποι ὁρίδδων τὰ πράγματα.

---

1 *εὐδαιμονεῖν* M[d] A | *οὐ* om. A | *κτᾶσις*, ut scripsit Canter, A: *κτῆσις* M[d] ‖ 2 *ἀλλ' ἁ* sicut scripsit Meineke A fere, ubi *ἄλλ' ἁ*: *ἀλλὰ* M[d]. de sententia cf. Aristoteles eth. Nicom. I c. 8 ‖ 3 *ὀχ ὁρῆ* A quod correctum recepi: *οὐχ' ὁρᾶ* M[d] | *ἔχει* scripsi: *ἔχοι* M[d] *ἔχη* A ‖ 4 *τέμνονται* A: *τέμνοντα* M[d] | *ἁ* A: *ἂν* M[d] | *τὰν* Meineke: *ἂν* vel *ἆν* M[d] A | *τλάμων* A: *πλάμων* M[d] ‖ 6 *δήλεσθαι* Iacobs: *δηλῆσθαι* M[d] *δηλήσασθαι* A ‖ 7 *καὶ* om. A | *τὰν* M[d]: *τὴν* A | *καρύσσει ἁ* Canter l. c. p. 696: *καρύσσεια* M[d] *καρύσσει ἡ* A ‖ 8 *εὐκταῖον* sed *αῖον* e corr. M[d] | *εὐσταθέα* A: *εὐσταθέαν* M[d] | *τελεσθῆμεν* Valckenaer: *τελεσθῆναι* M[d] A ‖ 9 *δηλῆται* libri; malim *δήλεται* | *ἃ μὴ δήληταί τις παριόντων* male Mullach ‖ 10 *πάντα* A quod recepit Gaisford: *πάντω* M[d], inde *πάντως* Gesn.², vulg. et legitur *πάντως* infra in ecloga Theagis flor. 1, 68 Mein. extr. num *παντᾷ*? ‖ 11 ecl. cum lemm. hab. M A, *ἐν ταυτ* (ῶ) in ras. M rubr. cum superioribus haec coniunxit Gesn.² p. 13, inde vulg. ‖ 13 *τολμώντων* Canter l. c. p. 696: *τολμῶντι* M[d] A ‖ 14 *εἰπὲν* tacite Schow: *εἰπεῖν* M[d] A | *θρασυνέσθωσαν* (sic) M[d] A; *θρασυνέσθων* ci. Meineke probante Cobet mnemos. IX p. 104 | *λέγεν* M[d]: *λέγειν* A ‖ 15 *ψυχᾷ* Cobet: *ψυχαῖς* M[d]A | *ἀλλὰ ταὶ* A: *ἀλλ' αἱ* M[d] ‖ 16 *πέλοντι* Cobet: *πέλονται* M[d]A | *ταὶ δὲ* A: *αἱ δὲ* M[d]. sed cf. p. 60, 12. 63, 17 ‖ 17 *κα λόγος* A: *ἀλόγως* M[d] | *ὁρίδδων* Schow: *ὁριάδων* M[d] A; *ὁρίσδων* Canter

[redacted]

ἀλλὰ μὰν καὶ τὸ καύχαμα αὐτῶν τᾶς ἀπαθείας ἐκλύει τᾶς ἀρετᾶς τὸ γενναῖον, αἴκα ἀδιαφόροις καὶ μὴ κακοῖς θανάτῳ τε καὶ ἀλγηδόνι καὶ πενίᾳ ἀντιβεβάκῃ. εὐκαταγώνιστα γὰρ τὰ μὴ κακά. ἀσκητέον ὦν ποττὰν μετριοπάθειαν ἴμεν, ὡς τό τε ἀνάλγητον ἐς ἴσον τῷ ἐμπαθεῖ φεύγωμες, μηδὲ μέζον φύσιος τᾶς ἁμετέρας φθεγγώμεθα.

107 (1, 72 Mein.) *Τοῦ αὐτοῦ Περὶ ἀνδρὸς ἀγαθοῦ καὶ εὐδαίμονος* (fr. 1 ap. Mullach phil. Gr. I p. 553).

Πρᾶτον μὲν ὦν χρὴ τοῦτο γινώσκεν, ὅτι ὁ μὲν ἀγαθὸς ἀνὴρ οὐκ εὐθέως εὐδαίμων ἐξ ἀνάγκας ἐστίν, ὁ δὲ εὐδαίμων καὶ ἀγαθὸς ἀνήρ ἐστιν. ὁ μὲν γὰρ εὐδαίμων ἐξ ἐπαινετῶ καὶ μακαριστῶ γίνεται, ὁ δὲ ἀγαθὸς ἀνὴρ ἐξ ἐπαινετῶ μόνον. γίνεται δὲ ὁ μὲν ἔπαινος ἐπ' ἀρετᾷ, ὁ δὲ μακαρισμὸς ἐπ' εὐτυχίᾳ. καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ ἐπὶ τοῖς παρ' ἀρετᾶς ἀγαθοῖς γίνεται τοιοῦτος, ὁ δ' εὐδαίμων καὶ ἐπὶ τοῖς διὰ τύχαν· καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ ἀναφαίρετον ἔχει τὰν ἀρετάν, ὁ δ' εὐδαίμων ἔστιν ὄκ' ἀφαιρέεται τὰν εὐδαιμοσύναν. τᾶς μὲν γὰρ ἀρετᾶς ἀνυπ-

---

1 καύχαμα M^d: καύχημα A | ἐκλύει: M^d: ἐκλύειν A ‖ 2 τὸ A: τὸν M^d | ἀδιαφόροις Wachsmuth: ἐν διαφόροις M^d A; ἐν ἀδιαφ. Canter l. c. p. 697 adn. 6 ‖ 3 ἀντιβεβάκῃ M^d: ἀνταβεβάκῃ A^1 ἀνταβεβάκει corr. A^2, fortasse A^1 ‖ 4 ποττὰν Gesn.^{2}: ποτ' ἀν M^d ποτ' ἂν A | μετριοπάθειαν scripsi: μετριοπαθίαν M^d μετριοπαθείαν A. Academicum igitur se prodit qui Archytae haec supposuit ‖ 5 ἴμεν Cobet mnemos. IX p. 104: ἵεμεν M^d ἵεμεν A; ἰέμεν tacite Canter | ἐς tacite Canter: εἰς M^dA | ἴσον M^d ἶσον A 'difficile dictu est utrum ἴσον dixerint an ἶσον Dorienses in prosa oratione' Meineke v. IV p. LII. cf. ecl. 1, 69 p. 27, 18 Mein. | ἐμπαθεῖ A: ἐκπαθεῖ M^d ‖ 6 φεύγωμες tacite Gaisford: φευγόμες M^dA | μέζον M^d: μέτρον A | φθεγγόμεθα [ω' superscr.], ω superscr. A^1 ut videtur: φθεγγόμεθα M^d ‖ 7 ecl. cum lemm. hab. MA ‖ 9 πρᾶτον et γινώσκεν tacite Schow: πρῶτον et γινώσκειν M^d A ‖ 10 ἐντί pro ἐστίν hic et in proximis tacite Schow ex usu Ps.-Pythagoreorum | δ' M^d ‖ 11 γὰρ om. A | ἐξ om. A ‖ 15 παρ' ἀρετᾶς Halm lect. Stob. p. 41 coll. Hippodam. flor. 103, 26 Mein.: παραταυτὸν M^d παρὰ ταύτης A ‖ 16 καὶ ἐπὶ — 17 εὐδαίμων om. M ‖ 17 ἐστὶν ὁκ M^d ἐστὶν ὅ$\overset{\varepsilon}{\text{τ}}$ καὶ compendiose A, unde possis ἔστιν ὅκα καί; scripsit ἐντὶ (debuit ἔντι) ὄκ' tacite Schow

εὔθυνος ἁ δύναμις, τᾶς δ' εὐδαιμοσύνας εὐθυνομένα. νόσοι τε γὰρ μακραὶ σώματος καὶ πηρώσιες αἰσθαταρίων ἀπομαραίνοντι τὰν εὐθάλειαν τᾶς εὐδαιμοσύνας.

108 (1, 73 Mein.) *Ἐν ταὐτῷ* (fr. 2 phil. Gr. I p. 553 Mullach.).

Διαφέρει δὲ θεὸς ἀνθρώπω ἀγαθῶ, ὅτι θεὸς μὲν οὐ μόνον εἰλικρινῆ καὶ διυλισμέναν ἔχει τὰν ἀρετὰν ἀπὸ παντὸς τῶ θνατῶ πάθεος, ἀλλὰ καὶ τὰν δύναμιν αὐτᾶς ἄτρυτον πέπαται καὶ ἀνυπεύθυνον, ὡς ποτ' αἰωνίων ἔργων σεμνότατά τε καὶ μεγαλοπρέπειαν· ἄνθρωπος δ' οὐ μόνον τῷ θνατῷ τᾶς φύσιος καταστάματι μήονα ταύταν πέπαται, ἔστι δ' ὄκα καὶ δι' ἀγαθῶν ἀμετρίαν καὶ διὰ συνήθειαν ἰσχυρὰν καὶ διὰ φύσιν μοχθηρὰν καὶ δι' ἄλλας αἰτίας πολλὰς ἀδυνατέει κατ' ἄκρας γεναθῆμεν παναλαθέως ἀγαθός.

109 (1, 74 Mein.) *Ἐν ταὐτῷ* (fr. 3 l. s. c. p. 553).

Φαμὶ δὴ τὸν ἀγαθὸν ἄνδρα τοῦτον ἦμεν, τὸν πράγμασι μεγάλοις καὶ καιροῖς καλῶς χρεόμενον. οὗτος δέ κα εἴη ὁ εὐτυχίαν τε δυνάμενος καλῶς φέρεν καὶ πάλιν ἀτυχίαν, καὶ ὁ ἔν τε τοῖς καλοῖς καὶ τιμίοις ἄξιος γενόμενος τῶν ὑποκειμένων καὶ μεταβαλοίσας τᾶς τύχας εὖ τὸ παρὸν ἐκδεχόμενος. εἰ δὲ συντόμως τε καὶ κεφαλαιωδῶς δεῖ φράσαι, ὁ ἐν πάντεσσι τοῖς καιροῖς καλῶς ἀγωνιζόμενος

---

3 *ἀπομαραίνοντι* Md: *ἀπομαραίνουσι* A ‖ 4 ecl. cum lemm. hab. MA ‖ 8 *τῶ θνατῶ* Md: *τοῦ θνητοῦ* A ‖ 9 *ἄτρυτον* Md: *ἄτρωτον* A | *ποτ'* Buecheler: *πρὸς* MdA ‖ 10 *σεμνότατα* Canter l. c. p. 674: *σεμνότητα* libri ‖ 11 *θνατῶ* Md: *θανάτω* A | *τᾶς φύσιος* tacite Schow: *τῆς φύσεως* Md A | *μήονα* Canter: *μείονα* Md A ‖ 12 *ταύταν* Md *ταύτην* A | *ἔστιν δ' ὄκκα* Md *ἔστι δ' ὄκκα* A: *ἔντι δ' ὄκα* cl. Meineke | *ἀμετρίαν* (sicut coniecit Gesn.[2] p. 13 mrg) Md A; *οὐ μετρίαν* Gesn.[2], nescio igitur an fugerit haec discrepantia codicis M collatorem ‖ 13 male *μοχθαρὰν* Schow, vide Ahrens dial. d. p. 149 sq. ‖ 14 *ἀδυνατέει* tacite Schow: *ἀδυνατεῖ* libri | *κατ' ἄκρας* A: *κατάκραν* Md | *γεναθῆμεν* (sicut Schow ante Halmium lect. Stob. p. 41) Md: *γενναθῆμεν* A ‖ 16 ecl. cum lemm. hab. MA ‖ 17 *ἦμεν* tacite Schow: *εἶμεν* A *εἰ μὲν* Md ‖ 18 *κα* Meineke: *κε* Md *κεν* A ‖ 21 *μεταβαλοίσας* Md: *μεταβαλούσας* A ‖ 22 *εἰ* Md A; *αἰ* Schow, vide ad p. 63, 20

σίως δεῖ τὰν ἀρετὰν τὰ δέοντα πράσσεν. τὸ μὲν ἀκούσιον οὐκ ἄνευ λύπας καὶ φόβω· τὸ δ' ἑκούσιον οὐκ ἄνευ ἀδονᾶς καὶ φιλοφροσύνας. ἅμα δὲ καὶ ὁ λόγος ὁ τᾶς διαιρέσιος συμπέσοι κα † παρείτω ταῦθ' οὕτως ἔχεν. ἁ μὲν γὰρ γνῶσις καὶ ἁ ὅρασις τῶν πραγμάτων τῶ λόγον ἔχοντος μέρεος ἐντὶ τᾶς ψυχᾶς· ἁ δὲ δύναμις τῶ ἀλόγω. τὸ γὰρ ἀντέχεν μὲν δύνασθαι τοῖς πόνοις, ἐπικρατὲν δὲ τᾶν ἀδονᾶν, οἰκῆόν ἐντι τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς. ἁ δὲ προαίρεσις ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καὶ τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς καὶ τῷ ἀλόγῳ· σύγκειται γὰρ ἐκ διανοίας καὶ ὀρέξιος, ὧν ἁ μὲν διάνοια τῶ λόγον ἔχοντός ἐντι, ἁ δ' ὄρεξις τῶ ἀλόγω. διὸ καὶ ἀρετὰ πᾶσα ἐν συναρμογᾷ γίνεται τῶν μερέων τᾶς ψυχᾶς, καὶ τὸ ἑκούσιον δὲ καὶ τὸ προαιρετὸν πάντως ἐν τᾷ ἀρετᾷ.

119 (1, 53 Mein.) Ἐκ τοῦ Ἐπικτήτου ἐγχειριδίου (c. 42). Ὅταν τις κακῶς τι ποιῇ ἢ κακῶς τι λέγῃ, μέμνησο

δὲ οὐ κακίαι πλάνον Br. aliorum conatus vide apud Orellium opusc. sent. et mor. II p. 698

1 πράσσεν Br ni fallor: πράσσειν M^dA | v. τὸ μὲν ἀκούσιον — 3 φιλοφροσύνας iterat Maximus c. 55 p. 661 Combef. (Θεαγοῦς Πυθαγορείου) | τὸ μὲν M^d Br: τὸν μὲν A ‖ 2 ἑκούσιον A Br: ἑκούσιος M^d ἀκούσιον Tr. ‖ 3 ἀδονᾶς M^d Br: ἡδονᾶς A Tr. | ὁ ante τᾶς om. Tr. ‖ 4 συμπέσοι M^dA Br: ἐμπέσοι Tr. | κα Buecheler: καὶ libri | παρείτω M^dA Br Tr.: περὶ τῶ ci. Buecheler, περαίνων ego. ἐμπεδοῖ καὶ παρίητι Badham; non rectius locum attigit Mullach Schowii libro deceptus interpolato ‖ 5 ἁ ὅρασις Tr.: ἀόνασις M^d ἁ ὄνασις A Br | πραγμάτων M^d Tr.: πρατάτων A πραττάντων Br | τῶ (vel τω) libri nisi quod τοῦ Tr. ‖ 7 v. τὸ γὰρ ἀντέχειν — 10 τῷ ἀλόγῳ recurrunt Maxim. c. 59 p. 669 Combef. (Θεάγους) ‖ 7 ἀντέχεν M^d: -ειν A Tr. Br | μὲν Buecheler: μὴ libri | τοῖς πόνοις M^dA Br: τῶν πόνων Tr. | ἐπικρατὲν Canter l. c. p. 693: -εῖν libri ‖ 8 τᾶν ἀδονᾶν Gaisford: τὰν ἀδονὰν A τὰν ἡδονὰν M^d Br (sic) τὰν ἀδονὴν Tr. | οἰκεῖον libri: οἰκῆον Canter tacite ‖ 9 γίγνεται A ‖ 10 τοῦ ἀλόγου Tr. ‖ 11 τῶ M^d Br: τοῦ Tr. om. A ‖ 13 τῶν μερέων M^dA Br: τῶ μέρεος Tr. | καὶ τὸ ἑκούσιον Meineke: καὶ ἑκούσιον (om. τὸ) M^dA Tr. τὸ ἑκούσιον (om. καὶ) Br quod verum putat Beving *remarques crit.* p. 7 ‖ 14 τὸ ante προαιρ. non omisit Br, fallitur Beving | προαιρετὸν ex προαιρετικὸν corr. A^1 | τᾷ ἀρετᾷ (vel -ᾷ) M^d Tr. Br: τῇ ἀρετῇ A ‖ 15 ecl. cum lemm. hab. MA (post ecl. 1, 68 Mein.); τοῦ αὐτοῦ ἐγχειριδίου temere Gaisford Gesneri traiectionibus deceptus ‖ 16 ὅταν (ὅτάν

[redacted]

ὅτι καθήκειν αὐτῷ οἰόμενος ποιεῖ. τί οὖν; ἀκολουθήσει τῷ σοὶ φαινομένῳ ἢ τῷ αὐτῷ; ἀλλὰ κακῶς αὐτῷ φαίνεται. τίς οὖν ἐξηπάτηται; ἐκεῖνος. τίς οὖν βέβλαπται; ὁ ἐξηπατημένος. καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἐὰν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βλάπτεται, ἀλλ' ὁ ὑπολαβών.

120 (1, 62 Mein.) *Περικτιόνης Πυθαγορείας περὶ σοφίας* (fr. 13 phil. Gr. II p. 32 sq. Mullach.).

Γέγονε δὲ καὶ συνέστα ὁ ἄνθρωπος ποττὸ θεωρῆσαι τὸν λόγον τᾶς τῶ ὅλω φύσιος· καὶ τᾶς σοφίας ἔργον ἐστὶν

M^d) *τις κακῶς τι* (*τί* M^d) *ποιῇ ἢ κακῶς τι* (*τί* M^d) *λέγῃ* M^dA: *ὅταν σέ τις κακῶς ποιῇ ἢ κακῶς λέγῃ* vel *ὅταν τίς κακῶς τι ποιῇ ἢ κακῶς σε λέγῃ* Arriani libri plerique, *ὅταν τίς σε κακῶς τι ποιῇ ἢ κακῶς σε λέγῃ* Arriani vulg.

1 *καθήκειν* ex *καθάκειν* corr. A[1] | *ποιεῖ* M^dA: *ποιεῖ ἢ λέγει* Arr. , *τί οὖν, ἀκολουθήσει τῷ σοι φαινομένῳ ἢ τῷ αὐτῷ*; M^dA: *οὐχ οἷόν τε οὖν ἀκολουθεῖν αὐτὸν τῷ σοὶ φαινομένῳ ἀλλὰ τῷ ἑαυτῷ* Arr. ‖ 2 *ἀλλὰ κακῶς* — 4 *ὁ ἐξηπατημένος* (*ἠπατημένος* A) M^dA: *ὥστε εἰ κακῶς αὐτῷ* (*αὐτῷ* om. plerique) *φαίνεται, ἐκεῖνος βλάπτεται ὅστις καὶ ἐξηπάτηται* Arr. Stobaeo 'verissimum disputationis Epicteteae colorem' vindicat Schweighaeuser. sed hic ut alibi certo iudicari non poterit priusquam praesto erit enchiridii recensio artis satis faciens legibus ‖ 4 *ἐὰν τις* M^dA: *ἄν τις* Arr. ‖ 5 *οὐ τὸ* M^d Arr.: *αὐτῷ* A | *βλάπτεται* M^dA Arriani haud pauci: *βέβλαπται* Arriani non nulli ‖ 6 *ὑπολαβών* (*ὑπολαβὸν* A?) M^dA: *ἐξαπατηθείς* Arr. ‖ 7 ecl. cum lemm. hab. MA (post ecl. 1, 53 Mein.) Br (post ecl. 1, 68 Mein. sed om. ecl. 1, 53 Mein.). tamquam ex Archytae *περὶ σοφίας* libro hanc et proximam eclogam rettulit Iamblichus protreptici c. IV p. 20 sq. Pist. neque igitur deerit qui Perictionae locum una cum libri titulo (*ἐκ τοῦ περὶ γυναικὸς ἁρμονίας* citatur flor. 79, 50 et 85, 19 Mein.) suspicetur intercidisse ut fuerit olim *Περικτιόνης Πυθαγορείας ⟨ἐκ τοῦ ...... Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ⟩ περὶ σοφίας*. et favet huic suspicioni quod Ionica, non Dorica dialecto scripta sunt quae infra Perictionae adsignantur flor. 79, 50 et 85, 19. etiam prooemio operis sui Ioannem Perictionae eclogam inseruisse docet pinacographus Photii p. 47 Elt., qui recte offert *Περικτιόνης*, cum *περικτυόνης* habeant M^dA Br; *πυθαγορίας* suo more A ‖ 9 *συνέστα* libri Stobaei (nisi quod *εστα* hodie detritum est in A) Iambl.; *συνέστακεν* ci. Meineke ‖ 10 *τῶ ὅλω* Iambl.: *τῶν ὅλων* M^dA Br | ante *καὶ τᾶς σοφίας* recte distinguit Iambl.,

αὐτὸ τοῦτο κτήσασθαι καὶ θεωρῆσαι τὰν τῶν ἐόντων φρόνασιν.

121 (1, 63 Mein.) *Ἐν ταὐτῷ* (fr. 13 l. c. p. 33).

Γαμετρία μὲν ὤν καὶ ἀριθμητικὰ καὶ τἄλλα τὰ θεωρητικὰ καὶ ἐπισταμονικὰ περὶ . . . τῶν ἐόντων κατασχολέονται, ἃ δὲ σοφία περὶ πάντα τὰ γένεα τῶν ἐόντων. οὕτως γὰρ ἔχει σοφία περὶ πάντα τὰ ἐόντα, ὡς ὄψις περὶ πάντα τὰ ὁρατὰ καὶ ἀκοὰ περὶ πάντα τὰ ἀκουστά. τὰ δὲ συμβεβακότα τοῖς ἐοῦσιν ἃ μὲν καθόλω πᾶσι συμβέβακεν, ἃ δὲ πλείστοις αὐτῶν, ἃ δέ πᾳ ἑνὶ ἑκάστῳ. τὰ μὲν ὤν καθόλω πᾶσι συμβεβακότα συνιδὲν καὶ θεω-

---

post *σοφίας* male libri Stobaei | *σοφίας* M^d A Br: *σοφίας ὤν* Iambl. qui pergit *ἔργον ⟨κτᾶσθαι⟩ καὶ θεωρὲν τὰν τῶν ἐόντων φρόνασιν* | *ἐστὶν* M^d *ἐστὶ* A *δ'* (sic) *ἐστὶν* Br; aut tollendum erit verbum aut scribendum *ἐντὶ*

1 *αὐτὸ τοῦτο* Meineke v. IV p. LI: *αὐτῶ τούτω* M^d *τῶ αὐτῶ τούτω* A *αὐτῷ τοῦτο* Br; verba *ἐστὶν αὐτὸ τοῦτο* nescio an ipsius sint Stobaei vel epitomatoris | *τὰν τῶν* M^d Br *πάντων* A ‖ 3 ecl. cum lemm. hab. MA Br. conferatur Iamblichus protr. l. c. ‖ 5 *ἐπισταμονικὰ* Schow (vide mus. Rh. XLI p. 62): *ἐπιστήμαι* (*-μα* Br) *καὶ* M^d A Br | *περὶ τῶν ἐόντων* M^d A Br (sic, non ut olim dixi mus. Rh. l. c. secundum Thomae collationem publici iuris factam) manifesto orationis hiatu: *περί τινα τῶν ἐόντων* scripsit Schow ex libro quodam interpolato, *περὶ ἔνια τῶν ἐόντων* proposuit Iacobs. ego satis habui lacunam indicasse post *περὶ* non uno fortasse vocabulo explendam, cf. Iamblichus p. 21, 14 sqq. Pist. *ἁ σοφία οὐ περί τι ἀφωρισμένον ἐντὶ τῶν ἐόντων, ἀλλ' ἁπλῶς περὶ πάντα τὰ ἐόντα κτἑ.* ‖ 6 *γένεα* maluit Meineke: *γένη* libri ‖ 7 *οὕτω γὰρ* Iambl.: *οὕτως γὰρ* A *οὐ γὰρ* M^d Br ‖ 8 *καὶ ἀκοὰ — ἀκουστά* om. Iamblichus qui non nihil differt etiam in proximis | *ἀκοὰ* tacite Schow: *ἀκοὴ* libri ‖ 9 *συμβεβακότα* Br ut videtur: *συμβεβηκότα* M^d Iamblichi cod. Flor. *συμβ . . . . ότα* A quattuor litteris erasis | *ἐοῦσιν* A: *ἐοῖσιν* M^d Br | *συμβέβακεν* M^d A: *συμβέβηκεν* Br ‖ 10 *πλείστοις* ci. Gesn.² p. 6 mrg: *ἑκάστοις* M^d A Br | *δέ πᾳ* Buecheler: *δὲ παρ'* M^d Br *δὲ περὶ* A; *δέ γα* ci. Meineke, *δὲ καὶ* P. Thomas Hermae Berolin. XIV p. 316 propter *ἃ δὲ καὶ* in membro tertio positum conferri iubens Luciani Nigrin. 16. exspectaveram *δ' ἰδίᾳ* propter p. 87, 2, sed lenius illud Buecheleri est ‖ 11 *τὰ μὲν ὤν* (*ὤν* M^d) M^d Br *τὰ . . . . ν* aliquot litteris erasis A; *τὰ ὤν* Iambl. | *θεωρὲν* Iambl.

ῥῖσαι τᾶς σοφίας οἰκῇον, τὰ δὲ τοῖς πλείστοις τᾶς περὶ φύσιν ἐπιστάμας, τὰ δ' ἴδια καθ' ἕκαστον τᾶς περί τι ἀφωρισμένον ἐπιστάμας. καὶ διὰ τοῦτο σοφία μὲν τὰς τῶν ἐόντων ἁπάντων ἀρχὰς ἀνευρίσκει, φυσικὰ δὲ τὰς τῶν φύσει γινομένων, γαμετρία δὲ καὶ ἀριθμητικὰ καὶ μωσικὰ τὰς περὶ τὸ ποσὸν καὶ τὸ ἐμμελές. ὅστις ὦν ἀναλῦσαι οἷός ⟨τ'⟩ ἐστὶ πάντα ⟨τὰ⟩ γένεα ὑπὸ μίαν καὶ τὰν αὐτὰν ἀρχάν, καὶ πάλιν ἐκ ταύτας συνθεῖναι καὶ σύναρθμήσασθαι, οὗτος δοκεῖ ⟨μοι⟩ καὶ σοφώτατος ἦμεν καὶ ἀλαθέστατος, ἔτι δὲ καὶ καλὰν σκοπιὰν εὑρηκέναι, ἀφ' ἇς δυνατὸς ἐσσεῖται τόν τε θεὸν κατοψεῖσθαι καὶ πάντα τὰ ἐν τᾷ συστοιχίᾳ τε καὶ τάξει τᾷ ἐκείνω κατακεχωρισμένα.

---

1 *οἰκῷον* M^{d}A: *οἰκεῖον* Br Iamblichi cod. Flor. | *τὰ δὲ* — 3 *ἐπιστάμας* om. Iambl. ‖ 2 *φύσιν* nunc paene totum erasum in A | *ἐπιστάμας* tacite Schow p. 15: *ἐπιστήμας* M^{d}A Br | *δὲ* M^d Br | *ἰδίᾳ* mavult Meineke ‖ 3 *ἀφωρισμένον* M^{d}A: *ἀφωρισμένας* Br | *ἐπιστάμας* M^{d}A: *ἐπιστήμας* Br | *μὲν* om. Iambl. ‖ 4 *ἐόντων*] nihil fere nisi *ἐ* superest in A | *φυσικὰ δὲ* — 6 *τὸ ἐμμελές* non adfert Iambl. ‖ 5 *φύσι* Meineke v. IV p. LIV | *γιγνομένων* libri: corr. Meineke ‖ 6 *μωσικὰ* Orelli opusc. sent. et mor. II p. 348: *μουσικὰ* M^d Br eras. A | *τὰς*] praeter *σ* nihil clare dignoscitur in A | *ὅστις* A Br Iambl.: *ὥστις* M^d ‖ 7 *ἀναλῦσαι* om. A | *οἷός ἐστι* M^{d}A Br *οἷος τέ ἐστι* Iamblichi cod. Flor. *οἷός τ' ἐντὶ* in Iamblicho Kiessling | *τὰ* ex Iamblicho addidit Meineke | *γένεα* Iambl.: *γένη* M^{d}A Br | *μίαν τε καὶ* Iambl. ‖ 8 syllabae *αὐτ⟨ὰν ἀρχὰν καὶ⟩* erasae sunt in A | *συνθεῖναί τε καὶ* Iambl. | *συναρθμήσασθαι* Meineke: *ἀριθμάσασθαι* M^d ex *-ήσασθαι* corr. Br^1 *ἀριθμήσασθαι* A, *συναριθμήσασθαι* Iambl.; *ἀρθμάσασθαι* proposuit Iacobs animadv. in Stob. p. 220, *ἀρτίσασθαι* scr. Mullach ‖ 9 *μοι* addidi ex Iamblicho | *ἦμεν* Iambl.: *εἶναι* M^{d}A Br ‖ 10 *ἀληθέστατος* (*ἀλαθ.* Schow) Stobaei libri: *παναληθέστατος* minus apte Iambl. | *ἔ⟨τι δὲ καὶ κα⟩λ⟨ὰν⟩* quae uncis saepsimus evanida sunt in A | *εὑρηκέναι* Iambl.: *ἀνευρηκέναι* M^{d}A Br ‖ 11 *ἐφ' ἇς* oscitantur Gesn.^{2} p. 7, inde vulg. | *τε* M^d Br suppl. A^1 ut videtur, om. Iambl. | *κατοψεῖσθαι* Iambl.: *κατόψεσθαι* M^{d}A Br ‖ 12 *πάντα τὰ* tacite Gesn.^{2} p. 7 et sic Iambl. et ut videtur Br: *πάντα τε τα* M^d A | *τᾷ* om. operarius Gesn.^{2}, inde vulg. | *συστοιχία* (vel *-ίᾳ*) M^d Iambl.: *συστοιχείᾳ* Br, erasum est vocabulum praeter syll. *στοι* in A | *τε* om. Iambl. | *τάξι* maluit Meineke | *τᾷ* Iambl.: *τα* libri Stob. | *ἐκείνω* Br: *ἐκείνου* M^{d}A Iamblichi cod. Flor.

122 (1, 87 Mein.) *Θεμιστίου ἐκ τοῦ Μετριοπαθοῦς ἢ Φιλοτέκνου* (p. 434, 14 Dind.).

Οὕτω δὲ καὶ τῷ ἀνθρώπῳ ἐγκεχρῶσθαί ἐστιν ἀναγκαῖον ἡδονὴν καὶ λύπην καὶ ξύμπαντα τὰ ἄλλα παθήματα, πλείω δὲ καὶ ἐμμονωτέραν τὴν λύπην. καὶ τοῦτο αὖ πάλιν Αἴσωπος λέγει· τὸν γὰρ πηλὸν αὐτῷ ὁ Προμηθεύς, ἀφ' οὗ τὸν ἄνθρωπον διεπλάσατο, οὐκ ἐφύρασεν ὕδατι, ἀλλὰ δακρύοις. οὐχὶ οὖν ἐκκόπτειν αὐτὰ πειρᾶσθαι χρεών, ἀμήχανον γάρ. ἀλλ' εἴπερ ἄρα, εἴη ἐπικόπτειν τε καὶ πραΰνειν κοιμίζειν τε ἐφ' ὅσον δυνατὸν καὶ νουθετεῖν· ταύτην γὰρ εὐμενῶς προσίεται τὴν ἐπιμέλειαν. καὶ οὕτως σοι αὐτὰ παιδαγωγοῦντι ἀναφανήσεται χρήσιμά τε καὶ ὠφέλιμα ἀντὶ ἀχρήστων καὶ βλαβερῶν. οὐ γὰρ ὁ θεὸς αὐτὰ ἐνεκεράσατο τῷ ἀνθρώπῳ, ὅπως λώβην τε αὐτῷ καὶ αἶσχος προσθείη, ἀλλὰ καὶ ταῦτα πρὸς διαμονὴν καὶ σωτηρίαν τοῦ γένους προσύφηνέ τε καὶ προσῳκοδόμησε τῇ ψυχῇ. θυμὸν μέν, ὅπως ἂν τὰ βλάπτοντα ἀμυνώμεθα· ἐπιθυμίαν δὲ ἐδωδῆς καὶ ποτῶν πρὸς τὴν ξύμφυτον καὶ ἀναγκαίαν ἀπορροήν· καὶ οὕτω δὴ ἄλλο πρὸς ἄλλην τινὰ τεταγμένον τοῦ σώματος κῆρα. μένειν δὲ ἕκαστον χρὴ ἐν τῷ μέτρῳ· καὶ τὸ μέτρον τοῦτο ἑκάστου γίνεται ἀρετή· τοῦ μὲν θυμοειδοῦς ἀνδρεία, τοῦ δὲ ἐπιθυμητικοῦ σωφροσύνη, τοῦ δ' αὖ φιλοχρημάτου καὶ φιλοκερδοῦς ἐλευθεριότης τε καὶ μεγαλοπρέπεια· ὅσον δὲ ἐπτόηται περὶ τιμὰς καὶ δυνάμεις

---

1 ecl. cum lemm. hab. MA Br post ecl. 1, 63 Mein.; *φιλοξένου* ex *φιλοξένου* corr. A[1] ‖ 8 *οὐχὶ οὖν* A Themist.: *οὔκουν* M[d] Br ‖ 9 *ἐπικόπτειν* Themist.: *κόπτειν* sed *ἐπι* inter lineas add. M[d] *κόπτειν* A Br ‖ 10 *κοιμίζειν* A Br Themist.: *κομίζειν* M[d] ‖ 12 *οὕτω* Themist. | *σοι αὐτα* libri Stobaei et Themist.: *τοιαῦτα* Harduinus ‖ 14 *ἐνεκεράσατο* M[d] Br Themist.: *ἐνεκράσατο* A ‖ 15 *λώβην τε καὶ αἶσχος αὐτῷ* Themist. ‖ 19 *πρὸς* M[d] Br Themist.: *καὶ πρὸς* A | *ξύμφητον* A ‖ 20 *τινὰ* om. A ‖ 21 *κῆραν* Br | *τὸ* M[d] Br Themist.: *τῷ* A teste Gaisfordo | *μέτριον* Br ‖ 23 *ἀνδρεία* Dindorf in Themistio: *ἀνδρία* M[d]A Br ‖ 25 *ὅσον* M[d]A Br: *ὅσα* Themistius

καὶ προεδρίας, τούτου ἐστὶ τὸ μέτρον μεγαλοψυχία. εἰ δὲ ἀκόσμητα ἐαθείη καὶ ἀθεράπευτα ὑπὸ τοῦ λόγου, καθάπερ φυτὰ ἥμερα καὶ χρηστὰ ἐξαμελήσαντος γεωργοῦ, ἀπαγριοῦται εὐθὺς καὶ ἐξυβρίζει καὶ παραβλαστάνει τὰς κακίας καθάπερ ἀκάνθας χαλεπὰς καὶ φαρμακώδεις τοῖς τε ἄλλοις καὶ μάλιστα τῷ κεκτημένῳ. ἔστι δ' ἐφ' ἂν ἔμπαλιν καταφθίνει καὶ απομαραίνεται εἴσω τῆς ἀκμῆς· καὶ δέονται οὗτοι τοῦ λόγου οὐ ⟨τοῦ⟩ κολούοντος καὶ θλίβοντος καὶ πιέζοντος, ⟨ἀλλὰ τοῦ ἐπάρδοντός τε καὶ ἐπανάγοντος καὶ ἐρεθίζοντος⟩ πρὸς τὴν αὔξην τὴν ἐοικυῖαν. καὶ διὰ τοῦτο ἄρα ἑκάστην ἀρετὴν περικάθηνται ἔνθεν καὶ ἔνθεν δύο κακίαι, ἡ μὲν τὸ ἐνδεὲς τοῦ παθήματος ἀγαπῶσα, ἡ δὲ τὸ πλεονάζον ἀσπαζομένη. δεῖ δ' οὐ πρὸς τὰ φαῦλα καὶ διεστραμμένα ὁρῶντας ἅπαντα ὁμοίως ὑποπτεύειν καὶ διεξελαύνειν, ἀλλὰ τὸ βούλημα ἐξετάζειν τῆς φύσεως, καὶ πρὸς ὅ τι ἕκαστον τῶν παθημάτων ἐνεφύτευσε καὶ ἐνεσημήνατο τῇ ψυχῇ.

123 (1, 88 Mein.) *Πορφυρίου ἐκ τοῦ Περὶ τῶν πρὸς τὰ νοητὰ ἀφορμῶν* (opusc. Porphyr. p. 80 ed. Holsten.).

Ἄλλαι αἱ ἀρεταὶ τοῦ πολιτικοῦ, καὶ ἄλλαι αἱ τοῦ

---

1 *προεδρίας* M[d] Br: *προσεδρίας* A | *τούτου* (*τοῦτο* A) libri Stobaei: *τούτων* Themist. | *μέτρον* Themist.: *μέτριον* M[d]A Br ‖ 3 *φυτὰ καὶ ἥμερα καὶ χρ.* Themist. ‖ 5 *χαλεπάς τε καὶ φαρμ.* Themist. ‖ 6 *δὲ* (pro *δ'*) M[d] Br ‖ 7 *εἴσω* A Br Themist.: *ἔσω* M[d] ‖ 8 *τοῦ λόγου οὐ τοῦ* scripsi: *τοῦ λόγου οὐ* A *τοῦ λόγου* M[d] Br; *λόγου οὐ τοῦ* Themist. | *κολούοντος* M[d]A Br: *κωλύοντος* Themist. ‖ 9 *καὶ θλίβοντος* om. libri Themistii non sine membrorum concinnitatis detrimento | *πιέζοντος* Themist.: *πιεζοῦντος* M[d]A Br | *ἀλλὰ τοῦ — ἐρεθίζοντος* ex Themistio addidit Gaisford ‖ 10 *πρὸς τὴν αὔξην* om. Br, si recte intellego P. Thomam *le cod. Brux. du florilége de Stobée* p. 8 ‖ 11 *ἐοικυῖαν* A Themist.: *οἰκείαν* M[d] Br ‖ 14 *δεῖ δὲ οὐ* M[d] Br ‖ 15 *ἅπαντα* A Themist.: *ἅπαντας* M[d] Br (sic) | *διεξελαύνειν* Themist.: *ἐξελαύνειν* M[d]A Br ‖ 17 *ἐνεφύτευσέ τε* Themist.: *ἐνεφύτευσεν* (-*σε* Br) libri Stob. illud verum est. cf. p. 88, 16 *προσύφηνέ τε καὶ προσῳκοδόμησε τῇ ψυχῇ* ‖ 18 ecl. cum lemmate hab. MA Br; *ἐκ τῶν πρὸς τὰ νοητὰ ἀφορμῶν* Br ‖ 20 *αἱ ἀρεταὶ τοῦ* M[d]A Br: *ἀρεταὶ αἱ τοῦ* Gesn.[2], inde vulg.; *ἀρεταὶ τοῦ* (om. *αἱ*) Holstenius qui edidit hunc tractatum

πρὸς θεωρίαν ἀνιόντος καὶ διὰ τοῦτο λεγομένου θεωρητικοῦ, καὶ ἄλλαι αἱ τοῦ ἤδη τελείου θεωρητικοῦ καὶ ἤδη θεατοῦ, καὶ ἄλλαι αἱ τοῦ νοῦ, καθὸ νοῦς, καὶ ἀπὸ ψυχῆς καθαροῦ. αἱ μὲν τοῦ πολιτικοῦ ἐν μετριοπαθείᾳ τοῦ ἀλόγου κείμεναι, τῷ ἕπεσθαι καὶ ἀκολουθεῖν τῷ λογισμῷ τοῦ καθήκοντος κατὰ τὰς πράξεις. διὸ πρὸς κοινωνίαν βλέπουσαι τὴν ἀβλαβῆ τῶν πλησίον ἐκ τοῦ συναγελασμοῦ καὶ τῆς κοινωνίας πολιτικαὶ λέγονται. καὶ ἔστι φρόνησις μὲν περὶ τὸ λογιζόμενον, ἀνδρεία δὲ περὶ τὸ θυμούμενον, σωφροσύνη δ' ⟨ἐν ὁμολογίᾳ καὶ συμφωνίᾳ ἐπιθυμητικοῦ πρὸς λογισμόν, δικαιοσύνη δ'⟩ ἡ ἑκάστου τούτων ὁμοῦ οἰκειοπραγία, ἀρχῆς πέρι καὶ τοῦ ἄρχεσθαι. αἱ δὲ τοῦ πρὸς θεωρίαν προκόπτοντος θεωρητικοῦ ἐν ἀποστάσει κεῖνται τῶν ἐντεῦθεν· διὸ καὶ καθάρσεις αὗται λέγονται ἐν ἀποχῇ θεωρούμεναι τῶν τοῦ σώματος πράξεων καὶ συμπαθειῶν τῶν πρὸς αὐτό. αὗται μὲν γὰρ τῆς ψυχῆς ἀφισταμένης πρὸς τὸ ὄντως ὄν, αἱ δὲ πολιτικαὶ τὸν θνητὸν ἄνθρωπον κατακοσμοῦσι. καὶ πρόδρομοι δ' αἱ πολιτικαὶ τῶν καθάρσεων· δεῖ γὰρ κοσμη-

---

'ex Vaticano codice' (cf. Nauck Porphyr. op. praef. p. IX ed. sec.) Romae a. 1630 p. 80 sqq. Stobaeo non adsumpto. libelli rarioris discrepantiam adscripsi fere integram. cf. Plotinus enn. I 2 | *αἱ* ante *τοῦ* om. Holstenius 2 *καὶ ἄλλαι* — *θεωρητικοῦ* om. Holstenius | *ἤδη θεατοῦ* M[d] Br Holstenius: *ἐνδιαθέτου* A || 4 *καθαροῦ* libri Stob.: *καθαρός* Holstenius | *τοῦ ἀλόγου* M[d] Br: *τοῦ λόγου* A; verba om. Holstenius ‖ 5 *τὸ ἕπεσθαι* Holstenius || 7 *συναγελασμοῦ* A Br Holstenius: *συναγελισμοῦ* M[d] ‖ 8 *καὶ* (ante *τῆς κ.*) om. Holstenius | *ἔστιν* M[d] | vocabuli *φρόνησις* syllabae *φρόνησι* hodie legi iam non possunt in A sicut mox *μὲν* particulae nil agnoscitur nisi *μ* || 9 *ἀνδρεία* Holstenius: *ἀνδρία* libri Stob. ‖ 10 *ἐν ὁμολογίᾳ* — *δικαιοσύνη δὲ* ex Holstenii editione addidit Gaisford; *δ'* scripsi pro *δέ*. conferatur Plotinus enn. I 2, 1 || 11 *ἡ* om. Holstenius | *ἑκάστῳ* Holstenius | *τούτων ὁμοῦ* M[d] Br Holstenius: *τοῦ νόμου* A || 12 *τοῦ* om. Holstenius || 13 *θεωρητικοῦ* om. Holstenius ‖ 14 *ἐνταῦθα* ci. Gesn.[2] p. 20 mrg | *καθάρσεις* M[d] Br Holstenius: *κάθαρσις* A || 15 *τῶν τοῦ* M[d] Br: *τῶν μι τοῦ* A. scripserim igitur aut *τῶν μετὰ τοῦ σ.* aut, quod habet Holstenius, *τῶν μετὰ σ.* coll. p. 91, 1 ‖ 16 *αὐτό* M[d] Br Holstenius: *ἑαυτό* A ‖ 18 *κατακοσμοῦσαι* Holstenius || 19 *δ' αἱ* scripsi: *δὲ* M[d] A Br *τε αἱ* Holstenius

θέντα κατ' αὐτὰς ἀποστῆναι τοῦ σὺν σώματι πράττειν τι προηγουμένως. διὸ ἐν ταῖς καθάρσεσι τὸ μὲν μὴ συνδοξάζειν τῷ σώματι, ἀλλὰ μόνην ἐνεργεῖν, ὑφίστησι τὸ φρονεῖν, ὃ διὰ τοῦ καθαρῶς νοεῖν τελειοῦται· τὸ δέ γε μὴ ὁμοπαθεῖν συνίστησι τὸ σωφρονεῖν, τὸ δὲ μὴ φοβεῖσθαι ἀφισταμένην τοῦ σώματος ὡς εἰς κενόν τι καὶ μὴ ὂν τὴν ἀνδρείαν. ἡγουμένου δὲ λόγου καὶ νοῦ καὶ μηδενὸς ἀντιτείνοντος, δικαιοσύνη τὸ τοιοῦτον. ἡ μὲν οὖν κατὰ τὰς πολιτικὰς ἀρετὰς διάθεσις ἐν μετριοπαθείᾳ θεωρεῖται, τέλος ἔχουσα τὸ ζῆν ὡς ἄνθρωπον κατὰ φύσιν· ἡ δὲ κατὰ τὰς θεωρητικὰς ἐν ἀπαθείᾳ, ἧς τέλος ἡ πρὸς θεὸν ὁμοίωσις. ἐπεὶ δὲ κάθαρσις ἣ μέν τις ἦν καθαίρουσα ἣ δὲ κεκαθαρμένων, αἱ καθαρτικαὶ ἀρεταὶ κατ' ἄμφω θεωροῦνται τὰ σημαινόμενα τῆς καθάρσεως· καθαίρουσί τε γὰρ τὴν ψυχὴν καὶ καθαρθείσῃ σύνεισι· τέλος γὰρ τὸ κεκαθάρθαι τοῦ καθαίρειν. ἀλλ' ἐπεὶ τὸ καθαίρειν καὶ κεκαθάρθαι ἀφαίρεσις ἦν παντὸς τοῦ ἀλλοτρίου, τὸ ἀγαθὸν ἕτερον ἂν εἴη τοῦ καθαίροντος· ὥστ' εἴ γε πρὸ τῆς ἀκαθαρσίας ⟨ἀγαθὸν ἦν τὸ καθαιρόμενον, ἡ

---

1 *σίν* pro *σὺν* M^d | *σὺν τοῖς σώμασι* Holstenius. nescio igitur an scribendum sit *σὺν ⟨τῷ⟩ σώματι* coll. p. 90, 15. 91, 3 || 2 *μὴ δοξάζειν* Holstenius || 3 *μόνην* M^d: *μόνον* A Br Holstenius || 5 *ὁμοιοπαθεῖν* Holstenius | *συνίστησι* evanuit in A praeter *σι* terminationem | *μὴ* om. A || 6 *κενόν* M^d Br: *καινόν* A Holstenius || 7 *τὴν* evanuit in A | *ἀνδρείαν* Holstenius: *ἀνδρίαν* libri Stob. || 8 *ἡ δικαιοσύνη* (om. *τὸ τοιοῦτον*) Holsteniana || 11 *ἡ δὲ* evanuit in A || 12 *ἡ* om. Holstenius p. 82 | *δὲ καὶ κάθαρσις* Holstenius || 13 *καθαρεύουσα* Holstenius || 15 *καθαρθείσῃ* ci. Gaisford: *καθαρθείσης* M^dA Br *καθάρσει* Holsteniana || 16 *τὸ κεκαθάρθαι* (*-ται* Holst.) Holstenius *τὸ κ.* ex *τοῦ κ.* in ras. corr. Br^1: *τοῦ κεκαθάρθαι* M^dA | *ἐπεὶ το* Br Holstenius: *ἐπὶ τοῦ* M^dA || 17 *παντὸς τοῦ ἀλλοτρίου* ex corr. (vocabuli *ἀφαίρεσις* littera *σ* extr. et proximum *ἦν* in ras. atramento pallidiore) Br: *τοῦ παντὸς τοῦ ἀλλοτρίου* M^d A *παντὸς ἀλλοτρίου* Holsteniana || 18 *καθαίροντος* tacite Gesn.^{2} p. 22, inde vulg. Holstenius: *καθάραντος* M^dA Br | *ὥστ' εἴ γε* scripsi: *ὥστε γε* M^dA Br *ὡς εἴ γε* Holstenius || 19 *πρὸ* M^d Br Holstenius: *πρὸς* A | *ἀγαθὸν ἦν τὸ καθαιρόμενον* (ita scripsi pro *καθαιρούμενον*), *ἡ κάθαρσις* addidi ex Holsteniana. manifesta lacunae origo

κάθαρσις⟩ ἀρκεῖ· ἀλλ᾽ ἀρκέσει μὲν ἡ κάθαρσις, τὸ δὲ καταλειπόμενον ἔσται τὸ ἀγαθόν, καὶ οὐχ ἡ κάθαρσις. ἀλλ᾽ ἡ ψυχῆς φύσις οὐκ ἦν ἀγαθόν, ἀλλ᾽ ἀγαθοῦ μετέχειν δυνάμενον καὶ ἀγαθοειδές· οὐ γὰρ ἂν ἐγένετο ἐν κακῷ. τὸ οὖν ἀγαθὸν αὐτῇ ἐν τῷ συνεῖναι τῷ γεννήσαντι, κακία δὲ τὸ τοῖς ὑστέροις. καὶ διπλῇ γε κακία, τό τε τούτοις συνεῖναι καὶ μετὰ παθῶν ὑπερβολῆς· διόπερ αἱ πολιτικαὶ ἀρεταὶ μιᾶς γοῦν αὐτὴν κακίας ἀπαλλάττουσαι ἀρεταὶ ἐκρίθησαν καὶ τίμιαι, αἱ δὲ καθαρτικαὶ τιμιώτεραι καὶ τῆς ὡς ψυχικῆς κακίας ἀπαλλάττουσαι. δεῖ τοίνυν καθηραμένην αὐτὴν συνεῖναι τῷ γεννήσαντι. καὶ ἀρετὴ ἄρα αὐτῆς μετὰ τὴν ἐπιστροφὴν αὕτη, ἥπερ ἐστὶν ἐν γνώσει καὶ εἰδήσει τοῦ ὄντος· οὐχ ὅτι οὐκ ἔχει παρ᾽ αὐτῇ ταύτην, ἀλλ᾽ ὅτι ἄνευ τοῦ πρὸ αὐτῆς οὐχ ὁρᾷ τὰ αὐτῆς. ἀλλ᾽ οὖν γένος τρίτον ἀρετῶν μετὰ τὰς καθαρτικὰς καὶ τὰς πολιτικὰς νοερῶς τῆς ψυχῆς ἐνεργούσης· σοφία μὲν καὶ φρόνησις ἐν θεωρίᾳ ὧν νοῦς ἔχει, δικαιοσύνη δὲ ἐν οἰκειοπραγίᾳ μὲν ἐν τῇ πρὸς τὸν νοῦν ⟨δ᾽⟩ ἀκολουθίᾳ καὶ τῷ πρὸς νοῦν ἐνεργεῖν. σωφροσύνη δὲ ἡ εἴσω πρὸς νοῦν στροφή· ἡ δὲ ἀνδρεία ἀπάθεια, καθ᾽ ὁμοίωσιν τοῦ πρὸς

1 *ἀρκεῖ* M[d]A Br: *ἤρκει* Holstenius | *ἀρκέσει* M[d]A Br: *ἀρέσκει* Holstenius ‖ 2 *καὶ* om. Holstenius ‖ 3 *ἀλλ᾽ ἡ* M[d]A Holstenius, dubito de Br: *ἀλλὰ ἡ* tacite Gesn.[2], inde vulg. ‖ 5 *οὖν* M[d] Br Holstenius: *γοῦν* A | *αὐτῆς* scripserim coll. Plot. enn. I 2, 4 ‖ 7 *διὸ πᾶσαι αἱ* Holstenius ‖ 8 *κακίας αὐτὴν* A ‖ 9 *ἐκλήθησαν κ. τίμιοι* Holstenius ‖ 10 *ψυχικῆς κακίας* M[d] Br: *ψυχῆς κακίας* A *ψυχὴν κακίαν* Holstenius l. c. p. 83 ‖ 11 *γεννήθεν* (superscr. *σαντϊ*) A corr. A[1] opinor ‖ 12 *αὕτη ἥπερ ἐστὶν*] *αὐτὴ πάρεστιν* Holstenius ‖ 13 *οὐκ — ἀλλ᾽ ὅτι* om. Holstenius ‖ 14 *τοῦ* M[d] Br Holstenius: *τὰ* A | *οὐχ ὁρᾷ τὰ αὐτῆς* om. Holstenius ‖ 15 *ἀλλ᾽* M[d]A: *ἄλλο* Br Holstenius | *οὖν* redintegravit Br ‖ 16 *τὰς* om. Holstenius | *μὲν καὶ* M[d] Br Holstenius: *μὲν γὰρ καὶ* A ‖ 17 *ὧν* A Holstenius: *ὦν* M[d] *ἦν* Br ‖ 18 *μὲν* ut paulo ante *ἐν* om. Holstenius | *ἐν τῇ πρὸς τὸν νοῦν* etiam A, fallitur Gaisford | *δ᾽* addidit Buecheler | *καὶ τῷ πρὸς νοῦν ἐνεργεῖν* M[d] Br: *καὶ πρὸς τὸν νοῦν ἐνεργεῖν* A *καὶ τὸ πρὸς τὸν ν. ἐ.* Holstenius. fortasse *καὶ τῷ πρὸς τὸν ν. ἐ.* ut scripsit Creuzer ante Plotini ed. Didot. p. XXXIX ‖ 19 *ἡ* om. Holstenius ‖ 20 *στροφὴ* M[d]A Holstenius: *συστροφή* Br | *ἀνδρεία* M[d] Holstenius: *ἀνδρία* A Br

ὃ βλέπει ἀπαθὲς ὂν τὴν φύσιν. καὶ ἀντακολουθοῦσί γε αὗται ἀλλήλαις ὥσπερ καὶ ⟨αἱ⟩ ἄλλαι. τέταρτον ⟨δ'⟩ εἶδος ἀρετῶν τὸ τῶν παραδειγματικῶν, αἵπερ ἦσαν ἐν τῷ νῷ κρείττους οὖσαι τῶν ψυχικῶν, καὶ τούτων παραδείγματα ⟨ὧν καὶ τῆς ψυχῆς ἦσαν ὁμοιώματα· νοῦς μέν, ἐν ᾧ ἅπαντα⟩ ὥσπερ παραδείγματα· ἐπιστήμη δὲ ἡ νόησις, σοφία δὲ γιγνώσκων ὁ νοῦς· τὸ δὲ πρὸς αὐτὸν ἡ σωφροσύνη, τὸ δ' οἰκεῖον ἔργον ἡ οἰκειοπραγία, ἡ δὲ ἀνδρεία ἡ ταυτότης καὶ τὸ ἐφ' ἑαυτοῦ μένειν καθαρὸν διὰ δυνάμεως περιουσίαν. τέτταρα τοίνυν ἀρετῶν γένη πέφηνεν· ⟨ὧν⟩ αἱ μὲν ἦσαν αἱ τοῦ νοῦ αἱ παραδειγματικαὶ καὶ σύνδρομοι αὐτοῦ τῇ οὐσίᾳ· αἱ δὲ ψυχῆς πρὸς νοῦν ἐνορώσης ἤδη καὶ πληρουμένης ἀπ' αὐτοῦ· αἱ δὲ ψυχῆς ἀνθρώπου καθαιρομένης τε καὶ καθαρθείσης ἀπὸ σώματος καὶ τῶν ἀλόγων παθῶν· αἱ δὲ ψυχῆς ἀνθρώπου κατακοσμούσης τὸν ἄνθρωπον διὰ τοῦ τὰ μέτρα τῇ ἀλογίᾳ ἀφορίζειν καὶ μετριοπάθειαν ἐνεργάζεσθαι. καὶ ὁ μὲν ἔχων τὰς μείζους ἐξ ἀνάγκης ἔχει καὶ τὰς ἐλάττους· οὐ μὴν καὶ ἔμπαλιν. οὐκέτι μέντοι τῷ ἔχειν καὶ τὰς ἐλάττους ὁ ἔχων τὰς μείζους ἐνεργήσει καὶ κατὰ τὰς

2 αἱ addidit Buecheler | δ' addidi ex Holsteniana ‖ 3 παραδειγμάτων Holstenius ‖ 4 τούτων παραδείγματα M[d]A: τούτων παραδειγμάτων Br; τούτων (om. παραδείγματα) temere Gesn.[2] p. 23, inde vulg. ‖ 5 ὧν καὶ — ἐν ᾧ ἅπαντα addidi ex Holsteniana, qua edebatur ἐν ᾧ ἅματα. possis etiam ἐν ᾧ ἅμα πάντα (ut Creuzer l. c.) vel ἅμ' ἅπ. ‖ 6 δὲ M[d]A Br Holstenius: μὲν temere Gesn.[2], inde vulg. | νόησις M[d]A Br: φρόνησις Holstenius ‖ 7 σοφία A Holstenius: σοφίαν M[d] Br | αὐτὸν Holstenius, Plot. enn. I 2, 7 ‖ 8 δ' M[d] Br: δὲ A ut videtur, Holstenius | δ' Br | ἀνδρεία Holstenius: ἀνδρία M[d]A Br ‖ 11 ὧν ex Holsteniana addidit Gaisford | αἱ ante τοῦ om. Holstenius l. c. p. 84 ‖ 12 ψυχῆς πρὸς νοῦν M[d] Br Holstenius: ψυχῆς ἤδη πρὸς νοῦν A ‖ 13 αἱ δὲ ψυχῆς M[d]A Br: αἱ δὲ ὡς ψυχῆς Holstenius ‖ 16 διὰ τοῦ τὰ M[d]A Br: διὰ τὸ Holstenius ‖ 17 ἐργάζεσθαι Holstenius ‖ 19 καὶ ἔμπαλιν M[d]A Br: τοὔμπαλιν Holstenius | τῷ ἔχειν καὶ τὰς ἐλάττους ὁ ἔχων scripsi cum Holstenio: ἔχει τὰς ἐλάττους ὁ ἔχων M[d] καὶ τὸ ἔχειν καὶ τὰς ἐλάττους ὁ ἔχων A καὶ εἰ ἔχει τὰς ἐλάττους ὁ μὴ ἔχων sed ὁ μὴ in ras. ut videtur Br; ὁ ἔχων reliquis licenter omissis Gesn.[2], inde vulg. ‖ 20 καὶ om. Holstenius

ἐλάττους προηγουμένως, ἀλλὰ μόνον κατὰ περίστασιν τῆς γενέσεως. ἄλλοι γὰρ οἱ σκοποί, ὥσπερ εἴρηται, καὶ κατὰ γένος διάφοροι. τῶν μὲν γὰρ πολιτικῶν, μέτρον ἐπιθεῖναι τοῖς πάθεσι πρὸς τὰς ἐν τοῖς κατὰ φύσιν ἐνεργείας· τῶν δὲ καθαρτικῶν, τελέως τῶν παθῶν ἀποστῆσαι, τὸ τέως μέτρον λαμβανουσῶν· τῶν δὲ πρὸς νοῦν ἐνεργῆσαι μηδὲ τοῦ ἀποστῆσαι ἐκ τῶν παθῶν εἰς ἔννοιαν ἐρχομένους· τῶν δὲ μηδὲ πρὸς νοῦν ἐχουσῶν τὴν ἐνέργειαν, ἀλλὰ τῇ αὐτοῦ οὐσίᾳ εἰς συνδρομὴν ἀφιγμένων. διὸ καὶ ὁ μὲν κατὰ τὰς πρακτικὰς ἐνεργῶν σπουδαῖος ἦν ἄνθρωπος, ὁ δὲ κατὰ τὰς καθαρτικὰς δαιμόνιος ἦν ἄνθρωπος ἢ καὶ δαίμων ἀγαθός, ὁ δὲ κατὰ μόνας τὰς πρὸς τὸν νοῦν θεός, ὁ δὲ κατὰ τὰς παραδειγματικὰς θεῶν πατήρ. ἐπιμελητέον οὖν μάλιστα τῶν καθαρτικῶν ἡμῖν, σκεψαμένοις ὅτι τούτων μὲν ἡ τεῦξις ἐν τῷ βίῳ τούτῳ, διὰ τούτων δὲ καὶ ἡ εἰς τὰς τιμιωτέρας ἄνοδος. διὸ θεωρητέον ἄχρι τίνος καὶ ⟨ἐπὶ⟩ πόσον οἷά τε παραλαμβάνεσθαι ἡ κάθαρσις. ἔστι μὲν γὰρ ἐν ἀποστάσει σώματος καὶ τῆς ἀλόγου παθητικῆς κινήσεως. πῶς δ' ἂν γένοιτο καὶ ἄχρι τίνος, ῥητέον. πρῶτον μὲν οἷον θεμέλιος καὶ ὑποβάθρα τῆς καθάρσεως τὸ γνῶναι ἑαυτὸν ψυχὴν ὄντα ἐν ἀλλο-

---

1 *τὴν τῆς γενέσεως* Holstenius ‖ 2 *ἄλλοι γὰρ* om. Holstenius qui mox *διαφέρονται* pro *διάφορα* ‖ 3 *μὲν* om. Holstenius ‖ 4 *πρὸς τὰς πρακτικὰς τῆς κατὰ φύσιν ἐνεργείας* Holstenius ‖ 5 *ἀποστῆσαι* — 9 *ἀφιγμένων* libri Stobaei: *εἰς ἔννοιαν ἀφικνουμένους· τῶν δὲ λοιπῶν ἀναλόγως τοῖς εἰρημένοις* Holstenius ‖ 6 *λαμβανουσῶν* Buecheler: *λαμβάνον* M[d] Br *λαμβάνων* A ‖ 7 syll. *στῆσαι* bibliopegae incuria perierunt A | *ἐρχομένους* ad homines refertur praeditos istis virtutibus ‖ 8 *μηδὲ* ex Arsenio Wyttenbachii Gaisfordus (cf. Stob. flor. ed. Gaisf. Oxon. v. I p. IX): *μηδὲν* M[d]A Br sed *μηδὲν* post v. *πρὸς νοῦν* collocat A ‖ 9 *διὸ καὶ* A Holstenius: *διὸ* M[d] Br | *ὁ μὲν κατὰ* M[d] Br Holstenius: *ὁ κατὰ μὲν* A hunc secuti sunt Gaisford et Meineke ‖ 10 *πρακτικὰς* sed *ὰς* in ras. pallidiore atramento Br ‖ 11 *τὰς* evanuit in A | *ἦν ἄνθρωπος* om. Br.: *ἦν* om. etiam Holstenius l. c. p. 85 | *δαίμων* M[d] Br Holstenius: *δαιμόνων* compendiose A ‖ 12 v. *τὰς πρὸς τὸν νοῦν θεός, ὁ δὲ κατὰ* om. Gesn.², inde vulg. ‖ 16 *τιμοτέρας* M[d] ‖ 17 *ἐπὶ πόσον* Holstenius: *πόσον* M[d]A *πόσου* Br ‖ 18 *ἐν ἀποστάσει* M[d]B Br: *ἀπόστασις* Holstenius ‖ 19 *ἄχρι* M[d]A Br: *μέχρι* Holstenius

[redacted]

[τῷ] πράγματι καὶ ἑτερουσίῳ συνδεδεμένον· δεύτερον ἀπὸ τούτου ὁρμώμενον τοῦ πείσματος συναγαγεῖν ἀπὸ τοῦ σώματος καὶ τοῖς οἷον τόποις, πάντως γε ἀπαθῶς πρὸς αὐτὸ διατιθέμενον. ἐνεργῶν μὲν γὰρ ὥς τις κατ' αἴσθησιν, εἰ καὶ μὴ μετὰ προσπαθείας ῆς τοῦ ἥδεσθαι ἀπολαύσεως τοῦτο ποιεῖ, ἀλλ' οὖν ἀσται περὶ τὸ σῶμα συναφῆς αὐτῷ κατὰ ταύτην ενος, προσπάσχων δὲ ταῖς τῶν αἰσθημάτων ἡδοναῖς ταις σὺν προθυμίᾳ καὶ ἐπινεύσει συμπαθεῖ· ἀφ' ἧς ἰλιστα διαθέσεως αὐτὸν προσήκει καθαίρειν. τοῦτο γένοιτο, εἰ καὶ τὰς ἀναγκαίας τῶν ἡδονῶν καὶ τὰς ;σεις ἰατρείας ἕνεκα μόνον τις παραλαμβάνοι ἢ ἀπαλ- ; πόνων, ἵνα μὴ ἐμποδίζοιτο. ἀφαιρετέον δὲ καὶ ἀλγηδόνας· εἰ δὲ μὴ οἷόν τε εἴη, πρᾴως οἰστέον ους τιθέντα τῷ μὴ συμπάσχειν. τὸν δὲ θυμὸν ὡς τε ἀφαιρετέον καὶ ⟨μὴ⟩ μελετητέον πάντῃ — εἰ ἰ, αὐτὸν γοῦν συναναμιγνύναι τὴν προαίρεσιν, ἀλλ' εἶναι τὸ ἀπροαίρετον· τὸ δ' ἀπροαίρετον ἀσθενὲς

---

l *τῷ* om. Holstenius; *τῳ* ci. Buecheler et Wachsm. | *πράγματι* M[d] nius *σώματι* A sed lineolam infra *σώματι* addidit et *πράγματι* cr. A[1] *σώματι* sed litt. *σω* in ras. atramento pallidiore Br[1] ‖ 2 *δὲ* olstenius | *ἀπὸ τοῦ* A sed *τοῦ* in *τούτου* mutavit A[2] | *συνάγειν* nius ‖ 3 *τοῖς οἷον τόποις* Holstenius: *τοῖς μὲν τόποις* M[d]A Br ‖ ὁ M[d] Br Holstenius: *αὐτὸν* A | *γὰρ συνεχῶς τις* M[d]A Br Holste- *γάρ τις συνεχῶς* tacite Gesn.[2] p. 24, inde vulg. ‖ 5 *εἰ καὶ μὴ* videtur: *καὶ μὴ* A quod etiam in M legi suspicor (inde Gesn.[2]?), et Dindorfii collator: *κἂν μὴ* Holstenius ‖ 7 *ἐσκέδασται ὁ περὶ* olstenius | *κατ' αὐτὴν* Holstenius l. c. p. 86 ‖ 8 *γινόμενος* libri facile cum *γενόμενος* confundi possit Br | *προσπάσχων* M[d] Br: *ίσχων* A *προσπάσχομεν* Holstenius | *αἰσθητῶν* Holstenius ‖ M[d]A Br: *δὲ* Holstenius | *αὑτὸν* Creuzer: *αὐτὸν* libri ‖ 11 *δὴ ἂν* nius ‖ 12 *παραλαμβάνει* et mox *παραλλαγὴν* Holstenius ‖ 13 *ίζοιτο* M[d] Br Holstenius: *ἐμποδιάζοιτο* A ‖ 14 *οἰστέον* M[d]A Br: *εῖν* Holstenius ‖ 15 *ἐλάττους τιθέντα* tacite Gesn.[2], inde vulg.: *ο τιθέντα* M[d]A Br *ἀλλ' ἐλαττωθέντα* Holstenius | *τῷ* tacite , inde vulg. et sic Holstenius: *τὸ* M[d]A Br | *ὡς* M[d]A Br: *ὅσον* nius ‖ 16 *μὴ* addidi ex Holsteniana ‖ 17 *μὴ* iterat Holsteniana | *γοῦν* Holstenius: *αὐτῷ γοῦν* M[d]A Br | *ἀλλ' ἄλλου* M[d]ABr Hol-

καὶ ὀλίγον — τὸν δὲ φόβον πάντῃ, περὶ οὐδενὸς γὰρ φοβήσεται· τὸ δ' ἀπροαίρετον καὶ ἐνταῦθα. χρηστέον δὴ ἄρα καὶ θυμῷ καὶ φόβῳ ἐν νουθετήσει· ἐπιθυμίαν δὲ παντὸς φαύλου ἐξοριστέον· σίτων δὲ καὶ ποτῶν οὐκ αὐτὸς ἕξει ᾗπερ αὐτός· ἀφροδισίων δὲ τῶν φυσικῶν οὐδὲ τὸ ἀπροαίρετον, εἰ δ' ἄρα, ὅσον μέχρι φαντασίας προπετοῦς τῆς κατὰ τοὺς ὕπνους. ὅλως δ' αὐτὴ μὲν πάντων ἡ ψυχὴ ⟨ἡ⟩ νοερὰ τοῦ καθαιρομένου τούτων ἔστω καθαρά. βουλέσθω δὲ καὶ τὸ κινούμενον πρὸς τὸ ἄλογον τῶν σωματικῶν παθῶν ἀσυμπαθῶς κινεῖσθαι καὶ ἀπροσέκτως, ὥστε καὶ τὰς κινήσεις εὐθὺς [τε] λύεσθαι τῇ γειτνιάσει τοῦ λογιζομένου.

124 (5, 124 Mein.) *Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας* (p. 29 A—B).

Τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλο

---

stenius. quod manu recentiore superscriptum legitur *ως* (supra *ου*) et mox *καὶ* (supra *τὸ*) in Br, id manifesto adsumptum est ex editione secunda Gesneri qui coniecit *ἀλλ' ἄλλως εἶναι καὶ ἀπρ.* p. 24 mrg

1 *τε* pro *δὲ* Holstenius. *δὲ* etiam Plot. enn. I 2, 5 | *πάντα* Holstenius qui om. *περὶ* ‖ 2 *δὴ* M^d Br *δὲ* Holstenius: *μὴ* A ‖ 4 *σιτίων* Holstenius ‖ 5 *ᾗπερ* (*ἥπερ* M^d) M^dA Holstenius: *ἧσπερ* Br | *δὲ* Br Holstenius: *τε* vel *τὲ* M^dA ‖ 6 *μέχρι* libri Stob. et Holstenius. num *ἄχρι*? ‖ 7 *δὲ* M^d Br Holstenius ‖ 8 *ἡ ψυχὴ ἡ ν.* Holstenius l. c. p. 87: *ἡ ψυχὴ ν.* libri Stob. | *τούτων* etiam A compendiose. errat Gaisford ‖ 9 *ἄλογον* M^d Br Holstenius: *ἀνάλογον* A ‖ 10 *ἀπροσέκτως* A Holstenius: *ἀπροσεκτῶς* M^d Br ‖ 11 *ὥστε* M^dA Holstenius: *ὡς* Br | *εὐθὺς* (om. *τε*) Holstenius: *εὐθύς τε* M^dA Br sed *τε* et proximi vocabuli litterae *λυε* in litura A manu incerta ‖ 13 ecl. cum integro lemmate hab. MA (post ecl. 1, 88 Mein.) cum lemmate *Πλάτωνος* Tr. p. 37 (post ecl. 5, 82 Mein.) cum lemmate *σωκράτους* Br (post ecl. 5, 55 Mein.). v. *τὸ γάρ τοι* — p. 97, 6 *οὐκ οἶδεν* iterantur intra maius excerptum flor. 7, 76 Mein. (*Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας*) ‖ 15 *τὸ γάρ τοι* — p. 97, 2 *ὂν τῶν ἀγαθῶν* M^dA Br Plat.: *Φαντάζονται δέ τινες πολλάκις, καὶ δοκοῦσι τινὲς εἶναι, καὶ οἴονται τοῦτο εἶναι τῶν ἀνθρώπων πάντων μέγιστον ὄντων ἀγαθῶν* Tr. foedae interpolationis originem illustravi mus. Rh. XXXIX p. 400 sq. | *τοι γάρ τοι* M^d | *ὦ ἄνδρες* M^dA Br Plat. *ὦ Ἀθηναῖοι* ut videtur Stobaeus infra; fuerit igitur in archetypo *ὦ ἄνδρες Ἀθηναῖοι*

[redacted]

στὶν ἢ δοκεῖν σοφὸν εἶναι μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι στὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον ὐδ᾽ εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ιγαθῶν· δεδίασι δὲ ὡς εὖ εἰδότες, ὅτι μέγιστον τῶν ακῶν ἐστι. καὶ τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη ἡ πονείδιστος, ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; ἐγὼ ἱέ, ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων, καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου οὕτω καὶ οἴομαι οὐκ εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ βελτίονι, καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν οἶδα. πρὸ οὖν τῶν κακῶν, ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα εἰ καὶ ἀγαθὰ ὄντα τυγχάνει, οὐδέποτε φοβήσομαι οὐδὲ φεύξομαι.

125 (1, 46 Mein.) *Ἐπικτήτου* (fr. 1 III p. 65 ed. Schweigh.).

Ὁ τύχῃ βίος συμπεπλεγμένος ἔοικε χειμάρρῳ ποταμῷ· καὶ γὰρ ταραχώδης καὶ ἰλύος ἀνάμεστος καὶ δυσέμβατος καὶ τυραννικὸς καὶ πολύηχος καὶ ὀλιγοχρόνιος.

---

3 *πάντων* om. libri infra | *ὂν*] *ὧν* Br || 4 *ὡς*] *οι* vel *οἱ*, superscr. *να* *ὡς* compend. A, *ουθε* A mrg || 5 *καὶ τοῦτο πῶς* M[d] Tr. Br, Stob. infra, Plat., *καὶ του* (superscr. *το*) (?) *περὶ* A; *καί τοι πῶς* Eusebius praepar. evang. 13, 10 | *ἀμαθία* Stobaeus infra, Plat.: *ἂν* (*ἀν* M[d]) *εὐήθεια* M[d] Br, *ἂν ἀλήθεια* A Tr. qua ex diversitate emergat archetypi lectio *εὐήθεια* (superscr. *ἀμα*); temere *ἂν ἀμαθία* Gesn.[1] p. 46, inde vulg. | *αὕτη* om. Br | *ἡ* post *αὕτη* A ni fallor, flor. 7, Plat., om. M[d] Tr. Br || 6 *ἡ τοῦ*] *ἡ οὐ* praeterea superscr. nescio quid A, *ἡ τοῦ* A[2] mrg || 8 *ἀνθρώπων* delet Hirschig | *φαίην*] *φαίειν* M[d] || 9 *τούτῳ* vel *τούτω* M[d]A Br Platonis E F b d *τούτων* Tr. *τοῦτο* Platonis B D || 10 *τὸ*] *τῶν* Tr. | *ἀπειθεῖν* M[d] Tr. Br Platonis D F b *ἀπιθεῖν* A Platonis B *τὸ ἀπειθεῖν* Platonis E | *καὶ αἰσχρόν ἐστιν* M[d]A Br, Plat., *εἶναι τοῦτον* Tr. || 13 *εἰ καὶ* M[d]A Tr. Br, Theodoret. therapeut. p. 326 Gaisf., Euseb.: *εἰ* Platonis B D E F | *φοβήσομαι* M[d] Tr. Br, *φησομαι* A superscr. (*οβι*) A[2], *φοβήσομαι* Platonis B D E, *φοβηθήσομαι* Platonis F d Euseb. Theodoret. || 14 *φεύξομαι* (sic) Br Plat.: *φθέγξομαι* M[d]A Tr. || 15 ecl. cum lemm. hab. MA (post ecl. 5, 124 Mein.) Tr. p. 38 (post ecl. 5, 73 Mein.). recurrit haec et duae proximae in gnomologio Moschionis per H. Schenkelium edito *die Epikt. fragm.*

126 (1, 47 Mein.: fr. 2)

Ψυχὴ ὁμιλοῦσα ἀρετῇ ἔοικεν ἀενάῳ πηγῇ· καὶ γὰρ καθαρὸν καὶ ἀτάραχον καὶ πότιμον καὶ νόστιμον καὶ κοινωνικὸν καὶ πλούσιον καὶ ἀβλαβὲς καὶ ἀνώλεθρον.

127 (1, 48 Mein.: fr. 3)

Εἰ βούλει ἀγαθὸς εἶναι, πρῶτον πίστευσον ὅτι κακὸς εἶ.

128 (1, 49 Mein.: fr. 4 l. c. p. 66)

Βέλτιον ὀλιγάκις πλημμελεῖν ὁμολογοῦντα σωφρονεῖν πλεονάκις ἢ ὀλιγάκις ἁμαρτάνειν λέγοντα πλημμελεῖν πολλάκις.

129 (1, 50 Mein.: fr. 5)

Κόλαζε τὰ πάθη, ἵνα μὴ ὑπ' αὐτῶν τιμωρῇ.

130 (1, 51 Mein.: fr. 6)

Μὴ οὕτω τὸ ἐκ τῆς δόξης ⟨αἰσχρὸν⟩ αἰσχύνου, ὡς τὸ ἐκ τῆς ἀληθείας ἀπόφευγε.

131 (1, 52 Mein.: fr. 7)

Εἰ βούλει καλῶς ἀκούειν, μάθε καλῶς λέγειν. μα-

Vindob. a. 1888 p. 78 n. 11—13; item ecl. 131 est Moschionis n. 16, ecl. 133 Moschionis n. 18. cf. p. 98, 7. 16 adn. 100, 16 adn. 101, 8 adn. 105, 12 adn. de fonte Stobaei vide mus. Rh. XXXIX p. 537 Schenkl l. c. p. 10
1 ecl. hab. MA Tr. (post ecl. 1, 46 Mein.) Br (post ecl. 5, 68 Mein. id est Epicteti ench. c. 43); *τοῦ αὐτοῦ* Tr. A^2 mrg archetypi rationi minus convenienter: om. M, qui coniunctam habet eclogam cum priore, A^1 Br ‖ 2 *ἀεννάῳ* libri ‖ 4 post *ἀνώλεθρον* quod addit Br *τὸ ὕδωρ ἐκβλύζει*, glossatoris est, cf. Schweighaeuser l. c. p. 180 ‖ 5 ecl. hab. lemmate non iterato MA^1 Tr., *τοῦ αὐτοῦ* add. A^2 mrg, nisi hoc lemma potius ad ecl. insequentem spectat ‖ 7 ecl. hab. lemmate non iterato M, ubi cohaeret ecloga cum praegressa, A (de quo cf. ad 5) Tr. recurrit corp. Par. 300 Elt. (*Μοσχίωνος*) ‖ 8 *βέλτιον ὀλιγάκις ὁμολογοῦντα κατορθοῦν σωφρονεῖν πολλάκις ἢ ὀλιγάκις κτέ.* corp. Par. recte, opinor ‖ 9 *ἁμαρτάνειν* M^dA corp. Par.: *ἁμαρτεῖν* Tr. illud commendatur concinnitate ‖ 11 ecl. hab. lemmate non iterato M, ubi cohaeret cum priore, A Tr. Br; *τοῦ αὐτοῦ* temere Gaisf. et hic et 7 ‖ 13 ecl. hab. lemmate non iterato MA Tr. Br ‖ 14 *οὕτως* M^dA Br *οὕτω* Tr. | *ἐκ* ante *τῆς δόξης* om. A quem immerito secuti sunt Gaisford et Meineke | *αἰσχρὸν* inseruerunt Wachsmuth et Buecheler | *ἐκ* ante *τῆς ἀλ.* om. Tr. ‖ 16 ecl. hab. lemmate non iterato MA Tr. Br. recurrit corp. Par. 301 Elt. (*Μοσχίωνος*) ‖ 17 *βούλει* Tr.: *θέλεις* M^dA Br corp. Par. illud puto praestare, cf. Halm lect. Stob. p. 29 adn. | *μάνθανε* corp. Par.

θῶν δὲ καλῶς λέγειν, πειρῶ καλῶς πράττειν, καὶ οὕτω καρπώσῃ τὸ καλῶς ἀκούειν.

132 (5, 84 Mein.: fr. 19 l. c. p. 71)

Ἐξέταζε σαυτὸν πότερον πλουτεῖν θέλεις ἢ εὐδαιμονεῖν. καὶ εἰ μὲν πλουτεῖν, ἴσθι ὅτι οὔτε ἀγαθὸν οὔτε ἐπὶ σοὶ πάντῃ, εἰ δὲ εὐδαιμονεῖν, ὅτι καὶ ἀγαθὸν καὶ ἐπὶ σοί. ἐπεὶ τὸ μὲν τύχης ἐπίκαιρον δάνειον, τὸ δὲ [τῆς εὐδαιμονίας] προαιρέσεως.

133 (5, 85 Mein.: fr. 20)

Καθάπερ ἔχιν ἢ ἀσπίδα ἢ σκορπίον ἐν ἐλεφαντίνῃ ἢ χρυσῇ θεώμενος κίστῃ οὐ διὰ τὸ πολυτελὲς τῆς ὕλης ἀγαπᾷς καὶ εὐδαιμονίζεις, ἀλλ' ὅτι λυμαντικὴ ἡ φύσις ἐκτρέπῃ καὶ μυσάττῃ, οὕτω καὶ ἐπειδὰν ἐν πλούτῳ καὶ ὄγκῳ τύχης θεάσῃ κακίαν ἐνοῦσαν, μὴ καταπλαγῇς τὸ περιλαμπὲς τῆς ὕλης, ἀλλὰ καταφρόνει τῆς ἐν τῷ τρόπῳ κιβδηλίας.

134 (5, 86 Mein.: fr. 21)

Ὁ πλοῦτος οὐ τῶν ἀγαθῶν, ἡ πολυτέλεια τῶν κακῶν, ἡ σωφροσύνη τῶν ἀγαθῶν. καλεῖ δὲ ἡ μὲν σωφροσύνη

---

1 *καλῶς* ante *πρ.* periit detrito margine A | *ποιεῖν* pro *πράττειν* Tr. ‖ 3 ecl. hab. lemmate non iterato MA Tr. post ecl. 1, 52 Mein. cohaeret cum praegressa in M. *Ἐπικτήτου* addunt Schow Gaisford Meineke Gesneriana abducti traiectione ‖ 4 *πότερον* Tr.: *πότερα* M[d]A | *θέλεις ἢ*] litt. *θε* A[1] *εις* compendiose A rec. *ἢ* add. A[2] ‖ 5 *ὅτι* om. A | *ἀγαθὸν* A[2] in marg. sinistro; praeterea *πλουτεῖν εὐδαιμονεῖν διαφ* compendiose A[2] mrg ‖ 6 *ἐπὶ καιρον* (sic) A, ubi legi *ἐπὶ καίρου* falso dixerat Gaisford, unde male *ἐπικαίρου* coniecit Meineke. cf. infra p. 109, 10 ‖ 7 *τῆς εὐδαιμονίας* seclusi. addidit hoc qui in prioribus male iunxit *τὸ μὲν τύχης*. desideratur quod verbis *ἐπίκαιρον δάνειον* respondere voluit in hoc membro Epictetus, velut *τὸ δὲ πρ. κτῆσις ἀναφαίρετος* vel *τὸ δὲ κτ. ἀ. πρ.*, sim. *τὸ δὲ δῶρον ἐπίμονον* (sive *δωρεὰ ἐπίμονος*) *πρ.* ci. Wachsmuth. minus apte proposuit Schweighaeuser p. 183 *τὸ δὲ τῆς εὐδαιμονίας, προαιρέσεως ἀίδιος καὶ ἀσφαλὴς κτῆσις* ‖ 9 ecl. hab. lemmate non iterato MA Tr. cohaeret cum prioribus in M ‖ 10 supplevit non nulla A rec. in margine resarto velut *χιν* in voce *ἔχιν*, infra *γαπᾶς* in voce *ἀγαπᾷς* aliaque quae enotare operae pretium non est. idem dicendum de ecl. 133–136 ‖ 17 ecl. hab. lemmate non iterato MA Tr. cohaeret cum prioribus in M

ἐπὶ τὴν εὐτέλειαν καὶ τὴν κτῆσιν τῶν ἀγαθῶν· ὁ δὲ πλοῦτος ἐπὶ τὴν πολυτέλειαν, καὶ ἀφέλκει τῆς σωφροσύνης. δυσχερὲς ἄρα πλουτοῦντα σωφρονεῖν ἢ σωφρονοῦντα πλουτεῖν.

135 (5, 87 Mein.: fr. 22)

Ὥσπερ εἰ ἐν νηὶ ἐσπάρης ἢ ἐτέχθης, οὐκ ἂν ἔσπευδες αὐτῆς κυβερνήτης ὑπάρχειν ...... οὔτε γὰρ ἐκεῖ σοι φύσει ἡ ναῦς συνέστη οὔτε ἐνταῦθα ὁ πλοῦτος, ἀλλὰ πάντῃ ὁ λόγος. ὅπερ οὖν σοι φυσικὸν καὶ συγγενές, ὁ λόγος, τοῦτο καὶ οἰκεῖον ἡγησάμενος τούτου ἐπιμελοῦ.

136 (5, 88 Mein.: fr. 23 l. c. p. 73)

Ἐν Πέρσαις μὲν γεννηθεὶς οὐκ ⟨ἂν⟩ ἔσπευδες οἰκεῖν τὴν Ἑλλάδα ἀλλ' αὐτόθι διάγων εὐτυχεῖν· ἐν πενίᾳ δὲ γεννηθείς, τί σπεύδεις πλουτεῖν, ἀλλ' οὐκ αὐτόθι μένων εὐτυχεῖν;

137 (5, 89 Mein.: fr. 24)

Ὥσπερ ἐπὶ σμικροῦ σκίμποδος θλιβόμενον ὑγιαίνειν ἄμεινον ἢ ἐπὶ πλατείας κλίνης κυλινδούμενον νοσεῖν· οὕτω

---

1 *ἢ* pro *καὶ* M^d | *τὴν* ante *κτ.* om. A ‖ 5 ecl. hab. lemmate non iterato MA Tr. cum ecloga priore iungunt M Tr. ‖ 7 post *ὑπάρχειν* alterum membrum intercidisse vidit Hieronymus Wolf. exspectes *οὕτω μηδ' ἐν πλούτῳ γεννηθεὶς ἐπιχείρει αὐτοῦ κύριος ὑπάρχειν*, sim. ‖ 8 *συνέσται* libri: corr. Buecheler et Wachsmuth ‖ 9 *ὁ λόγος* secludi vult Meineke ‖ 10 *τοῦτο* refinxit A rec. in margine resarto. aberravit Gaisford ‖ 11 ecl. hab. lemmate non iterato MA Tr. recurrit corp. Par. 565 Elt. (*Ἐπικτήτου*) cf. Wachsmuth *stud.* p. 129 ‖ 12 *μὲν* frustra seclusit Meineke deceptus Gaisfordi indiligentia, habet etiam A compend. | *ἂν* addi iussit Schweighaeuser l. s. p. 184 ‖ 13 *ἀλλ' αὐτόθι* M^d Gesn.^{2} p. 71, inde vulg.: *αὐτόθι* A Tr. corp. Par. | *ἐντυχεῖν* M^d ‖ 14 *μένων* etiam Tr. p. 39 per compendium. hoc falso interpretatus *μᾶλλον* invexit Gesn.^{1} p. 48, inde vulg. ‖ 16 ecl. hab. lemmate non iterato M, ubi cohaeret cum priore, A Tr. eclogae pars altera recurrit corp. Par. 308 Elt. (*Μοσχίωνος*): *βέλτιόν ἐστιν ἐν μικρᾷ περιουσίᾳ συστελλόμενον εὐθυμεῖν ἢ ἐν μεγάλῃ* (*εὐθυμεῖν ἢ μεγάλη* flor. Laur. p. 239, 16 Mein.) *τυγχάνοντα δυστυχεῖν.* cf. etiam flor. 5, 28 Mein. ‖ 17 *μικροῦ* M^d ‖ 18 *πλατίασ* M^d | *κυλινδούμενον* (*καλινδ.* Tr.) M^d Tr.: *κυλινδόμ(ενον* suppl. A rec. in margine resarto) A quod recepit Meineke

[redacted]

καὶ ἐν μικρᾷ περιουσίᾳ βέλτιον συστελλόμενον εὐθυμεῖν ἢ ἐν μεγάλῃ τυγχάνοντα δυσθυμεῖν.

138 (5, 90 Mein.: fr. 25)

Οὐ πενία λύπην ἐργάζεται, ἀλλὰ ἐπιθυμία· οὐδὲ πλοῦτος φόβου ἀπαλλάττει, ἀλλὰ λογισμός. κτησάμενος τοιγαροῦν τὸν λογισμὸν οὔτε πλούτου ἐπιθυμήσεις οὔτε πενίαν μέμψῃ.

139 (5, 91 Mein.: fr. 26 l. c. p. 74)

Οὔτε ἵππος ἐπὶ φάτνῃ καὶ φαλάροις καὶ τάπησιν οὔτε ὄρνις ἐπὶ βρώμῃ καὶ καλιᾷ ὑψοῦται καὶ γαυριᾷ, ἀλλ' ἄμφω ἐπὶ ὠκύτητι, ὁ μὲν ποδῶν ὁ δὲ πτερῶν. καὶ σὺ τοιγαροῦν μὴ ἐπὶ τροφῇ καὶ σκέπῃ καὶ ἁπλῶς τῇ ἔξωθεν περιουσίᾳ μέγα ὀγκύλλου ἀλλ' ἐπὶ χρηστότητι καὶ εὐποιίᾳ.

140 (5, 92 Mein.: fr. 27)

Τὸ καλῶς ζῆν τοῦ πολυτελῶς διαφέρει· τὸ μὲν γὰρ ἐκ σωφροσύνης καὶ αὐταρκείας καὶ εὐταξίας καὶ κοσμιότητος [καὶ εὐτελείας] παραγίνεται, τὸ δὲ ἐξ ἀκολασίας καὶ τρυφῆς καὶ ἀταξίας καὶ ἀκοσμίας· τέλος δὲ τοῦ μὲν

---

1 εὐθυμεῖν M^dA: εὐδαιμονεῖν Tr. ‖ 2 τυγχάνοντα haud integrum: ἐν μεγάλῃ τύχῃ ὄντα ci. Schweighaeuser, μεγάλῃ ἐντυγχάνοντα vel μεγάλης τυχόντα maluit Meineke v. IV p. LVII. sed quod 'ex opposito respondeat illi συστελλόμενον' recte requirit Schweighaeuser. scripserim ἐν μ. τρυφῶντα vel ἐν μ. τύχῃ χλιδῶντα | δυσθυμεῖν M^d δυστυχεῖν (εῖν A rec. in marg. refecto) A Tr. ‖ 3 ecl. hab. lemmate non iterato MA Tr. Br ‖ 4 εὐθυμία oscitantur Gesn.[2] p. 72, inde vulg. ‖ 5 φόβου M^d Tr. Br: φόβον ex A Gaisford et Meineke ‖ 6 τὸν seclusit Meineke | ἐπιθυμίαν Tr. ‖ 7 πενίαν A Tr.: πενία M^d πενίᾳ Br structura rariore ‖ 8 ecl. hab. lemmate non iterato M, ubi cohaeret cum priore, A Tr. cf. supra p. 34, 17. flor. 4, 93 Mein. Arr. Epict. diss. III 14, 11 sqq. Seneca ep. 41, 6. 47, 16. usus est hac ecloga Moschio corp. Par. 309 Elt. (Μοσχίωνος) ‖ 10 ῥώμῃ M^d βρώμῃ A χρώχῃ (unde χρόχῃ mire Gesn.[1]) Tr. ‖ 13 μέγα (μετὰ Tr.) ὀγκύλλου M^d Tr.: μάταια (sic) ὀγκοῦ A tritius vocabulum substituens reconditiori, non recte receperant Gaisford et Meineke ‖ 14 ecl. hab. lemmate non iterato MA S rec. Tr. ‖ 15 διαφέρει] etiam huic eclogae adscripsit ΔΦ A rec. mrg. cf. p. 99, 5 adn. ‖ 16 ἐν Tr. | εὐταξίας coniectura restituit Gesn.[1] p. 48 mrg: εὐεξίας M^dA Tr. ‖ 17 καὶ εὐτελείας seclusit Hirschig misc. philol. p. 185 | δ' M^d

ἔπαινος ἀληθὴς τοῦ δὲ ψόγος. εἰ τοίνυν βούλει καλῶς ζῆν, μὴ ζήτει μετὰ πολυτελείας ἐπαινεῖσθαι.

141 (5, 93 Mein.: fr. 28 l. c. p. 75)

Μέτρον ἔστω σοι παντὸς σίτου καὶ ποτοῦ ἡ πρώτη τῆς ὀρέξεως ἔκπλησις, ὄψον δὲ καὶ ἡδονὴ αὐτὴ ἡ ὄρεξις· καὶ οὔτε πλείονα τῶν δεόντων προσοίσῃ, οὔτε ὀψοποιῶν δεήσῃ, ποτῷ τε τῷ παραπεσόντι ἀρκεσθήσῃ.

142 (5, 94 Mein.: fr. 29)

Τὰς σιτήσεις ποιοῦ μὴ πολυτελεῖς καὶ σκυθρωπάς, ἀλλὰ λαμπρὰς καὶ εὐτελεῖς, ἵνα μήτε διὰ τὰ σωματικὰ αἱ ψυχαὶ ταράττωνται μήτε φενακιζόμεναι πρὸς τῶν ἡδονῶν τῶν σωματικῶν ὀλιγωρῶσιν, ἐπεί τοι βλάπτονται τρυφῶντα μὲν παραυτίκα νοσοῦντα δὲ εἰσαῦθις τὰ σώματα.

143 (5, 95 Mein.: fr. 30)

Φρόντιζε ὅπως σε μὴ τὰ ἐν τῇ γαστρὶ σιτία πιαίνῃ, ἀλλ' ἡ ἐν τῇ ψυχῇ εὐφρασία, ἐπεὶ τὰ μὲν ἀποσκυβαλί-

---

2 inde a verbis *μὴ ζήτει* incipit S cuius quinque priora folia exaravit manus recens. non utor his foliis (S rec.) nisi ubi discrepant a Tr. ‖ 3 ecl. hab. lemmate non iterato MA S rec. Tr. cohaeret ecloga cum priore in M ‖ 5 *ἔμπλησις* libri: corr. Hieron. Wolf ‖ 7 *δεηθήσῃ* M^d^A S rec. *δεήσῃ* Tr. | cf. Musonius Stobaei flor. 17, 43 Mein. *ἀρκούμενα τοῖς παραπεσοῦσι* ‖ 8 ecl. hab. lemmate non iterato MA S rec. Tr. ‖ 9 *αἰτήσεις* A *σΐ* superscr. A² | *πολυτελεῖς* M^d^A: *ἀνειμένας* Tr. ‖ 10 ante *λαμπρὰς* add. *καὶ* A quod immerito receperunt Gaisford et Meineke. longius aberraverat Iacobs lect. Stob. p. 53 | *λαμπρὰς* libri: *ἱλαρὰς* ci. Meineke ‖ 11 *ταρατάττονται* (sic fere) A | *μήτε* ante *φενακ.* om. Tr. | *πρὸς* M^d^A: *καὶ* Tr. *πρὸς τῶν ἡδ. καὶ τῶν σωμ. ὀλ.* ci. Iacobs l. c. p. 54. malim *πρὸς τῶν ἡδ. ὀλιγωρῶσι τῶν σωμ.* ‖ 12 *ἐπεί τοι* Iacobs: *ἔπειτα* libri | *βλάπτονται* libri nisi quod *βλάπτωνται* M^d^ m. sec. ‖ 13 *πλοῦτον* pro *παραυτίκα* Tr. | *δὲ* om. A ‖ 15 ecl. hab. lemmate non iterato MA S rec. Tr. recurrit corp. Par. 566 Elt. (post eclogam *Ἐπικτήτου* lemmate non iterato) ‖ 16 *σιτία* M^d^A (sic) corp. Par.: *μόνον* (om. *σιτία*) Tr. p. 40 | *πιαίνῃ* Maxim. c. 27 p. 612 Combef.: *ἐπαινῇ* (vel -*ῇ*) M^d^A Tr. corp. Par. illud Epicteto vindicavit Vpton. *ἐπαίρῃ* Schowii duo ex emend. quod verum videtur Schweighaeusero p. 187, item Hirschigio qui delenda censet v. *ὁ ἔπαινος* (p. 103, 1) probante Meinekio. cf. mus. Rh. XLI p. 62 sq. ‖ 17 *εὐφρασία* libri Stob. corp. Par. nisi quod *εὐφρανσία* M^d^

ζεται, καὶ συνεκρεῖ ὁ ἔπαινος· ἣ δὲ κἂν ἡ ψυχὴ χωρισθῇ διὰ παντὸς ἀκήρατος μένει.

144 (5, 96 Mein.: fr. 31 l. c. p. 76)

Ἐν ταῖς ἑστιάσεσι μέμνησο ὅτι δύο ὑποδέχῃ, σῶμα καὶ ψυχήν, καὶ ὅ τι ἂν τῷ σώματι δῷς τοῦτο εὐθὺς ἐξέχεας, ὅ τι δ' ἂν τῇ ψυχῇ διὰ παντὸς τηρεῖς.

145 (5, 97 Mein.: fr. 32)

Μὴ συγκεράσας ἅμα ὀργὴν πολυτελείᾳ προσενέγκῃς· πολυτέλεια μὲν ἐμπηδήσασα τῷ σώματι μετ' οὐ πολὺ οἴχεται, ἡ δὲ ὀργὴ ἐνδῦσα τῇ ψυχῇ ἐπὶ τὸ μήκιστον μένει. σκόπει τοιγαροῦν, ὅπως μὴ ὑπ' ὀργῆς ἐξαχθεὶς τοὺς δαιτυμόνας πολυτελῶς ὑβρίσῃς, ἀλλὰ μᾶλλον μεθ' ἡμερότητος εὐτελῶς εὐφράνῃς.

146 (5, 98 Mein.: fr. 12 l. c. p. 68)

Αἰσχρὸν τοῖς τῶν μελιττῶν δωρήμασι γλυκάζοντα τὴν κατάποσιν, τὸ τῶν θεῶν δῶρον πικράζειν, τὸν λόγον, τῇ κακίᾳ.

1 ὁ ἔπαινος M^dA corp. Par.: ὡς ὀρους (ὁ ῥοῦς S rec.) Tr. ./· γρ ὡς (vel καὶ compend.) ὁ ῥοῦσ A m. rec. in refecto margine. glossema hoc esse (corruptum fortasse ex ὡς οὖρος) vidit Schweigh. confer quod modo irrepsit μόνον (p. 102, 16) pro genuino σιτία ‖ 2 μενεῖ A ‖ 3 ecl. hab. lemmate non iterato MA S rec. Tr. recurrit corp. Par. 567 (lemmate post Ἐπικτήτου eclogam non iterato) ‖ 4 μέμνησο ὅτι M^dA corp. Par.: μελέτα τίσι τὰ Tr. p. 40 ‖ 5 δὸς Tr. | τοῦ pro τοῦτο corp. Par. | εὐθὺς etiam A, non εὐθέως quod scripsit Meineke deceptus nota Gaisfordi, qui erravit etiam in proximis ‖ 6 ἂν om. Tr. ‖ 7 ecl. hab. lemmate non iterato MA S rec. Tr. ‖ 8 προσένεγκαι Tr. ‖ 9 ⟨ἐπεὶ ἡ⟩ πολ. non recte Meineke | ἐμπηδήσασα Halm lect. Stob. p. 24: πηδήσασα M^dA Tr. εἰσ superscr. A² quod recepit Meineke; ἐπιπηδήσασα Iacobs lect. Stob. p. 54 ‖ 10 ἡ δὲ ὀργὴ ἐνδῦσα τῇ ψυχῇ MA (sed pro ἡ in duarum litt. spatio nescio quid correxit A¹ ut videtur, eadem manus ἡ superscr.): ἣν δὲ ὀργὴν ἐνδῦσ (vel -ὺς, om. τῇ ψυχῇ) Tr. | μένῃ Tr. ‖ 11 pro ἐξαχθεὶς quid voluerit A¹ nec ego nec Mekler extricavimus, ἐξαχθεὶς in margine resarto A rec. ‖ 13 εὐφρανῇσ M^dA sed ει compendiose supra α add. A manu inc. εὐφρανεῖς Tr. ‖ 14 ecl. hab. lemmate non iterato MA S rec. Tr. (post ecl. 5, 97 Mein.) Br (post ecl. 5, 90 Mein.). ecloga cum priore cohaeret M. recurrit Maxim. c. 59 p. 669 Combef. (Πυθαγόρου) ‖ 16 τῶν κατὰ πόσιν Tr. | τὸ τῶν θεῶν (τοῦ Θεοῦ Max.) δῶρον πικράζειν (πικρὸν Tr.) τὸν λόγον M^d Tr. Br Max. ex corr.

147 (5, 99 Mein.: fr. 33 l. c. p. 77)

Μελέτω σοι ἐν τοῖς σιτίοις, ὅπως [σοι] οἱ ὑπουργοῦντες μὴ πλείους τῶν ὑπουργουμένων ὑπάρχωσιν· ἄτοπον γὰρ ὀλίγαις στιβάσι πολλὰς δουλεύειν ψυχάς.

148 (5, 100 Mein.: fr. 34)

Ἄριστον μὲν εἰ κἀν ταῖς παρασκευαῖς χειρουργῶν κἀν ταῖς τροφαῖς ἑστιώμενος κοινωνεῖς τοῖς θεράπουσι τῶν παρόντων. εἰ δὲ τὸ τοιόνδε δυσχερὲς τῷ καιρῷ ὑπάρχοι, μέμνησο ὅτι μὴ κάμνων ὑπὸ καμνόντων ὑπουργῇ, ἐσθίων ὑπὸ μὴ ἐσθιόντων, πίνων ὑπὸ μὴ πινόντων, [ἐσθίων] λαλῶν ὑπὸ σιωπώντων, ἀνειμένος ὑπὸ συνεσταλμένων· καὶ οὔτε αὐτὸς φλεγμῆνας ἄτοπον πείσῃ οὔθ' ἕτερον ἀγριάνας χαλεπὸν ἐργάσῃ.

149 (5, 101 Mein.: fr. 35 l. c. p. 78)

Ἐρίζειν καὶ φιλονεικεῖν πάντῃ μὲν ἀνοίκειον, μάλιστα δὲ ἐν ταῖς παρὰ πότον ὁμιλίαις ἀπρεπές. οὔτε γὰρ ἂν μεθύων νήφοντα διδάξειέ τις οὔτ' αὖ μεθύων πρὸς νήφοντος πεισθείη. ἔνθα δ' ἂν μὴ παρῇ πειθοῦς τέλος, εἰκῇ σε παρέχεις διατείνεσθαι.

A² *τὸ τῶν θ. λόγον πικράζειν τὸν* (sic) *δῶρον* A¹: *τὸ τῶν θ. δ. τὸν λόγον π.* tacite Gesn.² p. 72, inde vulg. '*τὸν λόγον* fuit margini inpositum' Buecheler

1 ecl. hab. lemmate non iterato MA S rec. Tr. cohaeret ecloga cum priore M Tr. ‖ 2 *σοι* inter *ὅπως* et *οἱ* seclusi tamquam dittographiam ‖ 3 *πλείους* MᵈA: *πλουσιώτεροι* Tr. ‖ 5 ecl. hab. lemmate non iterato S rec. Tr. p. 40 ‖ 7 *κοινωνεῖς* ci. Gesn.¹ p. 50 mrg qua emendatione 'nihil certius' censet Schweighaeuser p. 189: *κυβερνᾷς* Tr. | *θεράπουσι* ci. Gesn.¹ l. c. idque ipsum offert S rec.: *θεραπεύουσι* Tr. ‖ 9 *μέμνησο κτέ.*] Seneca ep. 47, 4 *nocte tota ieiuni mutique perstant* | *ὑπὸ καμνόντων* Epicteti ed. Basil. a. 1554: *ὑπ' ὀκνούντων* Tr. ‖ 11 *ἐσθίων* tacite seclusit Gesn.¹ l. c. | *ἀνειμένος* (ut tacite scripserat Gesn.¹) S rec.: *ἀνοιμένον* Tr. ‖ 12 *οὐδέτερον* (*οὐδ' ἕτ.* Gesn.¹) Tr.: corr. Meineke ‖ 14 ecl. hab. lemmate non iterato MA S rec. Tr. ‖ 15 *ἀνοίκειον* Mᵈ . . . *κειον* legi potest in A ubi *ἄτοπον* in margine redintegrato man. rec.: *ἄτοπον* Tr. illatum fortasse ex v. 12 ‖ 16 *δ'* Mᵈ ‖ 17 *διδάξῃ τίς* Mᵈ *διδάξει τις* (*ξει τις* suppl. A² in margine dextro) A Tr.: corr. Schweighaeuser p. 190 | in voce *οὔτ'* suppl. *οὔ* per compendium A² | *αὖ* A Tr.: *ἂν* Mᵈ ‖ 18 *πειθοῦς* MᵈA: *νῆψις* Tr. ‖ 19 *εἰκῇ* Mᵈ Tr.: *ἐκεῖ* A *γρ. εἰκῇ* A² in margine

150 (5, 102 Mein.: fr. 36)

Οἱ τέττιγες μουσικοὶ οἱ δὲ κοχλίαι ἄφωνοι, χαίρουσι δὲ οἳ μὲν ὑγραινόμενοι οἳ δὲ ἀλεαινόμενοι. ἔπειτα προκαλεῖται τοὺς μὲν ἡ δρόσος, καὶ ἐπὶ ταύτῃ ἐκδύνουσι· τοὺς δ' αὖ διεγείρει ἀκμάζων ὁ ἥλιος, καὶ ἐπ' αὐτῷ ᾄδουσι. τοιγαροῦν εἰ βούλει μουσικὸς καὶ εὐάρμοστος ὑπάρχειν ἀνήρ, ἡνίκ' ἂν ἐν τοῖς πότοις ὑπὸ τοῦ οἴνου δροσισθῇ ἡ ψυχή, τότε αὐτὴν μὴ ἔα προϊοῦσαν μολύνεσθαι· ἀλλ' ἡνίκ' ἂν ἐν τοῖς συνεδρίοις ὑπὸ τοῦ λόγου διαπυρωθῇ, τότε θεσπίζειν καὶ ᾄδειν τὰ τῆς δικαιοσύνης κέλευε λόγια.

151 (5, 103 Mein. fr. 37 l. c. p. 79)

Τὸν προσομιλοῦντα τριχῇ διασκοποῦ, ἢ ὡς ἀμείνονα ἢ ὡς ἥττονα ἢ ὡς ἴσον. καὶ εἰ μὲν ἀμείνονα, ἀκούειν χρὴ καὶ πείθεσθαι αὐτῷ, εἰ δὲ ἥττονα, πείθειν, εἰ δὲ ἴσον, συμφωνεῖν· καὶ οὔ ποτε ἁλώσῃ φιλονεικίας.

---

resarto | *παρέχεις* A: *παρέχει* Md Tr. | *διατείνεσθαι* libri sed *διατείν..σθαι* (superscr. *εσ*) nunc A ubi *είνεσθαι* A², eadem m. superscr. *εσ*, sed ante *σθ* litterae *σ* a manu prima scriptae vestigium

1 συμφοραῖς A ἡδοναῖς A² mrg ‖ 2 καὶ τὸ φιλογέλοιον Ps.-Arist. | ante φιλοσκ. add. τὸ Ps.-Aristotelis non nulli | φιλόσκωπτον libri nisi quod ην compendiose superscr. A²: φιλοσκώπτην Ps.-Arist. | φιλευτράπελον tacite ex Ps.-Arist. Gesn.[1], inde vulg.: φιλοτράπελον M[d] A Tr. ο punctis delevit et ευ superscr. A² ‖ 3 ante ῥᾳδ. add. τὸ Ps.-Arist. | ἐν ante τοῖς ἔργοις om. A ‖ 4 δὲ τῇ M[d] A Ps.-Arist.: δὲ αὐτῇ Tr. ‖ 5 τρυφὴ ῥαθυμία om. Ps.-Aristotelis libri a Schuchhardto adhibiti ‖ 6 ἀκρασίας S rec. ut videtur, Ps.-Arist.: ἀκρασία M[d]A Tr. | τὸ M[d] Tr. Ps.-Arist.: τῶ (olim τοῦ ut videtur) A¹ ὸ superscr. A² τοῦ S rec. ‖ 7 ἡδονῶν αἱρεῖσθαι M[d] A S rec. sed at duae post ἡδονῶν erasae sint litterae in A, Ps.-Arist.: ἡδονῶν (om. αἱρεῖσθαι) Tr., inde vulg. | καὶ M[d] Tr.: δὲ A τὸ add. supra voc. ὑπολ. A²; καὶ τὸ Ps.-Arist. ‖ 8 μετασχεῖν μὲν αὐτῶν Ps.-Arist. Bekk. | μηδὲν (om. δὲ) M[d] A: δὲ μηδὲν Tr. Ps.-Arist. ‖ 11 καὶ ante μεταμ. add. Ps.-Arist. Bekk. | μεταμέλεια Ps.-Aristotelis plerique ἀμέλεια Ps.-Arist. Susem. ‖ 11. 12 ταὐτὰ Ps.-Arist. ‖ 14 ἡ πρὸς θ. Ps.-Aristotelis libri | πλημμελεία M[d] ‖ 15 καὶ (ἢ καὶ Ps.-Arist. Bekk.) περὶ τοὺς κατοιχ. Ps.-Arist. | περὶ γονεῖς etiam A, deerravit Gaisford | καὶ περὶ πατρίδα Ps.-Aristotelis non nulli ‖ 16 ἡ om. Ps.-Arist. | περὶ τὰ Tr. Ps.-Arist.: παρὰ (corr. ex περὶ) τὰ S rec. παρὰ τὰ M[d] A sed περὶ superscr. A²

ἡδονὰς αὐτοῖς παρασκευάζουσιν εἰς ὄνειδος ἄγοντες ἑτέρους. ὅθεν καὶ Εὔηνος περὶ αὐτῆς λέγει

ἥτις κερδαίνουσ' οὐδὲν ὅμως ἀδικεῖ.

ἔστι δὲ τῆς ἀδικίας τὸ παραβαίνειν τὰ πάτρια ἔθη καὶ τὰ νόμιμα, τὸ ἀπειθεῖν τοῖς νόμοις καὶ τοῖς ἄρχουσι, τὸ ψεύδεσθαι, τὸ ἐπιορκεῖν, τὸ παραβαίνειν τὰς ὁμολογίας καὶ τὰς πίστεις. ἀκολουθεῖ δὲ τῇ ἀδικίᾳ συκοφαντία, ἀλαζονεία, ἀφιλανθρωπία, προσποίησις, κακοήθεια, πανουργία.

Ἀνελευθερίας δέ ἐστιν εἴδη τρία· αἰσχροκέρδεια, φειδωλία, κιμβικία. ἔστι δὲ αἰσχροκέρδεια μέν, καθ' ἣν κερδαίνειν ζητοῦσι πανταχόθεν καὶ τὸ κέρδος τῆς αἰσχύνης περὶ πλείονος ποιοῦνται. φειδωλία δέ, καθ' ἣν ἀδάπανοι γίνονται τῶν χρημάτων εἰς τὸ δέον. κιμβικία δέ ἐστι, καθ' ἣν δαπανῶσι μέν, κατὰ μικρὸν ⟨δὲ⟩ καὶ κακῶς, καὶ πλείω βλάπτονται τῷ μὴ κατὰ καιρὸν ποιεῖσθαι τὸ διάφορον. ἔστι δὲ τῆς ἀνελευθερίας τὸ περὶ πλείστου ποιεῖσθαι χρήματα, καὶ τὸ μηδὲν ὄνειδος ἡγεῖσθαι τῶν ποιούντων κέρδος, καὶ βίος θητικὸς καὶ δου-

---

1 *αὑτοῖς* Ps.-Arist. Bekk.: *αὐτοῖς* M^d A Tr. | *ἀγαγόντες* Ps.-Aristotelis haud pauci ‖ 2 *καὶ* om. Ps.-Arist. | *Εὔηνος*] p. l.[1] II p. 270 fr. 7 Bergk ‖ 3 *κερδαίνουσα* libri ‖ 4 *τῆς ἀδικίας* M^d S rec. Ps.-Arist.: *ἀδικίας* A (?) Tr., inde vulg. | *ἔθη* om. Ps.-Aristotelis libri, non Stobaei; fallitur Schuchhardt ‖ 5 *νόμοις* tacite ex Ps.-Arist. Gesn.[1], inde vulg.: *νομίμοις* M^d A Tr. ‖ 6 *ὁμολογίας* A Ps.-Arist.: *ὁμιλίας* M^d Tr., inde vulg. ‖ 8 *ἀφιλανθρωπία* M^d A Tr.: *φιλανθρωπία* Ps.-Arist. | *προσποίησις* Tr., inde vulg.: *προσποίητος* M^d S rec. Ps.-Arist. *ἀπροσποίητος* A. nescio an *φιλανθρωπία προσποίητος* scribendum sit in Stobaeo ‖ 9 et 10 *αἰσχροκέρδεια* libri nisi quod *αἰσχροκερδία* fere A^1 his corr. A^2: *αἰσχροκερδία* Ps.-Aristotelis non nulli ‖ 10 *φιδωλία*, δ corr. ex λ S rec. | *κιμβικία* M^d A Tr. γρ. *λιμβεια* A^2 mrg: *κιμβεία* Ps.-Arist. Bekk. | *ἔστι* (*ἔστιν* M^d) *δὲ* om. Ps.-Arist. ‖ 11 *τῆς αἰσχύνης* M^d (?) A S rec. Ps.-Arist.: *αἰσχύνης* Tr., inde vulg. ‖ 13 *λιμβεία* Ps.-Aristotelis libri a Schuchhardto inspecti, *κιμβεία* Ps.-Arist. Bekk. | 14 *δὲ* tacite ex Ps.-Aristotele add. Gesn.[1] p. 64, inde vulg.: om. M^d A Tr. intra versum suppl. A^2 ‖ 15 *τῷ* A Tr. Ps.-Arist.: *τὸ* M^d | *ποιεῖσθαι* libri Stob. Ps.-Arist.: *προέσθαι* Ps.-Andr. malim *προΐεσθαι* cum Buechelero ‖ 17 *πλεῖστον* A^1 corr. A^2 | *τὸ* ante *κέρδος* add. Ps.-Aristotelis libri aliquot ‖ 18 *καὶ* om. Ps.-Arist. | *θετικὸς* A η superscr. A^2

[redacted]

ιπῆς καὶ ῥυπαρὸς καὶ φιλοτιμίας καὶ ἐλευθερίας ϱιος. ἀκολουθεῖ δὲ τῇ ἀνελευθερίᾳ μικρολογία, θυμία, μικροψυχία, ταπεινότης, ἀμετρία, ἀγένεια, θρωπία.

Μικροψυχίας δέ ἐστι τὸ μήτε τιμὴν μήτε ἀτιμίαν εὐτυχίαν μήτε ἀτυχίαν δύνασθαι φέρειν, ἀλλὰ τιμώμὲν ἀναχαυνοῦσθαι καὶ μικρὰ εὐτυχήσαντα ἐξορ-αι, ἀτιμίαν δὲ μηδὲ τὴν ἐλαχίστην ἐνεγκεῖν δύνασθαι, ευγμα δὲ ὁτιοῦν ἀτυχίαν κρίνειν μεγάλην, ὀδύρεσθαι ὶ πᾶσι καὶ δυσφορεῖν. ἔτι δὲ καὶ τοιοῦτός ἐστιν ϱόψυχος, οἷος πάντα τὰ ὀλιγωρήματα καλεῖν ὕβριν τιμίαν, καὶ τὰ δι' ἄγνοιαν ἢ λήθην ἢ ἄνοιαν γινόμενα. υθεῖ δὲ τῇ μικροψυχίᾳ μικρολογία, μεμψιμοιρία, πιστία, ταπεινότης.

Καθόλου δὲ τῆς μὲν ἀρετῆς ἐστι τὸ ποιεῖν σπουτὴν διάθεσιν περὶ τὴν ψυχὴν ἠρεμαίαις καὶ τεταγμέκινήσεσι χρωμένην καὶ συμφωνοῦσαν κατὰ πάντα ϱη· διὸ καὶ δοκεῖ παράδειγμα πολιτείας ἀγαθῆς

καὶ ante *φιλοτ.* om. Ps.-Arist. ‖ 3 *καὶ* ante *μικροψ.* add. Ps.-Bekk. | *μικροψυχία* secludendum esse ci. Sylburg | *ἀγένεια* Tr., lg. Ps.-Arist.: *ἀγέννεια* M^d A S rec. ‖ 5 *μικροψυχίας* A Ps.- *μικροψυχία* M^d Tr. | *ἐστιν* M^d ‖ 7 *ἐξορχεῖσθαι* M^d A^1: *ἐξέρ-* Tr. *ἐξαίρεσθαι* A^2; *ὑπεξαίρεσθαι* tacite ex Ps.-Arist. (ubi plu-*αίρεσθαι*) Gesn.^1, inde vulg. ‖ 9 *ἀπότευγμα δὲ ὁτιοῦν* Tr., inde *ἀπότευγμα δεσαοῦν* M^d *ἀπότευγμα δε σαοῦν* sed corr. accentum *τευγμα* et syll. *τευγμα δε σαοῦν* lineolam subduxit A ⟨*ἀ*⟩*πὸ δοτι⟨ο⟩ῦν* in margine reficto add. A manu rec.; *ἀπότευγμα* (vel *γματος*) *δέ ἐστιν οὐκ* Ps.-Aristotelis libri *ἀπότευγμα δ' ἄτην* -Arist. Bekk. ‖ 10 *ἐπὶ πᾶσι* om. Tr. | *καὶ* (post *ἔτι δὲ*) om. t. ‖ 11 *καλεῖ* operarius Gesn.^1, inde vulg. | *καὶ ἀτιμίαν* om. 12 *ἢ ἄνοιαν* om. Ps.-Arist. ‖ 13 *μικρολογία* M^d Ps.-Arist.: *ογία* A *μεγαλουργία* Tr. ‖ 16 *περὶ τὴν ψυχὴν* M^d A Ps.-Arist.: *αῖς* Tr. | *ἠρεμαίαις* (*ἠρ-* M^d) M^d A Ps.-Arist.: *εὐθείαις* Tr., inde post *τεταγμέναις* fuerat *ταῖσ* quod aegre nunc dignoscitur in A, mpendiose add. A manu rec. in margine reficto ‖ 17 *καὶ* ante m. Ps.-Arist. | *σωφρονοῦσαν* A^1 corr. A^2 ‖ 18 *τὰ μέρη* A Ps.- *μέρη* M^d Tr., inde vulg. | *παράδειγμα* om. Ps.-Aristotelis libri

εἶναι ψυχῆς σπουδαίας διάθεσις. ἔστι δὲ τῆς ἀρετῆς καὶ τὸ εὐεργετεῖν τοὺς ἀξίους, καὶ τὸ φιλεῖν τοὺς ἀγαθούς, καὶ τὸ μισεῖν τοὺς κακούς, καὶ τὸ μήτε κολαστικὸν εἶναι μήτε τιμωρητικόν, ἀλλὰ ἐλεητικὸν καὶ εὐμενικὸν καὶ εὐγνωμονικόν. ἀκολουθεῖ δὲ τῇ ἀρετῇ χρηστότης, ἐπιείκεια, εὐγνωμοσύνη, ἐλπὶς ἀγαθή, μνήμη ἀγαθή· ἔτι δὲ καὶ τὰ τοιαῦτα· φιλοίκειον εἶναι καὶ φιλόφιλον καὶ φιλέταιρον καὶ φιλόξενον καὶ φιλάνθρωπον καὶ φιλόκαλον, ἃ δὴ πάντα τῶν ἐπαινουμένων ἐστί· τῆς δὲ κακίας ἐστὶ τὰ ἐναντία, καὶ παρακολουθεῖ τὰ ἐναντία αὐτῇ. πάντα δὲ τὰ τῆς κακίας καὶ τὰ ἀκολουθοῦντα αὐτῇ τῶν ψεγομένων ἐστίν.

195 (1, 80 Mein.) *Ἀρχύτα Πυθαγορείου Περὶ ἀνδρὸς ἀγαθοῦ καὶ εὐδαίμονος* (fr. 9 I p. 556 Mullach).

Ὅθεν οὐκ ἀτυχίαν ἐνεγκὲν ἐμμελῶς χαλεπώτερόν ἐστιν, ἀλλ' εὐτυχίαν. πάντες [μὲν] γὰρ ἐν ἀτυχίᾳ μὲν ἐόντες ὡς

---

1 *ψυχῆς σπουδαίας* M[d] (fallitur Schuchh. p. 32) A Ps.-Arist.: *σπουδαίας ψυχῆς* Tr., inde vulg. | *σπουδαῖα* vel *σπουδαία* Ps.-Aristotelis non nulli | *τῆς* om. Ps.-Aristotelis non nulli ‖ 2 *καὶ τὸ* M[d] (errat Schuchh. p. 32) A Ps.-Arist.: *τὸ* (om. *καὶ*) Tr., inde vulg. | *τὸ φιλεῖν* om. Tr. ‖ 3 *καὶ το μισεῖν τοὺς κακοὺς* (vel *φαύλους*) om. Ps.-Arist. Bekk. | *φαύλους* pro *κακοὺς* Ps.-Aristotelis libri ‖ 4 *ἐλεητικὸν* A *ἐλεγκτικὸν* (sic) M[d] *προσηνῆ* Tr., inde vulg.; *ἵλεων* Ps.-Arist. ‖ 5 *συγγνωμονικόν* Ps.-Arist. ‖ 6 *μνήμη ἀγαθή* A S rec., om. M[d] Tr. Ps.-Aristotelis plerique ‖ 7 *τοιαῦτα οἷον φιλ.* Ps.-Arist. | *εἶναι καὶ* etiam S rec., fallitur Schuchh. p. 32 | *καὶ φιλεταῖρον* om. Tr. ‖ 8 *φιλόξενον* Ps.-Arist.: *φιλοξένιον* M[d] A Tr. in *φιλόξενον* corr. A manu dubia ‖ 9 *ἐστὶ* (-*ὶν* M[d]) *τὰ ἐναντία* M[d] A Ps.-Arist.: *εἰσὶν ὑπεναντία* Tr., inde vulg. ‖ 10 *καὶ παρακολουθεῖ κτέ.* om. Ps.-Arist. Bekk. | *καὶ παρακολουθεῖ τὰ ἐναντία αὐτῇ* om. Ps.-Aristotelis libri a Schuchhardto inspecti | ante *ἄπαντα* (sic) add. *ταῦτα* Ps.-Aristotelis libri a Schuchhardto adhibiti ‖ 11 *τὰ* (ante *τῆς*) add. A[2] | *παρακολουθοῦντα* A | *αὐτῇ* M[d] A Tr. Ps.-Arist.: *αὐτὴν* S rec. | *ψεγομένων* A S rec.[2] Ps.-Arist.: *εἰρημένων* M[d] (?) Tr., inde vulg. ‖ 12 *ἐστίν* M[d] A (fallitur Schuchh. p. 32) Ps.-Arist.: *εἰσί* Tr., inde vulg. ‖ 13 ecl. cum lemm. hab. M A post ecl. 1, 18 Mein.; *πυθαγορίου* libri ‖ 15 *ἐνεγκὲν* M[d] *ἐνεγκεῖν* etiam A, fallitur Gaisford | *ἐστιν* libri: *ἐντι* Orelli opusc. sent. et mor. II p. 244 ‖ 16 *πάντες μὲν* M[d] A sed *μὲν* supra versum M[d]. particulam seclusi | *μὲν ὄντες* (praetuli *μὲν ἐόντες*) Schow: *μενόντες* M[d] *μένοντες* A

ἐπὶ πολὺ μέτριοι καὶ κόσμιοι τὸ ἦθος ἦμεν φαίνονται, ἐν δ' εὐπραγίαις ἀνδρεῖοι, μεγαλόφρονες, μεγαλόψυχοι. δεινὰ γὰρ ⟨ἁ⟩ ἀτυχία συναγαγὲν καὶ καταρτίσαι τὰν ψυχάν, ἁ δ' εὐπραγία τοὔναντίον ἐπᾶραι καὶ κενῶσαι. διὸ ποθεκτικοὶ μὲν ἅπαντες καὶ συνετοὶ τὸν τρόπον ἀτυχέοντες, ἐπιθετικοὶ δὲ καὶ θαρσαλέοι τὸν τρόπον εὐτυχέοντες.

196 (1, 81 Mein.) Ἐν ταὐτῷ (fr. 10 l. c. Mullach.).

Ὅρος δέ ἐστιν εὐτυχίας, ἂν προέλοιτο ὁ ἀγαθὸς ἀνὴρ συνεργὸν αὐτῷ γινομέναν ποττὰς ἰδίας πράξιας· ὥσπερ καὶ μέγεθος ναὸς καὶ μέγεθος παδαλίω, ᾧ καθικνεῖσθαι δύναται ὁ ἀγαθὸς κυβερνάτας μεγάλα πελάγεα διαπεραιούμενος καὶ μεγάλαν ναυκλαρίαν στελλόμενος. ἁ δ' ὑπερβολὰ τᾶς εὐτυχίας τοῖς ἀγαθοῖς οὐ κρατεῖσθαι πέφυκεν ὑπὸ τᾶς ψυχᾶς, ἀλλὰ κρατὲν αὐτᾶς. ὥσπερ γὰρ τὸ λαμπρὸν φάος μαραυγίαν περιτίθησι τοῖς ὀφθαλμοῖς, οὕτω καὶ ἁ ὑπερβάλλοισα εὐτυχία τῷ νόῳ τᾶς ψυχᾶς. καὶ περὶ μὲν ὧν εὐτυχίας ἅλις εἰρήσθω.

197 (5, 125 Mein.) Πλάτωνος ἐκ τῆς Σωκράτους ἀπολογίας (p. 30 A).

---

1 ἦμεν tacite Gesn.[2] p. 16, inde vulg.: εἶμεν M[d] εἶμεν A ‖ 2 εὐπραγίαις M[d] A; εὐπραγίᾳ Cobet mnemos. IX p. 105 | ἀνδρῆοι tacite Schow ‖ 3 ἁ addidit Cobet | ἀτυχία M[d]: ἀτυχίας A | καὶ om. A | καταρτίσαι A sic ut coniecerat Gesn.[2] p. 16 mrg: καταρτῆσαι M[d] ‖ 4 κενῶσαι M[d]: καινῶσαι A; 'melius καὶ ⟨χαυ⟩νῶσαι' Buecheler ‖ 5 εὐτυχέοντες M[d]: εὐτυχίοντες A ‖ 8 ecl. cum lemm. hab. MA ‖ 9 ἐστιν libri: ἐντι tacite Schow ‖ 10 γινομέναν M[d] A: γενομέναν tacite Gesn.[2] p. 16, inde vulg. | ποττὰς tacite Gesn.[2], inde vulg.: ποτὰσ M[d] ποτὶ τὰς A ‖ 11 ναὸς ci. Gesn.[2] mrg.: ναῶ M[d] A: ναῷ scr. Gaisford et Meineke | παδαλίω tacite Gesn.[2], inde vulg.: παδαλία M[d] παλαδίω A: παδαλίῳ Gaisford et Meineke ‖ 12 πελάγεα tacite Orelli l. c. p. 241: πελάγα M[d] A ‖ 13 ναυκλαρίαν M[d]: ναυκληρίαν A ‖ 16 exspectes περιτίθητι, sed cf. p. 64, 9 | fort. ὀπτίλοις ‖ 17 ἁ om. A | ὑπερβάλλοισα tacite Schow: ὑπερβάλλουσα M[d] A ‖ 18 ὧν tacite Schow: οὖν M[d] A ‖ 19 ecl. cum lemm. hab. MA (post ecl. 1, 81 Mein.) Br (post ecl. 5, 110 Mein.), sine lemmate cum ecl. 5, 124 Mein. cohaerentem Tr. p. 37; πλάτωνος compend. nec plura Br. recurrit corp. Par. 273 Elt. (Πλάτωνος)

Οὐδὲν γὰρ ἄλλο πράττων ἐγὼ περιέρχομαι ἢ πείθων ὑμῶν καὶ νεωτέρους καὶ πρεσβυτέρους μήτε σωμάτων ἐπιμελεῖσθαι μήτε χρημάτων πρότερον μηδὲ οὕτω σφόδρα ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρίστη ἔσται, λέγων ὅτι οὐκ ἐκ χρημάτων ἡ ἀρετὴ γίνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα καὶ τὰ ἄλλα ἀγαθὰ τοῖς ἀνθρώποις καὶ ἰδίᾳ καὶ δημοσίᾳ.

198 (5, 126 Mein.) *Ἐν ταὐτῷ* (p. 30 C—D).

Ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. εὖ γὰρ ἴστε, ἐὰν ἐμὲ ἀποκτείνητε τοιοῦτον ὄντα, οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε ἢ ὑμᾶς αὐτούς· ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλητος οὔτε Ἄνυτος· οὐδὲ γὰρ ἂν δύναιντο· οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. ἀποκτείνειε μεντἂν ἴσως ἢ ἐξελάσειεν ἢ ἀτιμώσειεν.

199 (5, 72 Mein.) *Πυθαγορικά.*

Καὶ μὴν οὐδέν ἐστιν οὕτω τῆς Πυθαγορικῆς φιλο-

---

1 *ἄλλο* M^d A Br corp. Par. Plat.: *ἄλλων* Tr. ‖ 3 *μηδὲ οὕτω* (vel *οὕτως*) *σφόδρα* scripsi secundum Plat. BDF: *μὴ δέοντος σφόδρα* M^d *μὴ δεόντως σφόδρα* A Br corp. Par. *μὴ δὲ ὄντος σφόδρα* Tr.; *μήτε ἄλλου τινὸς οὕτω σφόδρα* tacite ex Platonis Ald. (Platonis E) Gesn.¹ p. 16, inde vulg. ‖ 4 *ὅπως ὡς* (*ὡς* compend.) A: *ὅπως* M^d Tr. Br *ὅπλων* corp. Par.; *ὅπως ὡς* tacite ex Plat. Gesn.¹, inde vulg. | *λέγων ὅτι* M^d A Tr. Br corp. Platonis EF *λέγων* Platonis BD vide Schanz ad h. l. ‖ 5 *ἡ ἀρετὴ* M^d A Tr. Br corp. Par. Platonis E *ἀρετὴ* Platonis BDF | *γίνεται* libri Stob. corp. Par. Platonis E: *γίγνεται* Plat. | *χρήματα* M^d A Br Plat.: *τὰ χρήματα* Tr. A² corp. Par. ‖ 6 *καὶ τὰ ἄλλα* usque ad finem om. corp. Par. | *τὰ ἄλλα* Br Platonis BDF *τἄλλα* A Platonis E *τ' ἄλλ'* M^d *τἄλλ'* Tr. | *ἅπαντα* post *ἀνθρ.* tacite ex Platone add. Gesn.¹, inde vulg. ‖ 8 ecl. cum lemm. hab. Tr. p. 37. *Ἐν ταυτῷ* Tr.: *τοῦ αὐτοῦ* temere Gaisford et Meineke ‖ 11 *βλάψετε* tacite ex Plat. Meineke: *βλάψητε* Tr., inde vulg. | *ἐμὲ μὲν κτὲ.*| Theodoret. therapeut. p. 327 Gaisf. ‖ 12 *Μέλητος* Plat.: *μέλιτος* Tr., inde vulg. | *δύναιντο* Tr.: *δύναιτο* Plat. ‖ 13 *οἶμαι* Tr. Platonis E: *οἴομαι* Platonis BDF ‖ 15 *ἀτιμώσειεν* Tr.: *ἀτιμάσειεν* tacite ex Platonis Ald. (p. 16) Gesn.³ p. 75, inde vulg.: *ἀτιμάσειεν* Platonis BDFe Theodoretus *ἀτιμάσει* Platonis E ‖ 16 ecl. cum lemm. hab. Tr. p. 37 sq. (post ecl. 5, 126

[redacted]

σοφίας ἴδιον ὡς τὸ συμβολικόν, οἷον ἐν τελετῇ μεμιγμένον φωνῇ καὶ σιωπῇ διδασκαλίας γένος, ὥστε μὴ λέγειν

ἀείσω ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε βέβηλοι,

ἀλλ' αὐτόθεν ἔχειν φῶς καὶ χαρακτῆρα τοῖς συνήθεσι τὸ φραζόμενον, τυφλὸν δὲ καὶ ἄσημον εἶναι τοῖς ἀπείροις. ὡς γὰρ ὁ ἄναξ ὁ ἐν Δελφοῖς οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σημαίνει κατὰ τὸν Ἡράκλειτον, οὕτω τῶν Πυθαγορικῶν συμβόλων καὶ τὸ φράζεσθαι δοκοῦν κρυπτόμενόν ἐστι καὶ τὸ κρύπτεσθαι νοούμενον.

200 (5, 73 Mein.) Ἐκ τῆς Νικολάου Ἐθῶν συναγωγῆς (hist. gr. min. ed. L. Dindorf v. I p. 145 fr. 3).

Γαλακτοφάγοι, Σκυθικὸν ἔθνος, ἄοικοί τε εἰσίν, ὥσπερ καὶ οἱ πλεῖστοι Σκυθῶν, τροφὴν δ' ἔχουσι γάλα μόνον ἵππειον, ἐξ οὗ τυροποιοῦντες ἐσθίουσι καὶ πίνουσι, καὶ εἰσὶ διὰ τοῦτο δυσμαχώτατοι, σὺν αὑτοῖς πάντῃ τὴν τροφὴν ἔχοντες. οὗτοι καὶ Δαρεῖον ἐτρέψαντο. εἰσὶ δὲ καὶ δικαιότατοι, κοινὰ ἔχοντες τά τε κτήματα καὶ τὰς γυναῖκας, ὥστε τοὺς μὲν πρεσβυτέρους αὐτῶν πατέρας νομίζειν, τοὺς δὲ νεωτέρους παῖδας, τοὺς δ' ἥλικας ἀδελφούς. ὧν ἦν καὶ Ἀνάχαρσις, εἷς τῶν ἑπτὰ σοφῶν νομισθείς·

Mein.). inter Plutarchi fragmenta incertorum librorum recepit Wyttenbach V 2 p. 876; ad Aristoxeni Πυθαγορικὰς ἀποφάσεις referri voluit Meineke v. IV p. LVI

3 versum quem vulgo Orpheo tribuunt infra sub Pythagorae nomine affert Stob. flor. 41, 9 Mein., cui errori nostrum locum ansam dedisse suspicatur Nauck post Iamblichi de vita Pyth. librum p. 238 | ἀείσω libri utrobique, vide ad 41, 9 ‖ 7 κατὰ τὸν Ἡρ.] fr. XI p. 5 Byw. cf. Stob. II 2, 5 p. 18, 21 W. et quae adnotavit Bywater l. c. ‖ 10 ecl. cum lemm. hab. MA (post ecl. 5, 125) Tr. p. 38 (post ecl. 5, 72), in lemm. Ἐκ τοῦ νικολάου ἐθῶν nec plura Tr. ‖ 13 δ' Md A Tr.: τ' scr. Meineke, alii τε particulam post ἄοικοι delendam censent; fortasse primum enuntiatum non est integrum, possis ἄοικοί τε εἰσὶ ⟨καὶ νομάδες⟩, ὥσπερ ‖ 14 ἵππιον Md ‖ 15 αὐτοῖς libri ‖ 17 τά τε Tr., inde vulg.: τὰ Md A, ubi τε suppl. A² ‖ 18 νομίζειν Md A: ὀνομάζειν Tr., inde vulg. ‖ 19 νεωτέρους Md A: νέους Tr., inde vulg. | τοὺς δ' Tr. τοὺς δὲ A: τοὺς Md

ὃς ἦλθεν εἰς τὴν Ἑλλάδα, ἵνα ἱστορήσῃ τὰ τῶν ἄλλων νόμιμα. τούτων καὶ Ὅμηρος μέμνηται ἐν οἷς φησι

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν,
γλακτοφάγων, ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.

ἀβίους δ' αὐτοὺς λέγει, ἢ διὰ τὸ γῆν μὴ γεωργεῖν ἢ διὰ τὸ ἀοίκους εἶναι ἢ διὰ τὸ χρῆσθαι τούτους μόνους τόξοις· βιὸν γὰρ λέγει τὸ τόξον. παρὰ τούτοις οὐδὲ εἷς οὔτε φθονῶν, ὥς φασιν, οὔτε μισῶν οὔτε φοβούμενος ἱστορήθη διὰ τὴν τοῦ βίου κοινότητα καὶ δικαιοσύνην. μάχιμοι δ' οὐχ ἧττον αὐτῶν αἱ γυναῖκες ἢ οἱ ἄνδρες, καὶ συμπολεμοῦσιν αὐτοῖς ὅταν δέῃ, καὶ διὰ τοῦτο Ἀμαζόνας γενναιοτάτας εἶναι, ὥστε ποτὲ ἐλάσαι μέχρι Ἀθηνῶν καὶ Κιλικίας, ὅτι τούτων παρῴκουν ἐγγὺς τῆς Μαιώτιδος λίμνης.

201 (1, 95 Mein.) *Πλάτωνος Νόμων ε'* (p. 727 E—728 A).

Οὐδέ γε ὁπόταν χρήματά τις ἐρᾷ κτᾶσθαι μὴ καλῶς ἢ μὴ δυσχερῶς φέρῃ κτώμενος, δώροις ἄρα τιμᾷ τότε

---

1 *ἄλλων* M[d] Tr.: *ἄλλων* (compend.) induxit, *Ἑλλήνων* superscr. A[2] probante Iacobsio lect. Stob. p. 48 ‖ 2 v. *τούτων καὶ* — 7 *τὸ τόξον* seclusit Meineke, vide ad 5 ‖ 3 Il. XIII 5 sq. | *ἀγαυῶν* A Hom., ex Hom. Gesn.[1], inde vulg.: *ἀγαυῶν* M[d] *αἰαυῶν* Tr. | *ἱππημολγῶν* M[d] A Hom.: *ἱππομολγῶν* Tr. ‖ 4 *γλακτοφάγων* M[d] A Hom.: *γαλακτοφάγων* Tr. | *ἀβίων* om. Tr. ‖ 5 v. *ἀβίους δ'* — 7 *τὸ τόξον* om. Tr., tamquam ex interpretatione orta delent Gaisford Meineke Dindorf (cf. Steph. Byz. s. v. *Ἄβιοι*, scholia Hom.), ego Nicolao digna censeo cum amicis ‖ 6 *μὴ χρ.* Toup non recte | *μόνοις* Wachsmuth ‖ 7 *οὐδε εἰς* accentu supra priorem *ε* eraso, addito supra *ει* in ras. M ‖ 11 *καὶ δια τουτο* s. acc. Tr., *διὰ τοῦτο καὶ* M[d] A: cf. p. 151, 14 *καὶ εἰσὶ διὰ τοῦτο κτέ.* ‖ 12 *γενναιοτάτους* M[d] | *γενναιοτάτας ⟨φασὶν⟩ εἶναι* ci. Buecheler | *μέχρι* M[d] Tr.: *μέχρις* A; vide L. Dindorf histor. gr. min. v. I praef. p. XIII ‖ 13 ante *καὶ* una littera erasa, cuius accentus (`) exstat A | *ὅτι* M[d] A Tr.: *ὅτε* ci. Iacobs lect. Stob. p. 49 probante Meinekio | *τούτων* M[d] A *τοῦτον* Tr.: *τότε* temptabat Gesn.[3] p. 70, *πόντον* Iacobs l. s., *τούτοις* Meineke ‖ 15 ecl. cum lemm. hab. MA (post ecl. 5, 73 Mein.) Br (post ecl. 1, 84 Mein.); *νόμων ε'* om. Br. recurrit intra maius excerptum flor. 43, 113 Mein. v. *πᾶς γὰρ ὅ τε ὑπὸ γῆς καὶ ἐπὶ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος* adfert Iulianus or. II 81 A p. 103, 21 Hertl. ‖ 16 *οὐδέ γε* — p. 153, 2 *σμικροῦ χρυσοῦ* om. Br ‖ 17 *φέρῃ* A, flor. 43: *φέρει* M[d]

[redacted]

τὴν αὐτοῦ ψυχήν· παντὸς μὲν οὖν λείπει· τὸ γὰρ αὐτῆς τίμιον ἅμα καὶ καλὸν ἀποδίδοται σμικροῦ χρυσοῦ· πᾶς γὰρ ὅ τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος.

202 (1, 95 Mein.: Plat. de leg. V p. 728 D—729 C; 730 B —732 B)

Τίμιον εἶναι σῶμα οὐ τὸ καλὸν οὐδὲ τὸ ἰσχυρὸν οὐδὲ τάχος ἔχον οὐδὲ μέγα οὐδὲ τὸ ὑγιεινὸν (καί τοι πολλοῖς ἂν τοῦτό γε δοκοῖ), καὶ μὴν οὐδὲ τὰ τούτων γε ἐναντία, τὰ δ' ἐν τῷ μέσῳ ἁπάσης ταύτης τῆς ἕξεως ἐφαπτόμενα σωφρονέστατα ἅμα τε ἀσφαλέστατα εἶναι μακρῷ· τὰ μὲν γὰρ χαύνους τὰς ψυχὰς καὶ θρασείας ποιεῖ, τὰ δὲ ταπεινάς τε καὶ ἀνελευθέρους· ὡς δ' αὔτως ἡ τῶν χρημάτων κτῆσις καὶ τιμήσεων κατὰ τὸν αὐτὸν ῥυθμὸν ἔχει. τὰ μὲν ὑπέρογκα γὰρ ἑκάστων τούτων ἔχθρας καὶ στάσεις ἀπεργάζεται ταῖς πόλεσιν καὶ ἰδίᾳ, τὰ δ' ἐλλείποντα

---

1 αὐτοῦ Plat.: αὑτοῦ M[d] A, flor. 43; ἑαυτοῦ tacite ex Platonis Ald. Gesn.[2], inde vulg. | παντὸς — λείπει M[d] A, flor. 43, Platonis A: πάντως — λιπεῖ recte Cornarius ‖ 2 χρυσοῦ M[d], flor. 43 (ubi τοῦ χρυσοῦ pro σμικροῦ χρυσοῦ S), Plat.: χρυσίου A idque tacite ex Platonis Ald. Gesn.[2], inde vulg. ‖ 3 καὶ ὁ ὑπὸ M[d] ‖ 4 ecl. sine lemmate hab. MA cum priore ut videtur coniunctam, inde a verbis φιλονεικείτω δὲ (p. 156, 11) etiam S rec. et lemmate Πλάτωνος adiecto Tr. p. 52. lemma habeat necne S rec. dubito nunc. recte opinor rubricavit T litteram vocis primae M, quo fretus indicio separavi. nec defuerit olim lemma ad librum pertinens ἐν ταὐτῷ. recurrit ecloga (usque ad v. κατὰ δύναμιν p. 156, 11) intra maius excerptum flor. 43, 113 Mein. particularum aliquot iterationes suo infra commemorabo loco ‖ 6 τὸ ἰσχυρὸν M[d], flor. 43: ἰσχυρὸν A, Plat. ex Platone tacite Gesn.[2], inde vulg. ‖ 7 τάχος ἔχον recte M[d] Plat.: τὸ τάχος ἔχον A, flor. 43 | οὐδὲ τὸ M[d] A, flor. 43: οὐδέ γε τὸ tacite ex Platone Gesn.[2], inde vulg. ‖ 8 δοκεῖ dormitanter ex Platonis Ald. Gesn.[2], inde vulg. ‖ 9 ἐφεπτόμενα A ‖ 10 σωφρονέστερα — ἀσφαλέστερα recte Stephanus | ἅμα τε M[d], flor. 43, Plat.: ἅμα τε καὶ olim fortasse A, sed καὶ si fuit, periit margine superiniecto; ἅμα τε καὶ de suo Gesn.[2], inde vulg. ‖ 12 ἡ τῶν χρημάτων καὶ κτημάτων κτῆσις tacite Platonem secutus Gesn.[2], inde vulg. frustra. nam v. καὶ κτημάτων om. etiam flor. 43 ‖ 13 καὶ τιμήσεων — p. 154, 7 τ. βίον ἀπεργάζεται om. Gesn.[2], inde vulg. | καὶ ante τιμήσ. delevit Cornarius | τιμήσεων M[d] A, flor. 43: τιμήσεως Plat.

δουλείας ὡς τὸ πολύ. μὴ δή τις φιλοχρηματείτω παίδων γε ἕνεκα † ὅτι πλουσιωτάτους καταλείπει· οὔτε γὰρ ἐκείνοις οὔτε αὖ τῇ πόλει ἄμεινον. ἡ γὰρ τῶν νέων ἀκολάκευτος οὐσία, τῶν δὲ ἀναγκαίων μὴ ἐνδεής, αὕτη πασῶν μουσικωτάτη τε καὶ ἀρίστη· ξυμφωνοῦσα γὰρ ἡμῖν καὶ ξυναρμόττουσα εἰς πάντα ἄλυπον τὸν βίον ἀπεργάζεται· παισὶ δὲ αἰδῶ χρὴ πολλήν, οὐ χρυσὸν καταλείπειν. οἰόμεθα δὲ ἐπιπλήττοντες τοῖς νέοις ἀναισχυντοῦσιν τοῦτο καταλείψειν· τὸ δ' ἔστιν οὐκ ἐκ τοῦ νῦν παρακελεύσματος τοῖς νέοις γιγνόμενον, ὃ παρακελεύονται λέγοντες ὡς δεῖ πάντα αἰσχύνεσθαι † τοὺς νέους, καὶ πάντων μάλιστα εὐλαβεῖσθαι, μή ποτέ τις αὐτὸν ἴδῃ τῶν νέων ἢ καὶ ἐπακούσῃ δρῶντα ἢ λέγοντά τι τῶν αἰσχρῶν, ὡς ὅπου ἀναισχυντοῦσι γέροντες, ἀνάγκη καὶ νέους ἐνταῦθα εἶναι ἀναιδεστάτους· παιδεία γὰρ νέων διαφέρουσά ἐστιν ἅμα καὶ αὐτῶν οὐ τὸ νουθετεῖν,

---

1 *δουλείας ὡς τὸ πολὺ* M^d A, Plat. *δῆλον* libri flor. 43; *δουλείας ὡς ἐπὶ τὸ πολύ* temere Gaisford | *δή*] *δ' εἰ* M^{1d} | *τις* periit margine superiniecto A | *φιλοχρηματείτω* M^d A, flor. 43: *φιλοχρημονείτω* Plat. ‖ 2 *ἕνεκα*, *ἵνα* Plat.: *ἕνεκα* M^d A, flor. 43, codice igitur usus Stobaeus etiam hic lacuna deformato voluit *ὅτι*, non ut Plato *ὅ τι* | *καταλείπει* M^d, flor. 43, *καταλείψει* A: *καταλίπῃ* Plat. ‖ 3 *αὖ τῇ* Plat.: *αὐτῇ* M^d A, flor. 43 ‖ 4 *ἐνδεὴς αὕτη πασῶν* M^d Plat.: *ἐνδεὴς αὐτὴ* A *ἐνδεχομένη* flor. 43 ‖ 6 *ξυναρμόττουσα* M^d, flor. 43, Plat.: *συναρμόττουσα* A | *πάντα* M^d, flor. 43: *ταῦτα* A, *ἅπαντα* Plat. | 7 *πᾶσι* A^1 *παισὶ* corr. A^2 ‖ 10 *παρακελεύσματος* A, flor. 43: *παρακελεύ^σματος* (*σ* add. a) Plat.: *παρακελεύματος* M^d, inde Gesn.², vulg. | *τοῖς νέοις* M^d, A compend. (fallitur Gaisford), Plat., om. flor. 43 | *γινόμενον* A ‖ 11 *αἰσχύνεσθαι*] syllabae *εσθαι* perierunt novo margine superiniecto A | quae post *αἰσχύνεσθαι* habet Plato *τὸν νέον. ὁ δὲ ἔμφρων νομοθέτης τοῖς πρεσβυτέροις ἂν μᾶλλον παρακελεύοιτο αἰσχύνεσθαι* tacite ex Platone supplevit Gesn.², inde vulg.: om. M^d A, flor. 43. lacuna igitur hiabat codex Stobaei ‖ 13 *αὐτὸν* om. flor. 43 | *λέγοντά*] *οντά* periit marginis refectione A ‖ 14 *ἀναισχυντοῦσι γέροντες* M^d, flor. 43, Plat.: *ἀναισχυντοῦσιν οἱ γέροντες* A ‖ 15 *πα[ιδεία γὰρ]* uncis inclusa perierunt refecto margine A ‖ 16 *αὐτῶν οὐ τὸ* tacite ex Plat. Gesn.², inde vulg.: *ἑαυτῶν οὐ τὸ* M^d A *αὐτὸ* flor. 43

[redacted]

ἀλλ' ἅπερ ἂν ἄλλον νουθετῶν εἴποι τις, φαίνεσθαι ταῦτα αὐτὸν δρῶντα διὰ βίου.

Ἀλήθεια δὴ πάντων μὲν ἀγαθῶν θεοῖς ἡγεῖται, πάντων δὲ ἀνθρώποις· ἧς ὁ γενήσεσθαι μέλλων μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη, ἵνα ὡς ὅ τι πλεῖστον χρόνον ἀληθὴς ὢν διαβιοῖ. πιστὸς γάρ· ὁ δὲ ἄπιστος, ᾧ φίλον ψεῦδος ἑκούσιον, ὅτῳ δὲ ἀκούσιον, ἄνους· ὧν οὐδέτερον ζηλωτόν. ἄφιλος γὰρ δὴ πᾶς ὅ γε ἄπιστος καὶ ἀμαθής, χρόνου δὲ προϊόντος γνωσθεὶς εἰς τὸ χαλεπὸν γῆρας ἐρημίαν αὐτῷ πᾶσαν κατεσκευάσατο ἐπὶ τέλει τοῦ βίου, ὥστε ζώντων καὶ μὴ ἑταίρων καὶ παίδων σχεδὸν ὁμοίως ὀρφανὸν αὐτῷ γενέσθαι τὸν βίον. τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν· ὁ δὲ μηδ' ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου· ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν· ὁ

---

1 *ἂν* om. A | *εἴπῃ* A teste Gaisfordo ‖ 3 inde ab *Ἀλήθεια* novam olim eclogam exordium sumpsisse suspicor, fortasse non sine lemmate *ἐν ταὐτῷ*. v. *ἀλήθεια* — 9 *καὶ ἀμαθής* recurrunt infra 11, 18 Mein. (*Πλάτωνος νόμων ε'*) | *ἀλήθεια* — 4 *ἀνθρώποις*] cf. Iulian. or. VI 188 B p. 244, 4 Hertl. ‖ 4 *ἧς ὁ* — 9 *καὶ ἀμαθής*] cf. Clemens Alex. strom. II p. 437 P. sq. | *ὁ γενήσεσθαι* — 6 *διαβιῷ* Theodoret. therap. p. 52 Gaisf. ‖ 5 *ὡς ὅτι* M^d A, flor. 43 *ὅτι* flor. 11: *ὡς* tacite ex Platone Gesn.[2] p. 26, inde vulg. ‖ 6 *διαβιοῖ* M^d A, flor. 11, flor. 43, Platonis A: *διαβιῷ* Theodoret. *διαβιῴη* Clem. ‖ 7 *ὅτῳ*] *οὕτω* M^d | *ἀκούσιον* flor. 11 Plat. Clem.: *ἑκούσιον* M^d A, flor. 43 ‖ 9 *γε* M^dA, flor. 11, flor. 43, Plat.: *τε* Hermann | v. *χρόνου δὲ* — 12 *τὸν βίον* temere om. Gesn.[2], inde vulg. ‖ 10 *γῆρας κατὰ πᾶσαν* pro *γῆρας ἐρημίαν αὐτῷ πᾶσαν* flor. 43 | *αὐτῷ* Plat.: *αὐτῶ* M^d A ‖ 11 *μὴ ἑταίρων* flor. 43, Plat. (ubi *αι* in ras.): *μητέρων* M^d A ‖ 12 *ὁμοίως* om. flor. 43 ‖ 13 v. *Τίμιος μὲν* — (p. 156, 3) *νικηφόρος ἀρετῇ* iterantur infra 9, 55 Mein. (*Πλάτωνος νόμων ε'*) et inde v. *Τίμιος μὲν* — 16 *ἀντάξιος ἑτέρων* Maxim. c. 5 p. 188 Rib. (*Platonis*). v. *Τίμιος μὲν* — (p. 156, 6) *ἄλλοις μεταδιδόναι* habet Iulian. misopog. p. 353 D 456, 14 Hertl. | *T* in *Τίμιος* rubr. M. an hinc nova initium ceperat ecloga? | *μηδ'* M^d (?), flor. 9, flor. 43, Plat.: *μὴ* A ‖ 14 *ἀδικοῦσιν*] *θέλουσιν* flor. 43 | *πλεῖν* Schanz | *διπλασίας* M^d, flor. 9, flor. 43, Plat.: *τῆς διπλασίας* A ‖ 15 *πολλῶν* om. flor. 43

δὲ καὶ ξυγκολάζων εἰς δύναμιν τοῖς ἄρχουσιν, ὁ μέγας ἀνὴρ ἐν πόλει καὶ τέλειος, οὗτος ἀναγορευέσθω νικηφόρος ἀρετῇ. τὸν αὐτον δὴ τοῦτον ἔπαινον καὶ περὶ σωφροσύνης χρὴ λέγειν καὶ περὶ φρονήσεως, καὶ ὅσα ἄλλα ἀγαθά τις κέκτηται δυνατὰ μὴ μόνον αὐτὸν ἔχειν ἀλλὰ καὶ ἄλλοις μεταδιδόναι· καὶ τὸν μὲν μεταδιδόντα ὡς ἀκρότατον χρὴ τιμᾶν, τὸν δ' αὖ μὴ δυνάμενον, ἐθέλοντα δέ, ἐᾶν δεύτερον, τὸν δὲ φθονοῦντα καὶ ἑκόντα μηδενὶ κοινωνὸν διὰ φιλίας γιγνόμενον ἀγαθῶν τινῶν αὐτὸν μὲν ψέγειν, τὸ δὲ κτῆμα μηδὲν μᾶλλον διὰ τὸν κεκτημένον ἀτιμάζειν, ἀλλὰ κτᾶσθαι κατὰ δύναμιν. φιλονεικείτω δὲ ἡμῖν πᾶς πρὸς ἀρετὴν ἀφθόνως. ὁ μὲν γὰρ τοιοῦτος τὰς πόλεις αὔξει, ἁμιλλώμενος μὲν αὐτός, τοὺς ἄλλους δὲ οὐ κολούων διαβολαῖς· ὁ δὲ φθονερὸς τῇ τῶν ἄλλων διαβολῇ δεῖν οἰόμενος ὑπερέχειν αὐτός τε ἧττον ξυντείνει πρὸς ἀρετὴν τὴν ἀληθῆ, τούς τε ἀνταμιλλωμένους εἰς ἀθυμίαν καθίστησι τῷ ἀδίκως ψέγεσθαι, καὶ διὰ ταῦτα ἀγύμναστον τὴν πόλιν ὅλην εἰς ἅμιλλαν ἀρετῆς

---

1 *ὁ* ante *μέγας* delevit Cobet mnemos. X p. 179 ‖ 2 post *ἀνήρ* (sic) lacuna M[d] | *ἀναγορευέσθων* M[d] ‖ 3 *ἀρετή* M[d], *ἀρετῇ* A, flor. 9, flor. 43, Plat.: *ἀρετῆς* recte Iulian. (p. 456 Hertl.); *ἐπ' ἀρετῇ* Ast | *τοῦτον* M[d] A, flor. 43, Plat., Iulian.; *τούτων* oscitanter Gesn.², inde vulg. ‖ 5 *ἀγαθά τις* M[d] A, flor. 43, Plat.: *τις ἀγαθὰ* temere ex Platonis Ald. (p. 244) Gesn.², inde vulg. | *ἔκτηται* Schanz Plat. op. v. XII p. XVII | *δυνατὰ — αὐτὸν* M[d] A, Plat., Iulian. *καλὰ — αὐτὸν* flor. 43: *καὶ δύναται — αὐτὸς* Petavius, *δύναται — αὐτὸς* Schanz ‖ 6 *ἄλλοις*] *τοῖς ἄλλοις* Cobet l. c. cum compluribus codicibus Iuliani | *μεταδιδόναι* M[d] A, Plat., Iulian.: *εἶναι διδόναι* flor. 43 ‖ 7 *θέλοντα* (pro *ἐκόντα*) flor. 43 ‖ 11 *ἐκτημένον* Schanz | inde a *φιλονεικείτω* eclogam habet etiam S rec. Tr. p. 52, vide supra p. 153, 4 adn. re non perspecta ordinem huius particulae male invertit Gesn.² p. 25 (cf. p. 26) inde vulg. | *φιλονικείτω* Schanz ‖ 12 *πρὸς ἀρετὴν ἀφθόνως* M[d] A, Plat.: *ἐς* (*εὖ* S rec.) *τὴν ἀρετὴν φθόνος* Tr. ‖ 14 *κολούων* A, Plat. *κουλούων* S rec.: *κωλύων* M[d] Tr., inde vulg. ‖ 16 *συντείνει* Plat. | *πρὸς* M[d] A, Plat.: *εἰς* Tr., inde vulg. | *ἀνταμιλλωμένους* M[d] (ubi supra 13 *ἁμιλλ.*, infra 18 *ἅμιλλαν*) A sed *θ* superscr. A²: *ἀνθαμιλλωμένους* Tr.; *ἀνθαμιλλω * * * μένους* (cum duobus signis) Platonis A

ποιῶν σμικροτέραν αὐτὴν πρὸς εὐδοξίαν τὸ ἑαυτοῦ μέρος ἀπεργάζεται. θυμοειδῆ μὲν δὴ χρὴ πάντα ἄνδρα εἶναι, πρᾷον δὲ ὡς ὅ τι μάλιστα. τὰ γὰρ τῶν ἄλλων χαλεπὰ καὶ δυσίατα ἢ καὶ τὸ παράπαν ἀνίατα ἀδικήματα οὐκ ἔστιν ἄλλως ἐκφυγεῖν, ἢ μαχόμενον καὶ ἀμυνόμενον νικῶντα καὶ τῷ μηδὲν ἀνιέναι κολάζοντα, τοῦτο δὲ ἄνευ θυμοῦ γενναίου ψυχὴ πᾶσα ἀδύνατος δρᾶν. τὰ δ' αὖ τῶν ὅσοι ἀδικοῦσι μέν, ἰατὰ δέ, γιγνώσκειν χρὴ πρῶτον μέν, ὅτι πᾶς ὁ ἄδικος οὐχ ἑκὼν ἄδικος. τῶν γὰρ μεγίστων κακῶν οὐδεὶς οὐδαμῶς οὐδὲν ἑκὼν κεκτῇτο ἄν ποτε, πολὺ δὲ ἥκιστα ἐν τοῖς τῶν αὑτοῦ τιμιωτάτοις· ψυχὴ δ', ὡς εἴπομεν, ἀληθείᾳ γ' ἐστὶ πᾶσι τιμιώτατον· ἐν οὖν τῷ τιμιωτάτῳ τὸ μέγιστον κακὸν οὐδεὶς ἑκὼν μή ποτε λάβῃ καὶ ζῇ διὰ βίου κεκτημένος αὐτό· ἀλλὰ ἐλεεινὸς μὲν πάντως ὅ γε ἄδικος καὶ ὁ κακὰ ἔχων, ἐλεεῖν δὲ τὸν μὲν ἰάσιμα ἔχοντα ἐγχωρεῖ καὶ ἀνείργοντα τὸν θυμὸν πραΰνειν καὶ μὴ ἀκροχολοῦντα, γυναικείως πικραινόμενον, διατελεῖν, τῷ δὲ ἀκράτως καὶ ἀπαραμυθήτως πλημμελεῖ καὶ κακῷ ἐφιέναι δεῖ τὴν ὀργήν· διὸ δὴ θυμοειδῆ πρέπειν καὶ πρᾷον ἑκάστοτε φαμὲν εἶναι δεῖν τὸν ἀγαθόν.

---

1 πικροτέραν Tr. ‖ 2 δὴ suppl. M^1 mrg ‖ 3 ὡς om Tr. ‖ 4 καὶ δυσίατα ἢ καὶ τὸ παράπαν ἀνίατα M^dA, Plat.: καὶ δυσίατα καὶ ἀνίατα (καὶ ἀνίατα om. Tr.) τοπαράπαν S rec. Tr.; καὶ δυσίατα ἢ καὶ τὸ παράπαν ἀνίατα tacite ex Plat. Gesn.^{1} p. 64, inde vulg. ‖ 5 supra καὶ scr. ἢ A^2 ‖ 7 v. τὰ δ' αὖ τῶν — 19 τὴν ὀργήν om. M^d A ‖ 7 αὖ τῶν ut videtur Platonis A apographa: αυτῶν (dubito de S rec.) sine spir. Tr. αὐτῶν Platonis A ‖ 8 γινώσκειν Tr. ‖ 9 οὐχ ἑκὼν Tr. Plat.: οὐκ ἔχων S rec. ‖ 10 οὐδαμῶς Tr., οὐδαμοῦ Plat. | κεκτῇτο Elmsley: κέκτητο Tr. κεκτῆτο Plat.; κεκτῇτ' Cobet n. l. p. 233 ἐκτῇτο Schanz ‖ 11 τοῖς τῶν αὐτοῦ Plat. (ubi ἑαυτοῦ, sed ἑ supra vers.): τοῖς τοῖς αὐτοῦ Tr.; τοῖς αὐτοῦ tacite Gesn.^{2}, inde vulg. ‖ 12 ἀληθείᾳ γ' Gesn.^{2}: ἀλήθειά γ' (-εια γ' S rec.) Tr. ἀληθείᾳ γέ Plat. ‖ 15 ὁ τὰ κακὰ Plat., quod dederim etiam Stobaeo ‖ 16 ἐγχωρεῖ ex corr. ut videtur S rec. ‖ 17 ἀκραχολοῦντα Plat. ‖ 18 ἀνιάτως (pro ἀκρ.) Ast ‖ 19 διὸ δὴ M^d A Plat.: διο Tr. | πρέπειν (vel δεῖν) delendum censuit Stephanus; εἰ πρέπει Ast ‖ 20 ἑκάστοτε φαμὲν εἶναι M^d A Tr.: φαμεν ἑκάστοτε εἶναι Plat.

πάντων δὲ μέγιστον κακῶν ἀνθρώποις τοῖς πολλοῖς ἔμφυτον ἐν ταῖς ψυχαῖς ἐστιν, οὗ πᾶς αὑτῷ συγγνώμην ἔχων ἀποφυγὴν οὐδεμίαν μηχανᾶται· τοῦτο δ' ἔστιν ὃ λέγουσιν ὡς φίλος αὑτῷ πᾶς ἄνθρωπος φύσει τέ ἐστι καὶ ὀρθῶς ἔχει τὸ δεῖν εἶναι τοιοῦτον· τὸ δὲ ἀληθείᾳ γε πάντων ἁμαρτημάτων διὰ τὴν σφόδρα ἑαυτοῦ φιλίαν αἴτιον ἑκάστῳ γίγνεται ἑκάστοτε. τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν, ὥστε τὰ δίκαια ⟨καὶ τὰ⟩ ἀγαθὰ καὶ τὰ καλὰ κακῶς κρίνει, τὸ αὑτοῦ πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾶν δεῖν ἡγούμενος· οὔτε γὰρ ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ χρὴ τόν γε μέγαν ἄνδρα ἐσόμενον στέργειν, ἀλλὰ τὰ δίκαια, ἐάν τε παρ' αὑτῷ ἐάν τε παρ' ἄλλῳ μᾶλλον πραττόμενα τυγχάνῃ. ἐκ ταὐτοῦ δὲ ἁμαρτήματος τούτου καὶ τὸ τὴν ἀμαθίαν τὴν παρ' αὑτῷ δοκεῖν σοφίαν εἶναι † γεγονέναι πᾶσιν· ὅθεν οὐκ εἰδότες ὡς ἔπος εἰπεῖν οὐδὲν οἰόμεθα τὰ πάντα εἰδέναι, οὐκ ἐπιτρέποντες δὲ ἄλλοις ἃ μὴ ἐπιστάμεθα πράττειν, ἀναγκαζόμεθα ἁμαρτάνειν αὐτοὶ πράττοντες. διὸ πάντα ἄνθρωπον χρὴ φεύγειν τὸ

---

1 v. *πάντων δὲ* usque ad finem iterantur infra flor. 23, 18 Mein. (*τοῦ αὐτοῦ νόμων ε'*) | *κακῶν* M[d], flor. 23, Plat.: *κακὸν* A Tr., inde vulg. ‖ 2 *αὑτῷ* S rec. Plat.: *αὐτῷ* ceteri | *ξυγγνώμην* flor. 23 ‖ 4 *τέ ἐστι* (vel *-ιν*) Tr., flor. 23, Plat.: *δέ ἐστι* M[d] A ‖ 5 *ἀληθείᾳ* flor. 23, Plat.: *ἀληθείας* M[d] A Tr. ‖ 7 *τυφλοῦται γὰρ* — 8 *ὁ φιλῶν*] cf. Galenus *περὶ ψυχῆς παθῶν* c. II p. 4, 17 Marqu. ubi scribendum erat cum codicibus *τυφλοῦται γάρ, φησίν* (sc. *ὁ Πλάτων*), *το φιλοῦν περὶ τὸ φιλούμενον*, non *ὁ φιλῶν π. τ. φ.* ut ex Platone dedit Marquardt. nam *τυφλοῦται γὰρ τὸ φιλοῦν περὶ τὸ φιλούμενον, ὡς ὁ Πλ. φησί* habet etiam Plutarchus de cap. ex inim. utilit. p. 90 A ‖ 8 *καὶ τὰ* (quod tacite ex Plat. add. Gesn.², inde vulg.) flor. 23: om. M[d] A Tr.; aberravit Gaisford ‖ 9 *αὐτοῦ* (ut 12 *αὐτῷ*) M[d] ‖ 10. 11 *οὔτε τα ἑαυτοῦ κτἑ.* om. Tr. sicut verbis *οὔτε γὰρ ἑαυτον* desinit S rec. folio 5 usque ad finem perarato ‖ 11 *γε* om. flor. 23 ‖ 13 *τυγχάνῃ* (vel *-η*) M[d], flor. 23, Plat.: *-ει* A | v. *ἐκ ταὐτοῦ δὲ* usque ad fin. om. Gesn.² p. 25, inde vulg. ‖ 15 *γεγονέναι πᾶσιν* M[d] A, flor. 23 ut de exempli Stobaeani vitio dubitari nequeat: *γέγονε πᾶσιν* Plat.; *γέγονεν ἅπασιν* ci. Gaisford, sed *γεγονέναι* istud nescio an ortum sit ex dittogr. *γέγονε[νε]* ‖ 16 *ἄλλοις* M[d], flor. 23, Plat.: *ἀλλήλοις* A ‖ 18 *αὐτοὶ πραττοντες* M[d], flor. 23, Plat.: *αὐτον πράττοντα* A, inde Gaisford

[redacted]

νόδρα φιλεῖν αὐτόν, τὸν δ' ἑαυτοῦ βελτίω διώκειν ἰ, μηδεμίαν αἰσχύνην ἐπὶ τῷ τοιούτῳ πρόσθεν ποιούνον.

203 (1, 96 Mein.) *Τοῦ αὐτοῦ Νόμων ζ'* (p. 808 B).

Ὕπνος δὲ πολὺς οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ὢν οὐδ' αὖ ταῖς πράξεσι ταῖς περὶ ταῦτα πάντα ἁρπτων ἐστὶ κατὰ φύσιν. καθεύδων γὰρ οὐδεὶς οὐδενὸς ος, οὐδὲν μᾶλλον τοῦ μὴ ζῶντος· ἀλλ' ὅστις τοῦ ζῆν ὢν καὶ τοῦ φρονεῖν μάλιστά ἐστι κηδεμών, ἐγρήγορε νον ὡς πλεῖστον τὸ πρὸς ὑγίειαν αὐτοῦ μόνον φυλάτ' χρήσιμον. ἔστι δ' οὐ πολὺ καλῶς εἰς ἔθος ἰόν. ηγορότες δὲ ἄρχοντες ἐν πόλεσι νύκτωρ φοβεροὶ μὲν οἷς πολεμίοις τε ἅμα καὶ πολίταις, ἀγαστοὶ δὲ καὶ ιοι τοῖς δικαίοις τε καὶ σώφροσιν, ὠφέλιμοι δὲ αὑτοῖς καὶ ξυμπάσῃ τῇ πόλει.

04 (1, 97 Mein.) *Τοῦ αὐτοῦ ἐκ τοῦ Περὶ ἀρετῆς* (p. 379 C—D).

Πῶς οὖν ἄν, ὦ Σώκρατες, σοὶ δοκοῦσι γίγνεσθαι, μήτε φύσει μήτε μαθήσει γίγνονται οἱ ἀγαθοί; αι μὲν οὐκ ⟨ἂν⟩ ῥᾳδίως αὐτὸ δηλωθῆναι· τοπάζω τοι μάλιστα θεῖόν τι εἶναι τὸ κτῆμα καὶ γίγνεσθαι

---

1 *αὑτόν* Plat.: *αὐτόν* M^d A | *τὸν* Plat.: *τὸ* M^d A, libri flor. 23 | *δ' οῦ* Plat.: *δὲ αὐτοῦ* M^d *δ' αὐτοῦ* A, *δὲ αὐτοῦ* flor. 23 | *βελτίω* M^d, 23, Plat.: *βέλτιον* A, inde Gaisford ‖ 2 *ἀεί* M^d A: *δεῖ* flor. 23, Plat. | *θεν ποιούμενον* flor. 23, Plat.: *προσποιούμενον* M^d A ‖ 4 ecl. cum . habet MA (post ecl. 1, 95 Mein.) lemmate non iterato (post ecl. 5 Mein. cf. quae dixi de Stob. flor. cod. Brux. p. 7) Br; *νόμ^{ος} ζ'* A ‖ M^d A Br: *γὰρ δὴ* tacite ex Platone Gesn.[2]. p. 26, inde vulg. ‖ 6 *οὐδ' ταῖς* Br Plat.: *οὐδ' αὐταῖς* M^d *οὔτ' αὖ ταῖς* A | *πάντα* om. A ‖ *θεύδων κτέ.*] dictum Platonis respiciunt haud pauci, vide Potter ementis Alex. paed. II 9 p. 218 ‖ 10 *ὑγείαν* Br ‖ 11 *δὲ οὐ* M^d Br ς vel *ἦθος* A ‖ 14 *αὑτοῖς* Br Plat.: *αὐτοῖς* M^d A ‖ 16 ecl. cum hab. MA, sine lemm. Br ‖ 18 *μαθήσει* sed *ει* ex corr. M^d | post νται verba *τίν' ἄλλον τρόπον γίγνοιντ' ἄν* tacite ex Platone t Gesn.[2] p. 27, inde vulg. ‖ 19 *οὐκ ἂν* tacite ex Platone Gesn.[2], vulg.: *οὐ* (om. *ἄν*) M^d A Br ‖ 20 *τοπάζω μέντοι* A Plat.: *τοπά-*

τοὺς ἀγαθοὺς ὥσπερ οἱ θεῖοι τῶν μάντεων καὶ οἱ χρησμολόγοι. οὗτοι γὰρ οὔτε φύσει τοιοῦτοι γίγνονται οὔτε τέχνῃ, ἀλλ' ἔπιπνοι ἐκ τῶν θεῶν γιγνόμενοι τοιοῦτοί εἰσιν· οὕτω δὲ καὶ οἱ ἄνδρες οἱ ἀγαθοὶ λέγουσι ταῖς πόλεσιν ἑκάστοτε τὰ ἀποβησόμενα καὶ τὰ μέλλοντα ἔσεσθαι ἐκ θεοῦ ἐπιπνοίας πολὺ μᾶλλον καὶ ἐναργέστερον ἢ οἱ χρησμῳδοί. λέγουσι δέ που καὶ αἱ γυναῖκες ὅτι θεῖος ἀνὴρ οὗτός ἐστι· καὶ Λακεδαιμόνιοι ὅταν τινὰ μεγαλοπρεπῶς ἐπαινῶσι, θεῖον ἄνδρα φασὶν εἶναι. πολλαχοῦ δὲ καὶ Ὅμηρος τῷ αὐτῷ τούτῳ καταχρῆται καὶ οἱ ἄλλοι ποιηταί. καὶ ὅταν βούληται θεὸς εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθοὺς ἐνεποίησεν· ὅταν δὲ μέλλῃ κακῶς πράξειν πόλις, ἐξεῖλε τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐκ ταύτης τῆς πόλεως ὁ θεός. οὕτως ἔοικεν οὔτε διδακτὸν εἶναι οὔτε φύσει ἀρετή, ἀλλὰ θείᾳ μοίρᾳ παραγίγνεται κτωμένοις.

205 (1, 100 Mein.) *Ξενοφῶντος ἐν α' Ἀπομνημονευμάτων* (I 6, 13—15).

Ὁ δὲ Σωκράτης πρὸς ταῦτα εἶπεν· Ὦ Ἀντιφῶν, παρ' ἡμῖν νομίζεται τὴν ὥραν καὶ τὴν σοφίαν ὁμοίως μὲν καλόν, ὁμοίως δὲ αἰσχρὸν διατίθεσθαι εἶναι. τήν τε γὰρ ὥραν ἐὰν μέν τις ἀργυρίου πωλῇ τῷ βουλομένῳ, πόρνον αὐτὸν ἀποκαλοῦσιν, ἐὰν δέ τις, ὃν ἂν γνῷ καλὸν

ζομεν (vel *τοπάζομέν*) *τοι* M[d] Br | *μάλιστα θεῖόν* (*θεῖον* Br) *τι* M[d]A Br: *θεῖόν τι μάλιστα* tacite ex Platone Gesn., inde vulg.
1 *θεῖοι* A Plat.: *θετοὶ* M[d] Br | *οἱ* om. Gesn.[2], inde vulg. || 3 *ἔπιπνοι* M[d] *ἐπίπνοι* A Br: *ἐπιπνοίᾳ* codices Platonis || 5 *ἑκάστω*·· M[d] || 6 *ἐκ θεοῦ ἐπιπνοίας* M[d] Br Plat.: *ἐκ τῆς τοῦ θεοῦ ἐπιπνοίας* A | *μᾶλλον καὶ* M[d] A Plat.: *μᾶλλον* ut erasa videatur *καὶ* particula Br | 7 *δέ που* M[d]A Br Plat.: *γάρ που* Gesn.[2], inde vulg. || 8 *οὗτός ἐστι* tacite ex Platone Gesn.[2], inde vulg.: *αὐτός ἐστι* M[d] A Br || 10 *καταχρῆται* tacite ex Platone Gesn.[2], inde vulg.: *τάχα χρῆται* M[d] A Br | 12 *ἐνεποίησεν* tacite ex Platone Gesn.[2], inde vulg.: *ἐποίησεν* M[d] A Br || 13 *πόλις* M[d] Br Plat.: *πόλεις* A || 15 *θεῖα μοῖρα* M[d] | 16 *παραγίγνεται* M[d] A Plat. ex *παραγίννεται* corr. Br[1] || 17 ecl. cum lemm. hab. MA post ecl. 1, 97 Mein. || 21 *διατίθεσθαι* M[d] Xen.: *παρατίθεσθαι* A

τι κἀγαθὸν ἐραστὴν ὄντα, τοῦτον φίλον ἑαυτῷ ποιῆται, σώφρονα νομίζομεν· καὶ τὴν σοφίαν ὡσαύτως τοὺς μὲν ἀργυρίου τῷ βουλομένῳ πωλοῦντας σοφιστὰς ὥσπερ πόρνους ἀποκαλοῦσιν, ὅστις δέ, ὃν ἂν γνῷ εὐφυῆ ὄντα, διδάσκων ὅ τι ἂν ἔχῃ ἀγαθὸν φίλον ποιεῖται, τοῦτον νομίζομεν ἃ τῷ καλῷ κἀγαθῷ πολίτῃ προσήκει, ταῦτα ποιεῖν. ἐγὼ δ' οὖν καὶ αὐτός, ὦ Ἀντιφῶν, ὥσπερ ἄλλος τις ἢ ἵππῳ ἀγαθῷ ἢ κυνὶ ἢ ὄρνιθι ἥδεται, οὕτω καὶ ἔτι μᾶλλον ἥδομαι φίλοις ἀγαθοῖς, καὶ ἐάν τι ἔχω ἀγαθόν, διδάσκω καὶ ἄλλοις συνίστημι, παρ' ὧν ἂν ἡγῶμαι ὠφελήσεσθαί τι αὐτοὺς εἰς ἀρετήν. καὶ τοὺς θησαυροὺς τῶν πάλαι σοφῶν ἀνδρῶν, οὓς ἐκεῖνοι κατέλιπον ἐν βιβλίοις γράψαντες, ἀνελίττων κοινῇ σὺν τοῖς φίλοις διέρχομαι, καὶ ἄν τι ὁρῶμεν ἀγαθόν, ἐκλεγόμεθα, καὶ μέγα νομίζομεν κέρδος, ἐὰν ἀλλήλοις φίλοι γινώμεθα. Πάλιν ποτὲ τοῦ Ἀντιφῶντος ἐρομένου αὐτὸν πῶς ἄλλους μὲν ἡγοῖτο πολιτικοὺς ποιεῖν, αὐτὸς δὲ οὐ πράττοι τὰ πολιτικά, εἴπερ ἐπίσταιτο· Ποτέρως δ' ἄν, ἔφη, ὦ Ἀντιφῶν, μᾶλλον τὰ πολιτικὰ πράττοιμι, εἰ μόνος αὐτὰ πράττοιμι, ἢ εἰ ἐπιμελοίμην τοῦ ὡς πλείστους ἱκανοὺς εἶναι πράττειν αὐτά;

---

1 *τὲ καὶ ἀγαθὸν* M[d] | *τοῦτον φίλον* — 2 *σώφρονα*] *φίλον ἑαυτῷ ποιῆται, τοῦτον σώφρονα* Schenkl | *ποιῆται* M[d] Xen.: *ποιεῖται* A ‖ 2 post *μὲν* trium fere litt. rasura M ‖ 3 *ἀργυρίου* M[d] Xen.: *ἀργυρίω* A | *πωλοῦντας* sed *ωλοῦντας* in ras. M[d] | *ὥσπερ πόρνους* delet Ruhnkenius ‖ 4 *εὐφυῆ* M[d]A ut aliquot Xenophontei: *εὐφυᾶ* Xen. | 5 *ποιεῖται* A Xen.: *ποιῆται* M[d] ‖ 9 *ἐάν τι* A Xen.: *ἄν τι* M[d] | *ἔχω* M[d] A Xen.: *σχῶ* Gesn.[2] p. 27, inde vulg. ‖ 15 *φίλοι* libri Stob. et Xen., sed *ὠφέλιμοι* Xenophontis Vossianus quod recipiunt. *φίλοι* defendere studuit Gilbert | *γινόμεθα* (voluit *γινώμεθα*) Gesn.[2] inde vulg.: *γενώμεθα* M[d] A; *γιγνώμεθα* Xen. | post *γινώμεθα* verba *ἐμοὶ μὲν δὴ ταῦτα ἀκούοντι, ἐδόκει αὐτός τε μακάριος εἶναι καὶ τοὺς ἀκούοντας ἐπὶ καλοκαγαθίαν ἄγειν. καὶ* ex Xenophonte addidit Gesn.[2], inde vulg.: om. M[d] A ‖ 18 *ἐπίσταιτο* M[d] Xen.: *ἐπίστατο* A; *ἐπίσταται* Gesn.[2], inde vulg. ‖ 19 *μᾶλλον* suppl. A[1] ‖ 20 *ἢ εἰ ἐπιμελοίμην* M[d] Xen.: *εἴτ' ἐπιμελήμην* A

205 (1, 101 Mein.) *Τοῦ αὐτοῦ ἐν τῷ δευτέρῳ Ἀπομνημονευμάτων* (II 1, 18—34).

Ἔπειτα ὁ μὲν ἑκουσίως ταλαιπωρῶν ἐπ' ἀγαθῇ ἐλπίδι πονῶν εὐφραίνεται, οἷον οἱ τὰ θηρία θηρῶντες ἐλπίδι τοῦ λήψεσθαι ἡδέως μοχθοῦσι. καὶ τὰ μὲν τοιαῦτα ἆθλα τῶν πόνων μικροῦ τινος ἄξιά ἐστι· τοὺς δὲ πονοῦντας, ἢ ἵνα φίλους ἀγαθοὺς κτήσωνται, ἢ ὅπως ἐχθροὺς χειρώσονται, ⟨ἢ⟩ ἵνα δυνατοὶ γενόμενοι καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς καὶ τὸν ἑαυτῶν οἶκον καλῶς οἰκῶσι καὶ τοὺς φίλους εὖ ποιῶσι καὶ τὴν πατρίδα εὐεργετῶσι, πῶς οὐκ οἴεσθαι χρὴ τούτους καὶ πονεῖν ἡδέως εἰς τὰ τοιαῦτα καὶ ζῆν εὐφραινομένους, ἀγαμένους μὲν ἑαυτούς, ἐπαινουμένους δὲ καὶ ζηλουμένους ὑπὸ τῶν ἄλλων; ἔτι δὲ αἱ μὲν ῥᾳδιουργίαι καὶ ἐκ τοῦ παραχρῆμα ἡδοναὶ οὔτε σώματι εὐεξίαν ἱκαναί εἰσιν ἐνεργάζεσθαι, ὥς φασιν οἱ γυμνασταί, οὔτε ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν· αἱ δὲ διὰ καρτερίας ἐπιμέλειαι τῶν καλῶν

---

1 ecl. cum lemm. hab. MA (post ecl. 1, 100) Br (post 7, 75); *ξενοφῶν*^τ nec plura lemmatis loco Br ‖ 3 *ἔπειτα ὁ μὲν* — 13 *ὑπὸ τῶν ἄλλων* om. Br ‖ 4 *πονῶν* M^d A: *φρονῶν* libri Xenophontis, inde Gesn.² p. 28 | *οἱ* om. operarius Gesn.², inde vulg. ‖ 5 *λήψεσθαι* M^d Xen.: *λείψεσθαι* A | *ἡδέως* M^d Xen.: *ἡδίως* A ‖ 7 *ἢ ἵνα* M^d A: *ἵνα* e Xenophonte Gesn.², inde vulg. | *χειρώσονται* M^d Xen.: *χειρώσωνται* A, Xenophontis libri non nulli, inde Gesn.² ‖ 8 *ἢ* tacite e Xen. addidit Gesn.², inde vulg.: om. M^d A | *γενόμενοι* A Xen.: *γενώμενοι* M^d | 9 *καὶ τὸν ἑαυτῶν* M^d Xen.: *τὸν ἑαυτὸν* A | 11 *οἴεσθαι χρὴ* M^d A: *οἶσθα ὡς χρὴ* e Xenophontis exemplari Gesn.², inde vulg.; *οἶσθα χρῆν* vel *χρὴ* libri Xenophontei ‖ 12 *ἀγαμένους* M^d A Xen.: *ἀγασαμένους* temere Gesn.², inde vulg. | *ἑαυτοὺς* e Xen. Gesn., inde vulg.: *αὐτοὺς* (litt. *τοὺς* perierunt margine resarto A) M^d A ‖ 15 *σώματι* e Xen. Gesn.², inde vulg.: *σώματος* M^d (A ubi periit vocabulum margine superimposito) Br | *ἐνεργάζεσθαι* Xen.: *ἐργάσασθαι* M^d A Br; dubito an *σώματι* — *ἐνεργάσασθαι* in Stobaeo ferendum sit. *ἐργάζεσθαι* Gesn.², inde vulg. ‖ 16 *ψυχῇ* M^d Br Xen.: *ψυχῆς* A | *οὐδεμίαν*] litt. *ιαν* novo nunc margine obtectae sunt in A ‖ 17 *ἐμποιοῦσιν* etiam A, fallitur Gaisford

τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν, ὥς φασὶν οἱ ἀγαθοὶ ἄνδρες. λέγει δέ που καὶ Ἡσίοδος

Τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
ῥηιδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται
ῥηιδίη δ' ἤπειτα πέλει χαλεπή περ ἐοῦσα.

μαρτυρεῖ δὲ καὶ Ἐπίχαρμος ἐν τῷδε·

Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.

καὶ ἐν ἄλλῳ δὲ τόπῳ φησίν·

Ὦ πονηρὲ μὴ τὰ μαλακὰ μῶσο, μὴ τὰ σκλήρ' ἔχῃς.

---

1 καὶ ἀγαθῶν Md ‖ 2 Ἡσίοδος] op. 287 ‖ 3 τὴν μὲν γὰρ Md A Br Xen. Plut. mor. p. 24 F Maxim. Tyr. XXI 7 schol. Eur. Hipp. 380: τὴν μέν τοι Hes. Clemens Al. strom. V 3, 16 p. 654 P. vol. III p. 14, 10 Dind.; ὡς τὴν μὲν Plat. de re p. p. 364 G | εἰλαδόν Md ‖ 4 λείη Md A Br Xen. Plat. (cf. Plut. mor. p. 77 D): ὀλίγη Hesiodi codd. et Proculus ‖ 6 δὲ Md Br: γὰρ compend. A sed ut ex parte perierit incuria bibliopegae sicut vicinum καὶ | ἐς αὐτὴν Md A Br Hes. Xen. Plat. de legg. IV p. 718 E Lucian. paras. 14 Clemens Al. strom. IV 2, 5 p. 565 P. vol. II p. 317, 25 Dind.; ἐπ' αὐτὴν Hesiodi aliquot codd. Proculus Lucian. Hermot. II 25 | 7 τραχὺς Md | ἵκηται Md Hes.: ἵκηαι (ἥκηαι Br) A Br Xenophontis codd. Hesiodi cod. Vat. 121 Plato l. c. ‖ 8 δ' ἤπειτα Gesn.[2], inde vulg.: δ' ἤπειτα Md ἔπειτα A δ' ἔπειτα Br; δὴ ἔπειτα Hes. Xen. Clem. Al. l. c. δ' ἤπειτα codex Platonis ‖ 9 Ἐπίχαρμος] fr. inc. 15 p. 259 Lor. ‖ 10 iteratur versus cum lemm. ἐπιχάρμου fortasse ex hoc ipso loco flor. 29 ubi vide ad ecl. 8. sine poetae nomine ex Xenophonteo loco repetiit versum Hermogenes progymn. c. 3 extr. ‖ 11 τἀγάθ' οἱ Xen.: τ' ἀγαθοὶ Md τἄγαθ' οἱ (sic) A τἀγαθὰ Br ‖ 12 Epich. fr. 16 l. c. ‖ 12 et 13 om. Br ‖ 13 μὴ τὰ μαλακὰ μῶσο, μὴ τὰ σκλήρ' ἔχῃς Xen. ubi etiam μῶσο illud ab Ahrensio restitutum confirmatur quadamtenus libris melioribus (μῶεο ceteri): μή ποτ' ἀμαλακόμματα μήτ' ἂν σκληρὰ ἔχῃς Md μὴ ποτὰ μαλακὰ μώεο μὴ τὰ σκληρὰ ἔχης sed ut ἡ (in altero τὴ) a manu diversa additum sit (m. pr. dederat μ̑) eodemque atramento pallidiore quo exaratae sunt litt. ώεο, ubi ε nescio an ex σ correctum sit. sed ω habuerat iam A[1]; μή τι μαλακῶς, ὁ μὴ τὰ σκλῆρ' ἔχεις Gesn.[2], inde vulg.

καὶ Πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους, ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται, ὡσαύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι. φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον εἴτε τὴν διὰ κακίας, ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι ἀποροῦντα ὁποτέραν τῶν ὁδῶν τράπηται· καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην τὸ μὲν χρῶμα καθαριότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ, τὴν δὲ ἑτέραν τεθραμμένην εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ ἐξ ἧς ἂν μάλιστα ἡ ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται, πολλάκις δὲ καὶ εἰς

---

1 *δὲ* M^{d} Br Xen.: *δ'* A | *περὶ τοῦ ἡρακλέους* M^{d} A Br: *περὶ Ἡρακλέους* Xen. ‖ 2 *ὅπερ δὴ* — 3 *ἀποφαίνεται* om. Br | *πλείστους* oscitanter Gesn.^{2}, inde vulg. ‖ 4 *φησὶν* M ‖ 5 *οἱ νέοι ἤδη* M^{d} Br Xen.: *ἤδη οἱ νέοι* A | *αὐτοκράτορες*] *κράτορες* iam non legitur in A culpa bibliopegi marginem resarcientis. sed leviora huius generis iam omittam | *γιγνόμενοι* M^{d} A Br: *γινόμενοι* Gesn.^{2}, inde vulg. ‖ 8 *ποτέραν* Xenophontis libri plerique ‖ 9 *προσιέναι* M^{d} A Br: *προιέναι* libri Xenophontis, inde male Gesn.^{2} | *τὴν μὲν ἑτέραν* e. q. s. usque ad eclogae finem temere om. Gesn.^{2}, inde vulg.: ex A supplevit Gaisford ‖ 10 *εὐπρεπῆ τε* (vel *τὲ*) M^{d} Br Xen.: *εὐπρεπῆ* A | *ἐλευθέριον* non solum M^{d} Br Xen. sed etiam A, fallitur Gaisford ‖ 11 *χρῶμα* M^{d} Br *χρῶμα* ex *σῶμα* corr. A^{1}: *σῶμα* libri Xenophontis | *καθαριότητι* M^{d} A libri Xenophontis: *καθαρειότητι* Br ‖ 12 *ἐσθῆτι* (*ἐσθῆτα* M^{d}) *δὲ λευκῇ* (*λακῇ* M teste Loewio) M^{d} Br Xen.: om. A, inde Gaisford et Meineke | *τὴν δὲ* A Xen.: *τὴν δέ γε* M^{d} Br ‖ 18 *τεθραμμένην μὲν εἰς* Xen. | *κεκαλλωπισμένην δὲ* M (teste Loewio) Br Xen.: *κεκαλλωπισμένην* A ‖ 14 *λευκοτέραν τε* (*τὲ* M^{d}) M^{d} Br Xen.: *λευκοτέραν* A ‖ 17 *ἐξ ἧς* (*ἐξῆς* M) *ἂν* etiam A, fallitur Gaisford | *ἡ ὥρα* M^{d} A Br: *ὥρα* libri Xenophontei ‖ 18 *ἐπισκοπεῖν* A Br Xen.: *ἐπισκοπεῖσθαι* M^{d}

[redacted]

ἑαυτῆς σκιὰν ἀποβλέπειν. ὡς δ' ἐγένοντο πλησιαί-
ον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι
αὐτὸν τρόπον, τὴν δὲ ἑτέραν φθάσαι βουλομένην
οσδραμεῖν τῷ Ἡρακλεῖ καὶ εἰπεῖν· Ὁρῶ σε, ὦ Ἡρά-
ις, ἀποροῦντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον τραπῇς· ἐὰν
ἐμὲ φίλην ποιησάμενος, ἐπὶ τὴν ἡδίστην τε καὶ
τ്ην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευ-
ς ἔσῃ, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ. πρῶτον
γὰρ οὐ πολέμων οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ
πούμενος † διέσῃ τί ἂν κεχαρισμένον ἢ σῖτον ἢ ποτὸν
οις, ἢ τί ἂν ἰδὼν ἢ ἀκούσας τερφθείης, ἢ τίνων
ραινόμενος ἢ ἁπτόμενος, τίσι δὲ παιδικοῖς ὁμιλῶν
ιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις,
πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις. ἐὰν
τοτε γένηταί τις ὑποψία σπάνεως ἀφ' ὧν ἔσται ταῦτα,
φόβος μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπω-
ντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι, ἀλλ'
ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσῃ, οὐδενὸς
χόμενος ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. πανταχόθεν
ὠφελεῖσθαι τοῖς ἐμοὶ συνοῦσιν ἐξουσίαν ἐγὼ παρέχω.
ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, Ὦ γύναι, ἔφη, ὄνομα δέ

---

1 ἑαυτῆς M^d Br Xen.: αὐτῆς A ‖ 5 τραπῇς libri Stobaei: τράπῃ etiam Stobaeo hoc dederim coll. p. 164, 8. 166, 6 | ἐὰν οὖν M^d Br : ἐὰν A ‖ 6 ποιησάμενος M^d A Br Xenophontis libri non nulli: ῃ Xen. | ἐπὶ τὴν ἡδίστην τὲ (τε Xen.) M^d Br Xen.: ἐπὶ θ' ἡδίστην A; dum esse ἐπὶ vidit Hirschig Philol. IV p. 363 ‖ 10 διέσῃ M^d A Br aut διέσῃ libri Xen.; διοίσει Xenophonti reddendum esse perspexit idorf | τί ἂν M^d Br Xen.: τι ἂν A | σιτίον reponunt in Xenophonte Petro Victorio ‖ 11 ἢ τί ἂν M^d Br Xen.: ἤ τι ἂν A | ἢ ἀκούσας Br: ἢ τί ἀκούσας libri Xenophontis | τερφθείης, ἢ Xen.: τερ-ῃ M^d A Br | τίνων M^d A (sic) Br libri Xenophontis; τίνων ἂν in hhonte recte Cobet n. l. p. 693 ‖ 12 ἁπτόμενος M^d A Br: ἁπτό-ησθείης Xen. | τίσι δὲ M^d Br Xen.: τί δὲ A ‖ 13 μάλιστ' ἂν μάλιστα M^d A Br | εὐφρανθείης. καὶ τὰ ἑξῆς Br omittens v. καὶ ἂν μαλακώτατα — 20 ἐγὼ παρέχω ‖ 15 σπάνεως Xen.: σπα-M^d A ‖ 16 ἐπὶ τὸ Xen.: ἐπὶ τὸν M^d A ‖ 19 ᾖ τί κερδάναι M συνοῦσιν M^d A fallitur Gaisford ‖ 21 ὦ γύναι (γῦναι M^d) ἔφη Xen.: ἔφη ὦ γύναι A

σοι τί ἐστιν; ἡ δέ· Οἱ μὲν ἐμοὶ φίλοι καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι ὀνομάζουσι Κακίαν. καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε Καὶ ἐγὼ ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα, ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο σφόδρ᾽ ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἀγαθὸν ἐργάτην γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ᾽ ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ᾽ ᾗπερ οἱ θεοὶ διέθεσαν τὰ ὄντα διηγήσομαι μετὰ ἀληθείας. τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας οἱ θεοὶ διδόασιν ἀνθρώποις, ἀλλ᾽ εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ᾽ ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν, εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον, εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον, εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον καὶ ὅπως δεῖ αὐταῖς χρῆσθαι ἀσκητέον· εἰ δὲ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον σὺν

1 *φίλοι, ἔφη, καλοῦσι* scripserim e Xen. ‖ 4 *γεννήσαντά σε* M[d] ‖ 9 *φανῆναι* M[d] Br Xen.: *φανεῖναι* A | *ἐξαπατήσω* M[d] Br Xen.: *ἀπατήσω* A ‖ 10 *οἱ θεοὶ* M[d] A Br: *θεοὶ* libri Xen. ‖ 11 *μετ᾽ ἀληθείας* Xen. ‖ 13 *ἀλλ᾽ εἴτε* A Xen.: *ἀλλὰ εἴτε* M[d] Br | *ἵλεως* M[d] Br Xen.: *ἵλεω* A ‖ 17 *ἀξιοῖς* M[d] Br Xen.: *ἄξιος* A ‖ 18 *εἴτε γῆν* A Xen.: *εἰ τὴν γῆν* M[d] Br ‖ 19 *ἀφθόνους* M[d] A Xen.: *ἀφθόνως* Br ‖ 21 *ἐπιμελητέον. καὶ τὰ ἑξῆς* Br omittens v. *εἴτε διὰ πολέμου* — p. 167, 1 *καὶ ἱδρῶτι* | *ὁρμᾷς* A Xen.: *ὁρμαῖς* M[d] ‖ 23 *αὐτάς τε* (sic) A Xen. *αὐτὸς τὲ* M[d]; *τάς τε* operarius Gaisfordi, inde Meineke ‖ 24 *δεῖ αὐταῖς* M[d] A: *αὐταῖς δεῖ* Xen. ‖ 25 *εἰ δὲ* M[d] A: *εἰ δὲ καὶ* Xen. ‖ 26 *σὺν* secludit L. Dindorf

πόνοις καὶ ἱδρῶτι. καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν, ὥς φησι Πρόδικος, Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε. καὶ ἡ Ἀρετὴ εἶπεν, Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις ἢ τί ἡδὺ οἶσθα μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥ τις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι πάντων ἐμπίμπλασαι, πρὶν μὲν πεινῆν ἐσθίουσα, πρὶν δὲ διψῆν πίνουσα· ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη, ἵνα δὲ ἡδέως πίῃς, οἴνους τε πολυτελεῖς παρασκευάζῃ καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς, ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακάς, ἀλλὰ καὶ τὰς κλίνας καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζεις· οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ τι ποιήσεις, ὕπνου ἐπιθυμεῖς. τὰ δ' ἀφροδίσια πρὸ τοῦ δεῖσθαι ἀναγκάζεις πάντα μηχανωμένη καὶ γυναιξὶ τοῖς ἀνδράσι χρωμένη· οὕτω γὰρ παιδεύεις τοὺς ἑαυτῆς φίλους, τῆς μὲν νυκτὸς ὑβρίζουσα, τῆς δὲ ἡμέρας τὸ χρησιμώτατον κατακοιμί-

---

1 καὶ ἡ κακία ὑπολαβοῦσα εἶπεν A Xen.: καὶ τὴν κακίαν ὑπολαβοῦσαν εἰπεῖν Md Br; nescio igitur an scripserit Stobaeus καὶ τὴν Κακίαν ὑπολαβοῦσαν εἰπεῖν ⟨οὕτ⟩ως φησὶ Πρόδικος, nisi ipsum fortasse ὥς prave interpretatus est οὕτως ‖ 3 μακρὰν Md Br Xen.: μακρὴν A | σοι αὕτη Md A (sic) Xen.: αὕτη Br ‖ 5 ὦ τλῆμον — 15 ταῖς κλίναις παρασκευάζῃ affert Clemens Al. strom. II 20 p. 485 P. vol. II p. 215, 12 Dind. ubi legitur ἀγαθὸν οἶσθα ἢ τί καλὸν σκοπεῖς, ἥτις omissis v. ἀλλὰ — ἐμπίπλασαι ‖ 8 ἐμπίμπλασαι L. Dindorf: ἐνπίνπλασαι Md ἐμπίπλασαι A Br libri Xen. ‖ 9 καὶ ἵνα μὲν Clem. ‖ 10 ὀψοποιίας Tillmanns misc. cr. p. 9 ‖ 11 πίῃς (vel -ης) Md A Br: πίνῃς libri Xenophontis Clem. | παρασκευάζῃ Md A[1] (litterae H alteram hastam refinxit A[2]) Br libri Xenophontis Clem.: παρασκευάζει Xen. ‖ 12 καθυπνώσῃς] κατακοιμηθῇς Clem. ‖ 13 τὰς στρωμνὰς μαλακὰς] τὰς κλίνας μαλθακὰς Clem. | τὰς κλίνας καὶ om. Clem. ‖ 14 παρασκευάζῃ Clem., unde παρασκευάζει scribunt ap. Xen. ‖ 15 ποιήσεις Md A Br: ποιεῖς libri Xen.; ποιῇς Castalio ‖ 16 ἐπιθυμεῖς· καὶ τὰ ἑξῆς Br omissis v. τὰ δὲ ἀφροδίσια — p. 168, 14 ἀποθέμενοι | δέεσθαι Xenophontis libri haud pauci ‖ 18 οὕτω Md Xen.: οὕτως A | ἑαυτῆς Md A ut Xenophontis libri aliquot: σεαυτῆς Xen.

205 (1, 101 Mein.) *Τοῦ αὐτοῦ ἐν τῷ δευτέρῳ Ἀπομνημονευμάτων* (II 1, 18—34).

Ἔπειτα ὁ μὲν ἑκουσίως ταλαιπωρῶν ἐπ' ἀγαθῇ ἐλπίδι πονῶν εὐφραίνεται, οἷον οἱ τὰ θηρία θηρῶντες ἐλπίδι τοῦ λήψεσθαι ἡδέως μοχθοῦσι. καὶ τὰ μὲν τοιαῦτα ἆθλα τῶν πόνων μικροῦ τινος ἄξιά ἐστι· τοὺς δὲ πονοῦντας, ἢ ἵνα φίλους ἀγαθοὺς κτήσωνται, ἢ ὅπως ἐχθροὺς χειρώσονται, ⟨ἢ⟩ ἵνα δυνατοὶ γενόμενοι καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς καὶ τὸν ἑαυτῶν οἶκον καλῶς οἰκῶσι καὶ τοὺς φίλους εὖ ποιῶσι καὶ τὴν πατρίδα εὐεργετῶσι, πῶς οὐκ οἴεσθαι χρὴ τούτους καὶ πονεῖν ἡδέως εἰς τὰ τοιαῦτα καὶ ζῆν εὐφραινομένους, ἀγαμένους μὲν ἑαυτούς, ἐπαινουμένους δὲ καὶ ζηλουμένους ὑπὸ τῶν ἄλλων; ἔτι δὲ αἱ μὲν ῥᾳδιουργίαι καὶ ἐκ τοῦ παραχρῆμα ἡδοναὶ οὔτε σώματι εὐεξίαν ἱκαναί εἰσιν ἐνεργάζεσθαι, ὥς φασιν οἱ γυμνασταί, οὔτε ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν· αἱ δὲ διὰ καρτερίας ἐπιμέλειαι τῶν καλῶν

---

1 ecl. cum lemm. hab. MA (post ecl. 1, 100) Br (post 7, 75); *ξενοφῶν*[τ] nec plura lemmatis loco Br ‖ 3 *ἔπειτα ὁ μὲν* — 13 *ὑπὸ τῶν ἄλλων* om. Br ‖ 4 *πονῶν* M[d] A: *φρονῶν* libri Xenophontis, inde Gesn.[3] p. 28 | *οἱ* om. operarius Gesn.[2], inde vulg. ‖ 5 *λήψεσθαι* M[d] Xen.: *λείψεσθαι* A | *ἡδέως* M[d] Xen.: *ἡδίως* A ‖ 7 *ἢ ἵνα* M[d] A: *ἵνα* e Xenophonte Gesn.[2], inde vulg. | *χειρώσονται* M[d] Xen.: *χειρώσωνται* A, Xenophontis libri non nulli, inde Gesn.[2] ‖ 8 *ἢ* tacite e Xen. addidit Gesn.[2], inde vulg.: om. M[d] A | *γενόμενοι* A Xen.: *γενώμενοι* M[d] ‖ 9 *καὶ τὸν ἑαυτῶν* M[d] Xen.: *τὸν ἑαυτὸν* A ‖ 11 *οἴεσθαι χρὴ* M[d] A: *οἶσθα ὡς χρὴ* e Xenophontis exemplari Gesn.[2], inde vulg.; *οἶσθα χρῆν* vel *χρὴ* libri Xenophontei ‖ 12 *ἀγαμένους* M[d] A Xen.: *ἀγασαμένους* temere Gesn.[2], inde vulg. | *ἑαυτοὺς* e Xen. Gesn., inde vulg.: *αὐτοὺς* (litt. *τοὺς* perierunt margine resarto A) M[d] A ‖ 15 *σώματι* e Xen. Gesn.[2], inde vulg.: *σώματος* M[d] (A ubi periit vocabulum margine superimposito) Br | *ἐνεργάζεσθαι* Xen.: *ἐργάσασθαι* M[d] A Br; dubito an *σώματι* — *ἐνεργάσασθαι* in Stobaeo ferendum sit. *ἐργάζεσθαι* Gesn.[2], inde vulg. ‖ 16 *ψυχῇ* M[d] Br Xen.: *ψυχῆς* A | *οὐδεμίαν*] litt. *ιαν* novo nunc margine obtectae sunt in A ‖ 17 *ἐμποιοῦσιν* etiam A, fallitur Gaisford

[redacted]

τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν, ὥς φασὶν οἱ ἀγαθοὶ ἄνδρες. λέγει δέ που καὶ Ἡσίοδος

Τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
ῥηιδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται
ῥηιδίη δ' ἤπειτα πέλει χαλεπή περ ἐοῦσα.

ιαρτυρεῖ δὲ καὶ Ἐπίχαρμος ἐν τῷδε·

Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.

αὶ ἐν ἄλλῳ δὲ τόπῳ φησίν·

Ὦ πονηρὲ μὴ τὰ μαλακὰ μῶσο, μὴ τὰ σκλήρ' ἔχῃς.

---

1 *καὶ ἀγαθῶν* M^d ‖ 2 *Ἡσίοδος*] op. 287 ‖ 3 *τὴν μὲν γὰρ* I^d A Br Xen. Plut. mor. p. 24 F Maxim. Tyr. XXI 7 schol. Eur. Hipp. 50: *τὴν μέν τοι* Hes. Clemens Al. strom. V 3, 16 p. 654 P. vol. III p. 14,) Dind.; *ὡς τὴν μὲν* Plat. de re p. p. 364 G | *εἰλαδόν* M^d ‖ 4 *λείη* ^{d}A Br Xen. Plat. (cf. Plut. mor. p. 77 D): *ὀλίγη* Hesiodi codd. et Prolus ‖ 6 *δὲ* M^d Br: *γὰρ* compend. A sed ut ex parte perierit incuria bibliogae sicut vicinum *καὶ* | *ἐς αὐτὴν* M^d A Br Hes. Xen. Plat. de legg. IV 718 E Lucian. paras. 14 Clemens Al. strom. IV 2, 5 p. 565 P. vol. II p. 317, 25 ind.; *ἐπ' αὐτὴν* Hesiodi aliquot codd. Proculus Lucian. Hermot. II 25 7 *τραχὺς* M^d | *ἵκηται* M^d Hes.: *ἵκηαι* (*ἥκηαι* Br) A Br Xenophontis odd. Hesiodi cod. Vat. 121 Plato l. c. ‖ 8 *δ' ἤπειτα* Gesn.^{2}, inde vulg.: ' *ἤπειτα* M^d *ἔπειτα* A *δ' ἔπειτα* Br; *δὴ ἔπειτα* Hes. Xen. Clem. Al. c. *δ' ἤπειτα* codex Platonis ‖ 9 *Ἐπίχαρμος*] fr. inc. 15 p. 259 Lor. 10 iteratur versus cum lemm. *ἐπιχάρμου* fortasse ex hoc ipso loco)r. 29 ubi vide ad ecl. 8. sine poetae nomine ex Xenophonteo loco petiit versum Hermogenes progymn. c. 3 extr. ‖ 11 *τἀγάθ' οἱ* Xen.: ' *ἀγαθοὶ* M^d *τἄγαθ' οἱ* (sic) A *τἀγαθὰ* Br ‖ 12 Epich. fr. 16 l. c. ‖ 2 et 13 om. Br ‖ 13 *μὴ τὰ μαλακὰ μῶσο, μὴ τὰ σκλήρ' ἔχῃς* Xen.)i etiam *μῶσο* illud ab Ahrensio restitutum confirmatur quadamtenus)ris melioribus (*μῶεο* ceteri): *μή ποτ' ἀμαλακόμματα μήτ' ἂν σκληρὰ* ῃς M^d *μὴ ποτὰ μαλακὰ μώεο μὴ τὰ σκληρὰ ἔχῃς* sed ut *ῃ* (in altero ;) a manu diversa additum sit (m. pr. dederat *μ͡*) eodemque atramento illidiore quo exaratae sunt litt. *ώεο*, ubi *ε* nescio an ex *σ* correctum t. sed *ω* habuerat iam A^1; *μή τι μαλακῶς, ὁ μὴ τὰ σκλῆρ' ἔχεις* esn.^{2}, inde vulg.

καὶ Πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους, ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται, ὡσαύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὡδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι. φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον εἴτε τὴν διὰ κακίας, ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι ἀποροῦντα ὁποτέραν τῶν ὁδῶν τράπηται· καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην τὸ μὲν χρῶμα καθαριότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ, τὴν δὲ ἑτέραν τεθραμμένην εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ ἐξ ἧς ἂν μάλιστα ἡ ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται, πολλάκις δὲ καὶ εἰς

1 *δὲ* M[d] Br Xen.: *δ'* A | *περὶ τοῦ ἡρακλέους* M[d] A Br: *περὶ Ἡρακλέους* Xen. || 2 *ὅπερ δὴ* — 3 *ἀποφαίνεται* om. Br | *πλείστους* oscitanter Gesn.[2], inde vulg. || 4 *φησὶν* M || 5 *οἱ νέοι ἤδη* M[d] Br Xen.: *ἤδη οἱ νέοι* A | *αὐτοκράτορες*] *κράτορες* iam non legitur in A culpa bibliopegi marginem resarcientis. sed leviora huius generis iam omittam | *γιγνόμενοι* M[d] A Br: *γινόμενοι* Gesn.[2], inde vulg. || 8 *ποτέραν* Xenophontis libri plerique || 9 *προσιέναι* M[d] A Br: *προϊέναι* libri Xenophontis, inde male Gesn.[2] | *τὴν μὲν ἑτέραν* e. q. s. usque ad eclogae finem temere om. Gesn.[2], inde vulg.: ex A supplevit Gaisford || 10 *εὐπρεπῆ τε* (vel *τὲ*) M[d] Br Xen.: *εὐπρεπῆ* A | *ἐλευθέριον* non solum M[d] Br Xen. sed etiam A, fallitur Gaisford || 11 *χρῶμα* M[d] Br *χρῶμα* ex *σῶμα* corr. A[1]: *σῶμα* libri Xenophontis | *καθαριότητι* M[d] A libri Xenophontis: *καθαρειότητι* Br || 12 *ἐσθῆτι* (*ἐσθῆτα* M[d]) *δὲ λευκῇ* (*λακῇ* M teste Loewio) M[d] Br Xen.: om. A, inde Gaisford et Meineke | *τὴν δὲ* A Xen.: *τὴν δέ γε* M[d] Br || 13 *τεθραμμένην μὲν εἰς* Xen. | *κεκαλλωπισμένην δὲ* M (teste Loewio) Br Xen.: *κεκαλλωπισμένην* A || 14 *λευκοτέραν τε* (*τὲ* M[d]) M[d] Br Xen.: *λευκοτέραν* A || 17 *ἐξ ἧς* (*ἐξῆς* M) *ἂν* etiam A, fallitur Gaisford | *ἡ ὥρα* M[d] A Br: *ὥρα* libri Xenophontei || 18 *ἐπισκοπεῖν* A Br Xen.: *ἐπισκοπεῖσθαι* M[d]

τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν. ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δὲ ἑτέραν φθάσαι βουλομένην προσδραμεῖν τῷ Ἡρακλεῖ καὶ εἰπεῖν· Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον τραπῇς· ἐὰν οὖν ἐμὲ φίλην ποιησάμενος, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥάστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσῃ, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ. πρῶτον μὲν γὰρ οὐ πολέμων οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος † διέσῃ τί ἂν κεχαρισμένον ἢ σῖτον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ ἀκούσας τερφθείης, ἢ τίνων ὀσφραινόμενος ἢ ἁπτόμενος, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν απονώτατα τούτων πάντων τυγχάνοις. ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι, ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσῃ, οὐδενὸς ἀπεχόμενος ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ συνοῦσιν ἐξουσίαν ἐγὼ παρέχω. καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, Ὦ γύναι, ἔφη, ὄνομα δέ

1 ἑαυτῆς Md Br Xen.: αὐτῆς A ‖ 5 τραπῇς libri Stobaei: τράπῃ Xen. etiam Stobaeo hoc dederim coll. p. 164, 8. 166, 6 | ἐὰν οὖν Md Br Xen.: ἐὰν A ‖ 6 ποιησάμενος Md A Br Xenophontis libri non nulli: ποιήσῃ Xen. | ἐπὶ τὴν ἡδίστην τὲ (τε Xen.) Md Br Xen.: ἐπὶ θ' ἡδίστην A; delendum esse ἐπὶ vidit Hirschig Philol. IV p. 363 ‖ 10 διέσῃ Md A Br δεήσῃ aut διέσῃ libri Xen.; διοίσει Xenophonti reddendum esse perspexit L. Dindorf | τί ἂν Md Br Xen.: τι ἂν A | σιτίον reponunt in Xenophonte cum Petro Victorio ‖ 11 ἢ τί ἂν Md Br Xen.: ἤ τι ἂν A | ἢ ἀκούσας Md A Br: ἢ τί ἀκούσας libri Xenophontis | τερφθείης, ἢ Xen.: τερφθήσῃ Md A Br | τίνων Md A (sic) Br libri Xenophontis; τίνων ἂν in Xenophonte recte Cobet n. l. p. 693 ‖ 12 ἁπτόμενος Md A Br: ἁπτόμενος ἡσθείης Xen. | τίσι δὲ Md Br Xen.: τί δὲ A ‖ 13 μάλιστ' ἂν Xen.: μάλιστα Md A Br | εὐφρανθείης. καὶ τὰ ἑξῆς Br omittens v. καὶ πῶς ἂν μαλακώτατα — 20 ἐγὼ παρέχω ‖ 15 σπάνεως Xen.: σπανίως Md A ‖ 16 ἐπὶ τὸ Xen.: ἐπὶ τὸν Md A ‖ 19 ἢ τί κερδάναι M | 20 συνοῦσιν Md A fallitur Gaisford ‖ 21 ὦ γύναι (γῦναι Md) ἔφη Md Br Xen.: ἔφη ὦ γύναι A

σοι τί ἐστιν; ἡ δέ· Οἱ μὲν ἐμοὶ φίλοι καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι ὀνομάζουσι Κακίαν. καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· Καὶ ἐγὼ ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα, ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἀγαθὸν ἐργάτην γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ' ᾗπερ οἱ θεοὶ διέθεσαν τὰ ὄντα διηγήσομαι μετὰ ἀληθείας. τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας οἱ θεοὶ διδόασιν ἀνθρώποις, ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν, εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον, εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον, εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον καὶ ὅπως δεῖ αὐταῖς χρῆσθαι ἀσκητέον· εἰ δὲ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον σὺν

1 φίλοι, ἔφη, καλοῦσι scripserim e Xen. ‖ 4 γεννήσαντά σε Md ‖ 9 φανῆναι Md Br Xen.: φανεῖναι A | ἐξαπατήσω Md Br Xen.: ἀπατήσω A ‖ 10 οἱ θεοὶ Md A Br: θεοὶ libri Xen. ‖ 11 μετ' ἀληθείας Xen. ‖ 13 ἀλλ' εἴτε A Xen.: ἀλλὰ εἴτε Md Br | ἵλεως Md Br Xen.: ἵλεω A ‖ 17 ἀξιοῖς Md Br Xen.: ἄξιος A ‖ 18 εἴτε γῆν A Xen.: εἰ τὴν γῆν Md Br ‖ 19 ἀφθόνους Md A Xen.: ἀφθόνως Br ‖ 21 ἐπιμελητέον. καὶ τὰ ἑξῆς Br omittens v. εἴτε διὰ πολέμου — p. 167, 2 καὶ ἱδρῶτι | ὁρμᾷς A Xen.: ὁρμαῖς Md ‖ 23 αὐτάς τε (sic) A Xen.: αὐτὸς τὲ Md: τάς τε operarius Gaisfordi, inde Meineke ‖ 24 δεῖ αὐταῖς Md A: αὐταῖς δεῖ Xen. ‖ 25 εἰ δὲ Md A: εἰ δὲ καὶ Xen. ‖ 26 σὺν secludit L. Dindorf

πόνοις καὶ ἱδρῶτι. καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν, ὥς φησι Πρόδικος, Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε. καὶ ἡ Ἀρετὴ εἶπεν, Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις ἢ τί ἡδὺ οἶσθα μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥ τις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι πάντων ἐμπίμπλασαι, πρὶν μὲν πεινῆν ἐσθίουσα, πρὶν δὲ διψῆν πίνουσα· ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη, ἵνα δὲ ἡδέως πίῃς, οἴνους τε πολυτελεῖς παρασκευάζῃ καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς, ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακάς, ἀλλὰ καὶ τὰς κλίνας καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζεις· οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ τι ποιήσεις, ὕπνου ἐπιθυμεῖς. τὰ δ' ἀφροδίσια πρὸ τοῦ δεῖσθαι ἀναγκάζεις πάντα μηχανωμένη καὶ γυναιξὶ τοῖς ἀνδράσι χρωμένη· οὕτω γὰρ παιδεύεις τοὺς ἑαυτῆς φίλους, τῆς μὲν νυκτὸς ὑβρίζουσα, τῆς δὲ ἡμέρας τὸ χρησιμώτατον κατακοιμί-

---

1 καὶ ἡ κακία ὑπολαβοῦσα εἶπεν A Xen.: καὶ τὴν κακίαν ὑπολαβοῦσαν εἰπεῖν M^d Br; nescio igitur an scripserit Stobaeus καὶ τὴν Κακίαν ὑπολαβοῦσαν εἰπεῖν ⟨οὕτ⟩ως φησὶ Πρόδικος, nisi ipsum fortasse ὥς prave interpretatus est οὕτως ‖ 3 μακρὰν M^d Br Xen.: μακρὴν A | σοι αὕτη M^d A (sic) Xen.: αὕτη Br ‖ 5 ὦ τλῆμον — 15 ταῖς κλίναις παρασκευάζῃ affert Clemens Al. strom. II 20 p. 485 P. vol. II p. 215, 12 Dind. ubi legitur ἀγαθὸν οἶσθα ἢ τί καλὸν σκοπεῖς, ἥτις omissis v. ἀλλὰ — ἐμπίπλασαι ‖ 8 ἐμπίμπλασαι L. Dindorf: ἐνπίνπλασαι M^d ἐμπίπλασαι A Br libri Xen. ‖ 9 καὶ ἵνα μὲν Clem. ‖ 10 ὀψοποιίας Tillmanns misc. cr. p. 9 ‖ 11 πίῃς (vel -ης) M^d A Br: πίνης libri Xenophontis Clem. | παρασκευάζῃ M^d A^1 (litterae H alteram hastam refinxit A^2) Br libri Xenophontis Clem.: παρασκευάζει Xen. ‖ 12 καθυπνώσῃς] κατακοιμηθῇς Clem. ‖ 13 τὰς στρωμνὰς μαλακὰς] τὰς κλίνας μαλθακὰς Clem. | τὰς κλίνας καὶ om. Clem. ‖ 14 παρασκευάζῃ Clem., unde παρασκευάζει scribunt ap. Xen. ‖ 15 ποιήσεις M^d A Br: ποιεῖς libri Xen.; ποιῇς Castalio ‖ 16 ἐπιθυμεῖς· καὶ τὰ ἑξῆς Br omissis v. τὰ δὲ ἀφροδίσια — p. 168, 14 ἀποθέμενοι | δέεσθαι Xenophontis libri haud pauci ‖ 18 οὕτω M^d Xen.: οὕτως A | ἑαυτῆς M^d A ut Xenophontis libri aliquot: σεαυτῆς Xen.

ζουσα· ἀθάνατος δὲ οὖσα ἐκ θεῶν μὲν ἀπέῤῥιψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ· τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ⟨ἀθέατος⟩· οὐδὲν γὰρ πώποτε σεαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ' ἄν σοι λεγούσῃ ⟨τι⟩ πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἱ νέοι μὲν ὄντες τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γενόμενοι ταῖς ψυχαῖς ἀνόητοι, ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος τρεφόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες, τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι, τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι. ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον οὔτε ἀνθρώπειον χωρὶς ἐμοῦ γίγνεται. τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις οἷς προσήκει, ἀγαπητὴ μὲν γὰρ συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτειρα τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων. ἔστι δὲ τοῖς ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις, ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν, ὕπνος δὲ αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις, καὶ οὔτε ἀπολιπόντες αὐτὸν ἄχθονται οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ

---

3 σεαυτῆς etiam A, fallitur Gaisford ‖ 4 ἀθέατος addidi e Xen. | οὐδὲν γὰρ πώποτε M[d] Xen.: οὐδέποτε γὰρ A ‖ 6 τι addidi e Xen. ‖ 8 ἀδύνατοι εἰσὶν M ‖ 10 φερόμενοι Ruhnkenius ‖ 12 βαρυνόμενοι Xen.: παροινούμενοι M[d]A ‖ 16 ἀνθρώπειον M[d]Br: ἀνθρώπινον A libri Xen. | οὐδέν addi iubent sive post καλὸν sive post γίγνεται ‖ 17 παρὰ etiam ante ἀνθρ. M[d] Br | προσήκω recte Schneider ‖ 19 παραστάτις M[d] Br Xen.: παραστάτης A ‖ 20 συλλήπτειρα M[d]A Br: συλλήπτρια Xen. ‖ 21 post ἔργων addit ἀρίστη δὲ φιλίας κοινωνός Xen. | τοῖς μὲν ἐμοῖς Xen. ‖ 23 αὐτῶν M[d] Br Xen.: αὐτὸν A ‖ 24 ἀπολιπόντες M[d]A Br: ἀπολείποντες Xen. ‖ 25 μεθίασι (-σιν M[d]) M[d] Br

δέοντα πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται, καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. ὅταν δὲ δὴ ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κτήσασθαι. οὕτω πως διοικεῖ Πρόδικος τὴν ὑπ' Ἀρετῆς Ἡρακλέους παίδευσιν.

206 (1, 102 Mein.) Ξενοφῶντος Ἀπομνημονευμάτων γ' (III 9, 14—15).

Ἐρομένου δέ τινος αὐτὸν τί δοκοίη αὐτῷ κράτιστον ἀνδρὶ ἐπιτήδευμα εἶναι, ἀπεκρίνατο· Εὐπραξία. ἐρομένου δὲ πάλιν, εἰ καὶ τὴν εὐτυχίαν ἐπιτήδευμα νομίζοι εἶναι· Πᾶν μὲν οὖν τοὐναντίον ἔγωγ', ἔφη, πρᾶξιν καὶ τύχην ἡγοῦμαι εἶναι· τὸ μὲν γὰρ μὴ ζητοῦντα ἐπιτυχεῖν τινι τῶν δεόντων εὐτυχίαν οἴομαι εἶναι, τὸ δὲ μαθόντα τι

---

1 *καὶ οἱ μὲν νέοι* — 4 *πράττοντες* om. Br ‖ 5 *θεοῖς ὄντες* A Xen.: *ὄντες θεοῖς* M^d Br ‖ 6 *πατρίσιν* (-*ῖσιν* M^d) M^d Br Xen.: *πρασῖν* (ι superscr.) corr. A[1] | *ὅταν* (*ὅτ' ἂν* M^d) *δὲ δὴ* M^d Br: *ὅταν δὲ* A Xen. ‖ 8 *τοκέων* M^d A Br Xen.: *πατερῶν* (voluit *πατέρων*) temere Gaisford ‖ 9 *Ἡράκλεις* delet Cobet n. l. p. 693 | *διαπονησαμένῳ* (vel -*ω*) A Br Xen.: *διαπονησαμένων* M^d | *μακαριστοτάτην* Br Xen. ...... *στοτάτην* (prioribus syllabis resectis ut *τ* in v. *τοκέων*) M^d: *μακαρίαν* A ‖ 10 *κτήσασθαι* M^d A Br: *κεκτῆσθαι* Xen. | *πῶς* libri Stobaei | *διοικεῖ* M^d A Br adstipulante Cobeto l. c.: *διώκει* libri Xenophontis ‖ 12 ecl. cum lemm. hab. MA ‖ 15 *εὐπραξία* (ut coniecit Cobet n. l. p. 701) M^d: *εὐπραξίαν* A libri Xenophontis ‖ 16 *νομίζοι* Xen., inde Gesn.[2] p. 29: *νομίζει* M^d A ‖ 17 *πᾶν* e Xen. Gesn.[2], inde vulg.: *πάνυ* M^d A | *πρᾶξιν καὶ τύχην* M^d A: *τύχην καὶ πρᾶξιν* e Xen. Gesn.[2], inde vulg. ‖ 18 *ἡγοῦμαι εἶναι* M^d A: *ἡγοῦμαι* Xen., inde Gesn.[2] ‖ 19 *εὐτυχίαν* A Xen.: *εὐτυχία* M teste Loewio | *οἴομαι* (*οἶμαι* Xen.) temere om. Gesn.[2] (ut mox *καὶ μελετήσαντα*), inde vulg. | *μαθόντα τὶ* (*τί* M^d) *καὶ μελετήσαντα* M^d A: *μαθόντα τε καὶ μελετήσαντά τι* Xen.

καὶ μελετήσαντα εὖ ποιεῖν εὐπραξίαν νομίζω, καὶ οἱ τοῦτο ἐπιτηδεύοντες δοκοῦσί μοι εὖ πράττειν. καὶ ἀρίστους δὲ καὶ θεοφιλεστάτους ἔφη εἶναι ἐν μὲν γεωργίᾳ τοὺς τὰ γεωργικὰ εὖ πράττοντας, ἐν δ' ἰατρείᾳ τοὺς τὰ ἰατρικά, ἐν δὲ πολιτείᾳ τοὺς τὰ πολιτικά· τὸν δὲ μηδὲν εὖ πράττοντα οὔτε χρήσιμον οὐδὲν ἔφη εἶναι οὔτε θεοφιλῆ.

207 (1, 103 Mein.) *Τοῦ αὐτοῦ ἐν δ' Ἀπομνημονευμάτων* (IV 1).

Οὕτω δὲ Σωκράτης ἦν ἐν παντὶ πράγματι καὶ πάντα τρόπον ὠφέλιμος, ὥστε σκοπουμένῳ τῷ καὶ μετρίως αἰσθανομένῳ φανερὸν εἶναι, διότι οὐδὲν ὠφελιμώτερον ἦν τοῦ Σωκράτει συνεῖναι. καὶ γὰρ παίζων οὐδὲν ἧττον ἢ σπουδάζων ἐλυσιτέλει τοῖς συνδιατρίβουσι. πολλάκις γὰρ ἔφη μὲν ἄν τινος ἐρᾶν, φανερὸς δ' ἦν οὐ τῶν τὰ σώματα πρὸς ὥραν ἀλλὰ τῶν τὰς ψυχὰς πρὸς ἀρετὴν εὖ πεφυκότων ἐφιέμενος. ἐτεκμαίρετο δὲ τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχύτερον μανθάνειν οἷς προσέχοιεν καὶ μνημο-

---

1 *εὖ ποιεῖν* A Xen.: *εὐποιεῖν* M[d] ‖ 2 *εὖ πράττειν* M[d] Xen.: *εὐπραγεῖν καὶ εὖ πράττειν* A | 5 *τὰ πολιτικά*] *τα π* in ras. suppl. A m. rec. ‖ 8 ecl. cum lemm. hab. MA (post ecl. 1, 102 Mein.) Br (post ecl. 1, 101 Mein. sed om. 1, 102); pro lemmate *τοῦ αὐτοῦ* nihil amplius Br | 10 *οὕτω δὲ* — 17 *πεφυκότων ἐφιέμενος* om. Br ‖ 10 *παν* in v. *παντὶ* in ras. suppl. A m. rec. ‖ 11 *σκοπουμένω τῶ καὶ μετρίως* A: *τῶ σκοπουμένω τε καὶ μετρίως* M[d]; *τῷ σκοπουμένῳ τοῦτο καὶ εἰ μετρίως* e Xen. Gesn.[2], inde vulg. ‖ 12 *αἰσθανομένῳ* e Xen. Gesn.[2]: *αἰσθομένω* M[d]A | *φανερὸν εἶναι διότι* (*ὅτι* Xen.) *οὐδὲν ὠφελιμώτερον ἦν τοῦ σωκράτει συνεῖναι* M Xen.: *φανερὸν εἶναι τοῦ σωκράτους ὄν . ιν .* (α supra; una litt. erasa) A ‖ 13 post *συνεῖναι* e Xenophonte addit *καὶ μετ' ἐκείνου διατρίβειν ὁπουοῦν καὶ ἐν ὁτῳοῦν πράγματι· ἐπεὶ καὶ τὸ ἐκείνου μεμνῆσθαι μὴ παρόντος οὐ μικρὰ ὠφελεῖ* (debuit *ὠφέλει*) *τοὺς εἰωθότας τε αὐτῷ συνεῖναι καὶ ἀποδεχομένους ἐκεῖνον* Gesn.[2], fortasse recte: om. M[d]A ‖ 14 *συνδιατρίβουσι* (-*σιν* M[d]) M[d] Xen.: *διατρίβουσι* A | 15 *δὲ* M[d] ‖ 17 *δὲ σωκράτης* Br | 18 *ταχύτερον* M[d]A Br: *ταχύ τε* e Xen. Gesn.[2], inde vulg. | *προσέχουσι* temere Gesn.[2], inde vulg.

νεύειν ἃ μάθοιεν καὶ ἐπιθυμεῖν τῶν μαθημάτων πάντων δι' ὧν ἔστιν οἰκίαν τε καλῶς οἰκεῖν καὶ πόλιν καὶ τὸ ὅλον ἀνθρώποις τε καὶ τοῖς ἀνθρωπίνοις πράγμασιν εὖ χρῆσθαι· τοὺς γὰρ τοιούτους ἡγεῖτο παιδευθέντας οὐκ ἂν μόνον αὐτούς τε εὐδαίμονας εἶναι καὶ τοὺς ἑαυτῶν οἴκους καλῶς οἰκεῖν, ἀλλὰ καὶ ἄλλους ἀνθρώπους καὶ πόλεις δύνασθαι εὐδαίμονας ποιεῖν. οὐ τὸν αὐτὸν δὲ τρόπον ἐπὶ πάντας ᾔει, ἀλλὰ τοὺς μὲν οἰομένους φύσει ἀγαθοὺς εἶναι μαθήσεως δὲ καταφρονοῦντας ἐδίδασκεν ὅτι αἱ ἄρισται δοκοῦσαι εἶναι φύσεις μάλιστα παιδείας δέονται, ἐπιδεικνύων τῶν τε ἵππων τοὺς εὐφυεστάτους, θυμοειδεῖς τε καὶ σφοδροὺς ὄντας, εἰ μὲν ἐκ νέων δαμασθεῖεν, εὐχρηστοτάτους καὶ ἀρίστους γιγνομένους, εἰ δὲ ἀδάμαστοι γένοιντο, δυσκαθεκτοτάτους καὶ φαυλοτάτους· καὶ τῶν κυνῶν τῶν εὐφυεστάτων, φιλοπόνων τε οὐσῶν καὶ ἐπιθετικῶν τοῖς θηρίοις, τὰς μὲν καλῶς ἀχθείσας ἀρίστας γίγνεσθαι πρὸς τὰς θήρας καὶ χρησιμωτάτας, ἀναγώγους δὲ γιγνομένας ματαίους τε καὶ μανιώδεις καὶ δυσπειθεστάτας. ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων τοὺς εὐφυεστάτους, ἐρρωμενεστάτους τε ταῖς ψυχαῖς ὄντας καὶ ἐξεργαστικωτάτους ὧν ἂν ἐγχειρῶσι, παιδευθέντας μὲν καὶ μαθόντας ἃ δεῖ πράττειν, ἀρίστους τε καὶ ὠφελιμωτάτους γίγνεσθαι· πλεῖστα γὰρ καὶ μέγιστα ἀγαθὰ ἐξεργάζεσθαι· ἀπαιδεύτους δὲ καὶ ἀμαθεῖς γενο-

---

1 ἃ Md A Br: ἃ ἂν e Xen. Gesn.[2], inde vulg. | πάντων A Xen.: τούτων Md Br; an τούτων πάντων Stob.? ‖ 8 ὅλως (ὅλων operarius Gesn.[2]) temere Gesn.[2], inde vulg. ‖ 5 καὶ — 6 οἰκεῖν temere om. Gesn.[2], inde vulg. | ἑαυτῶν Xen.: αὐτῶν Md A (sic) Br ‖ 7 v. οὐ τὸν αὐτὸν usque ad eclogae finem temere om. Gesn.[2], inde vulg.: ex A primum addidit Gaisford ‖ 8 ᾔει Br Xen.: εἴη Md A ‖ 10 δοκοῦσαι εἶναι Br Xen.: δοκοῦσιν εἶναι Md δοκοῦσαι A; voluitne igitur αἱ ἄρ. δοκοῦσιν εἶναι φ.? ‖ 12 θυμοειδεῖς τε Md Br Xen.: θυμοειδὴς A ‖ 14 ἀδάμαστοι Md Br Xen.: ἀγύμναστοι A ‖ 17 γίγνεσθαι Md Br Xen.: γίνεσθαι A ‖ 18 γιγνομένας Md Br Xen.: γινομένους A; γενομένας Schneider ‖ 19 δυσπειθεστάτας Md Br Xen.: δυσπαθεστάτας A ‖ 21 ἐγχειρῶσιν Md ‖ 23 γίγνεσθαι Md Br Xen.: γίνεσθαι A ‖ 24 ἐξερ-

μένους κακίστους τε καὶ βλαβερωτάτους γίγνεσθαι· κρίνειν γὰρ οὐκ ἐπισταμένους ἃ δεῖ πράττειν, πολλάκις πονηροῖς ἐπιχειρεῖν πράγμασιν, μεγαλείους δὲ καὶ σφοδροὺς ὄντας δυσκαθέκτους τε καὶ δυσαποτρέπτους εἶναι· διὸ πλεῖστά τε καὶ μέγιστα κακὰ ἐργάζεσθαι. τοὺς δ' ἐπὶ πλούτῳ μέγα φρονοῦντας καὶ νομίζοντας οὐδὲν προσδεῖσθαι παιδείας, ἐξαρκέσειν δὲ σφίσι τὸν πλοῦτον οἰομένους πρὸς τὸ διαπράττεσθαι ὅ τι ἂν βούλωνται καὶ τιμᾶσθαι ὑπὸ τῶν ἀνθρώπων, ἐφρένου λέγων ὅτι μῶρος μὲν εἴη, εἴ τις οἴεται μὴ μαθὼν τά τε ὠφέλιμα καὶ τὰ βλαβερὰ τῶν πραγμάτων διαγνώσεσθαι, μῶρος δέ, εἴ τις μὴ διαγιγνώσκων μὲν ταῦτα, διὰ δὲ τὸν πλοῦτον ὅ τι ἂν βούληται ποριζόμενος οἴεται δυνήσεσθαι τὰ συμφέροντα πράττειν, ἠλίθιος δέ, εἴ τις μὴ δυνάμενος τὰ συμφέροντα πράττειν εὖ τε πράττειν οἴεται καὶ τὰ πρὸς τὸν βίον αὐτῷ ἱκανῶς ἢ καλῶς παρεσκευάσθαι, ἠλίθιος δὲ καί, εἴ τις οἴεται διὰ τὸν πλοῦτον μηδὲν ἐπιστάμενος δόξειν τι ἀγαθὸς εἶναι ἢ μηδὲν ἀγαθὸς εἶναι δοκῶν εὐδοκιμήσειν.

γάζεσθαι M^dA Br: *ἐργάζεσθαι* Xen. | *ἀμαθεῖς γενομένους* M^d Br Xen.: *ἀμαθὴς γινομένους* (sic) A

1 *γίγνεσθαι* M^d Br Xen.: *γίνεσθαι* A ‖ **3** *μεγαλείους δὲ* — **5** *ἐργάζεσθαι* om. Br | *σφοδροὺς* M^d Xen.: *σφοδρὰ* A ‖ **4** *δυσαποτρέπτους εἶναι* M^d Xen.: *δυσαποτρίπτους εἶναι* (sic) A ‖ **5** *τε* om. Xen. | *δὲ* A ‖ **7** *σφίσιν* M^d ‖ **8** *διαπράττεσθαι* M^dA Br: *διαπράττεσθαί τε* Xen. | *ὅ τι ἂν* M^d A Xen.: *ἃ* Br | *βούλονται* Br ‖ **9** *ἐφρένου* Xen.: *εὐφραίνου* M^d *ἐφραίνου* ex *εὐφραίνου* corr. A m. rec. *ἀφρένου* Br ‖ **10** *μὴ* Br Xen.: *καὶ μὴ* M^d A Xen. | *ὠφέλιμα* A Br Xen.: *ὠφέλημα* M^d ‖ **11** *διαγνώσεσθαι* etiam A, fallitur Gaisford | *μωρὸς* A Br libri Xen. ut supra: *μωροὺς* M^d ‖ **12** *διαγιγνώσκων* M^d A Xen.: *διαγινώσκων* Br | *διὰ δὲ* (ut Br, si fides est collatoris silentio) ex Xen. tacite Meineke: *διά τε* MA ‖ **15** *εὖ τε* (vel *τὲ*) M^d A Br: *οὔτε* libri Xenophontis | *οἴεται*] post prius *ι* aliquid erasum in Br | *καὶ τὰ* M^d A Xen.: *καὶ* Br ‖ **16** *ἱκανῶς ἢ καλῶς* M^d A Br: *ἢ καλῶς ἢ ἱκανῶς* libri Xenophontis; ‘manifestum est Stobaei scripturam *ἱκανῶς ἢ καλῶς* sic esse corrigendam ut deleatur dittographia *ἢ καλῶς*’ L. Dindorf ‖ **18** sq. *ἢ* — *εὐδοκιμήσειν* Xen.: *εἰ* — *εὐδοκίμησεν* (*εὐδοκίμησ*ͤ A^1 *εὐδοκιμήσειν* A m. inc.) M^d A Br; *ἢ* — *εὐδοκίμησεν* tacite Meineke

[redacted]

208 (1, 92 Mein.) *Πλάτωνος Πολιτείας ε΄* (p. 457 B).

Κάλλιστα γὰρ δὴ τοῦτο καὶ λέγεται καὶ λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν.

209 (1, 84 Mein.) *Μουσωνίου ἐκ τοῦ Περὶ σκέπης* (rel. p. 199 Peerlkamp.).

Ταῦτα μὲν περὶ τροφῆς εἶπεν. ἠξίου δὲ καὶ σκέπην τὴν σώφρονα τῷ σώματι ζητεῖν, οὐ τὴν πολυτελῆ καὶ περιττήν· εὐθὺς γὰρ ἐσθῆτι καὶ ὑποδέσει τὸν αὐτὸν τρόπον ἔφη εἶναι χρηστέον, ὅνπερ πανοπλίᾳ, φυλακῆς ἕνεκεν τοῦ σώματος, ἀλλ' οὐκ ἐπιδείξεως. ὥσπερ οὖν ὅπλα κάλλιστα τὰ ἰσχυρότατα καὶ σῴζειν μάλιστα δυνάμενα τὸν χρώμενον, οὐ τὰ περίβλεπτα καὶ λαμπρά, οὕτως ἀμπεχόνη καὶ ὑπόδεσις ἡ χρησιμωτάτη τῷ σώματι κρατίστη καὶ οὐχ ἡ δυναμένη τὰς τῶν ἀνοήτων ὄψεις ἐπιστρέφειν. δεῖ γὰρ τὴν σκέπην ἑαυτῆς κρεῖττον ἀποφαίνειν τὸ σκεπόμενον καὶ ἰσχυρότερον, ἀλλ' οὐκ ἀσθενέστερόν τε καὶ χεῖρον. οἱ μὲν οὖν λειότητά τε καὶ ἁπαλότητα σαρκὸς

1 ecl. cum lemm. hab. MA (post ecl. 1, 103 Mein.). legitur ecloga etiam supra 83 p. 34, 12 sed paulo amplior ‖ 2 *κάλλιστα* hic et supra MA Plat.: *κάλλιστον* supra Tr. ‖ 4 ecl. cum lemm. hab. MA (post ecl. 1, 92 Mein.) Br (post ecl. 1, 103 Mein. sed om. 1, 92); *μουσουνίου* (compend.) nihil amplius Br. eclogas *Μουσωνίου* nomine inscriptas unde hauserit Stobaeus incertum videtur Wendlando quaest. Muson. p. 22 sq., mihi vix dubium, quin sententiis quibusdam minoris ambitus exceptis omnes ille debeat uni Lucio isti quem commemoravit et in primo libro (cf. Elter de cod. Phot. p. 46) et II 15, 46 p. 193, 3 W. ‖ 6 *μὲν* om. A, ubi v. *ταῦτα — εἶπεν* uncinis inclusa sunt signo + supra lin. addito ‖ 7 *τὴν σώφρονα* Peerlkamp p. 334 recte monens *σώφρων* saepe de rebus dici, vid. Iacobs lect. Stob. p. 39: *τὸν σώφρονα* MA Br ‖ 9 *ὅνπερ*] *ὥσπερ* ut videtur A | *πανοπλίαν* M[1d] | malim *ἕνεκα*, certe *ἕνεκεν* alibi non legi videtur in Musonianis Stobaei ‖ 11 *ἰσχυρώτατα* M[d] ‖ 13 *ὑπόδησις* A ‖ 15 *τὴν σκέπην* (ut coniecit Peerlkamp) M[d] A Br: *τῆς σκέπης* tacite scripserat Gesn.[2] p. 17, inde vulg. | *ἑαυτῆς* (vel *αὑτῆς*) scripsi: *αὐτῆς* M[d] A Br; *αὐτο* Iacobs cf. Clemens Alex. paed. II 10 p. 239 P. *δεῖ δὲ τὴν σκέπην, οἶμαι, αὐτὸ αὐτοῦ* (*αὐτῆς* Potter) *κρεῖττον ἀποφαίνειν τὸ σκεπόμενον*, ubi *δεῖ δὲ τὸ σκέπον, οἶμαι, αὐτὸ ἑαυτοῦ κρεῖττον κτέ.* coniecit Cobet. aberravit Wendland quaest. Mus. p. 19. 28 ‖ 16 *καὶ ἰσχυρότερον κτέ.* quae absunt a Clemente minus placere sensit Wendland l. c. p. 28 ‖ 17 *χείρονα* A

διὰ τῶν σκεπασμάτων μηχανώμενοι χείρω τὰ σώματα ποιοῦσιν, εἴγε τὸ τεθρυμμένον σῶμα καὶ μαλακὸν πολὺ κάκιον τοῦ σκληροῦ τε καὶ διαπεπονημένου ἐστίν· οἱ δὲ ῥωννύντες καὶ κρατύνοντες τῇ σκέπῃ, οὗτοι τὰ σκεπόμενα μόνοι ὠφελοῦσιν. διὰ τοῦτο οὐδαμῶς καλὸν οὔτε ἐσθῆσι πολλαῖς κατασκέπειν τὸ σῶμα οὔτε ταινίαις κατειλεῖν οὔτε χεῖράς τε καὶ πόδας περιδέσει πίλων ἢ ὑφασμάτων τινῶν μαλακύνειν, τούς γε μὴ νοσοῦντας· οὐδ' ὅλως εἶναι ἀγεύστους καλὸν ψύχους τε καὶ θάλπους, ἀλλὰ ῥιγοῦν χρὴ τὰ μέτρια χειμῶνος καὶ ἡλιοῦσθαι θέρους καὶ σκιατροφεῖσθαι ἥκιστα. καὶ τὸ μὲν ἑνὶ χρῆσθαι χιτῶνι τοῦ δεῖσθαι δυοῖν προτιμητέον, τοῦ δ' ἑνὶ χρῆσθαι χιτῶνι τὸ μηδενί, ἀλλὰ ἱματίῳ μόνον. καὶ τοῦ γε ὑποδεδέσθαι τὸ ἀνυποδετεῖν τῷ δυναμένῳ κρεῖττον· κινδυνεύει γὰρ τὸ μὲν ὑποδεδέσθαι τῷ δεδέσθαι ἐγγὺς εἶναι, ἡ δ' ἀνυποδησία πολλὴν εὐλυσίαν τινὰ καὶ εὐκολίαν παρέχει τοῖς ποσίν, ὅταν ἠσκημένοι ὦσιν. ὅθεν καὶ τοὺς ἡμεροδρόμους ὁρᾶν ἔστιν οὐ χρωμένους ὑποδήμασιν ἐν ταῖς ὁδοῖς καὶ τῶν ἀθλούντων τοὺς δρομεῖς οὐκ ἂν δυναμένους σῴζειν τὸ τάχος, εἰ δέοι τρέχειν αὐτοὺς ἐν

---

3 *διαπεπονημένου ἐστίν*] concursionem vocalium non nimis anxie evitat discipulus Musonii paulo certe liberiorem secutus rationem quam ex. gr. Galenus de quo nuper egit I. Marquardt. uterque admittit hiatum ante formas verbi *εἶναι*, sic infra *ἠσκημένοι ὦσιν*, flor. 6, 61 Mein. *ἀνθρώπου ἐστί*, ib. *νόμιμά ἐστιν*, ib. *κἂν ἐν γάμῳ ᾖ*, ut omittam alia ‖ 5 *μόνα* A | *διὰ τοῦτο κτέ.*] respexit Musonius Platonem leg. XII p. 942 D, monuit Valckenaer ad Herodot. III 12 ‖ 6 *ἐσθῆσΐ* sed *ῖ* e corr., post *ϊ* duae litt. erasae (fuerat *ἐσθησεσι*) A: *ἐσθήσεσι* Md Br | 9 *ψύχους* (sic ut tacite corr. Gesn.², inde vulg.) A Br: *ψύχασ* Md | 10 *ἡλιοῦσθαι* A Br: *ἡλιεῦσθαι* Md, inde vulg. ‖ 11 *μὲν ἐν ἑνὶ* A | 13 *χρῆσθαι χιτῶνι* om. Br ‖ 15 Clemens Alex. paed. II 11 p. 240 P. *καὶ γάρ πως ἐγγὺς τὸ ὑποδεδέσθαι τῷ δεδέσθαι.* cf. Dio Chrysost. or. VI p. 203 R. | *τῷ δεδ.*] dativus legitur etiam flor. vol. III p. 75, 8 Mein., sed genetivus supra II 31, 125 p. 243, 4 W. | ante *ἐγγὺς* duodecim fere litterae erasae in M ‖ 16 *ἂν ὑποδησία* Md | *εὐλυσίαν* MdA Br; *ἀλυπίαν* oscitanter Gesn.² p. 18, inde vulg. ‖ 17 *παρέχει* Md A: *παρέχειν* Br | 20 *δέοι* Md A: *δέει* Br

ὑποδήμασιν. ἐπεὶ δὲ σκέπης ἕνεκα καὶ τὰς οἰκίας ποιούμεθα, φημὶ καὶ ταύτας δεῖν ποιεῖσθαι πρὸς τὸ τῆς χρείας ἀναγκαῖον, ὡς ἀπερύκειν μὲν κρύος, ἀπερύκειν δὲ θάλπους τὸ σφοδρόν, εἶναι δ' ἡλίου καὶ ἀνέμων ἐπικούρημα τοῖς δεομένοις. καθόλου δὲ ὅπερ ἂν παρέχοι σπήλαιον αὐτοφυές ἔχον μετρίαν ὑπόδυσιν ἀνθρώπῳ, τοῦτο χρὴ παρέχειν ἡμῖν τὴν οἰκίαν, τοσοῦτον εἴπερ ἄρα περιττεύουσαν, ὅσον καὶ ἀπόθεσιν τροφῆς ἀνθρωπίνης ἐπιτηδείαν ἔχειν. τί δ' αἱ περίστυλοι αὐλαί; τί δ' αἱ ποικίλαι χρίσεις; τί δ' αἱ χρυσόροφοι στέγαι; τί δ' αἱ πολυτέλειαι τῶν λίθων, τῶν μὲν χαμαὶ συνηρμοσμένων, τῶν δ' εἰς τοίχους ἐγκειμένων, ἐνίων καὶ πάνυ πόρρωθεν ἠγμένων [λίθων] καὶ δι' ἀναλωμάτων πλείστων; οὐ ταῦτα πάντα περιττὰ καὶ οὐκ ἀναγκαῖα ὧν τε χωρὶς καὶ ζῆν καὶ ὑγιαίνειν ἔστι, πραγματείαν δ' ἔχει πλείστην, καὶ διὰ χρημάτων γίνεται πολλῶν, ἀφ' ὧν ἄν τις ἐδυνήθη καὶ δημοσίᾳ καὶ ἰδίᾳ πολλοὺς ἀνθρώπους εὐεργετῆσαι; καί τοι πόσῳ μὲν εὐκλεέστερον τοῦ πολυτελῶς οἰκεῖν τὸ πολλοὺς

---

3 malim *κρύους* ‖ 4 *θάλπους* (sic ut coniecit Peerlkamp) M[d] A Br; *θάλπος* male Gesn.[2], inde vulg. | *ἡλίου*] *leg.* *ὑετοῦ* *ne bis idem dicat* Iacobs in ora exemplaris quod possedit Gesneriani ‖ 5 *παρέχῃ* Br | 7 *περιττεύουσαν* (ut coniecit Lorenz apud Iacobsium *Sokr.*[4] p. 282) A: *περιττεύουσα* M[d] Br ‖ 9 *δὲ αἱ ποικ.* libri ut videtur ‖ 10 *χρίσεις* (ut coniecit Gesn.[2] p. 18 mrg) Br: *χρήσεις* M[d] A; vide Beving *rem. crit.* p. 12 et quae monui ego mus. Rh. XLI p. 61 | *δ'* ni fallor in A: *δαὶ* M[d] *δὲ* Br | *χρυσόροφοι* Br: *χρυσόρροφοι* M[d] A. cf. Seneca ep. 114, 9 *ubi luxuriam late felicitas fudit, cultus primum corporum esse diligentior incipit. deinde supellectili laboratur. deinde in ipsas domos inpenditur cura, ut in laxitatem ruris excurrant, ut parietes advectis trans maria marmoribus fulgeant, ut tecta varientur auro, ut lacunaribus pavimentorum respondeat nitor* ‖ 12 *ἠγμένων* M[d] A *ἠμμένων* Br; nescio an *ἀνηγμένων* commendet concinnitas. eadem de causa infra (p. 176, l. 2) bis posuit *ἀναλίσκειν*, ubi semel Clemens | 13 *λίθων* secludendum esse perspexit Peerlkamp p. 342 ‖ 14 *τε* om. operarius Meinekii | *καὶ ὑγιαίνειν καὶ ζῆν* A ‖ 18 sqq. cf. Clemens Alex. paed. II 12 p. 243 P. *πόσῳ μὲν γὰρ εὐκλεέστερον τοῦ πολυτελῶς οἰκεῖν τὸ πολλοὺς εὐεργετεῖν; πόσῳ δὲ συνετώτερον* (*hoc melius quam quod discipulus Mus. praebet* Wendland quaest. Mus. p. 28)

εὐεργετεῖν; πόσῳ δὲ καλοκαγαθικώτερον τοῦ ἀναλίσκειν εἰς ξύλα καὶ λίθους τὸ εἰς ἀνθρώπους ἀναλίσκειν; πόσῳ δὲ ὠφελιμώτερον τοῦ περιβεβλῆσθαι μεγάλην οἰκίαν τὸ κεκτῆσθαι φίλους πολλούς; ὃ περιγίνεται τῷ προθύμως εὐεργετοῦντι. τί δ' ἂν ὄναιτό τις τηλικοῦτον ἀπ' οἰκίας μεγέθους τε καὶ κάλλους, ἡλίκον ἀπὸ τοῦ χαρίζεσθαι πόλει καὶ πολίταις ἐκ τῶν ἑαυτοῦ;

210 (1, 40 Mein.) *Δημοκρίτου* (fr. mor. 20 Mullach.).

Ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου συμμετρίῃ· τὰ δ' ἐλλείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλέει καὶ μεγάλας κινήσιας ἐμποιέειν τῇ ψυχῇ. αἱ δ' ἐκ μεγάλων διαστημάτων κινεόμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι. ἐπὶ τοῖσι δυνατοῖς ὧν δεῖ ἔχειν τὴν γνώμην καὶ τοῖσι παρεοῦσιν ἀρκέεσθαι τῶν μὲν ζηλουμένων καὶ θαυμαζομένων ὀλίγην μνήμην ἔχοντα καὶ τῇ διανοίῃ μὴ προσεδρεύοντα, τῶν δὲ ταλαιπωρεόντων τοὺς βίους θεωρέειν, ἐννοούμενον ἃ πάσχουσι κάρτα, ὅκως ἂν τὰ παρεόντα σοι καὶ ὑπάρχοντα μεγάλα καὶ ζηλωτὰ φαίνηται, καὶ μηκέτι πλεόνων

τοῦ εἰς λίθους καὶ χρυσίον τὸ εἰς ἀνθρώπους ἀναλίσκειν; πόσῳ δὲ ὠφελιμώτερον τῶν ἀψύχων κοσμίων τὸ φίλους κεκτῆσθαι κοσμίους; τίνα δ' ἂν ἀγροὶ τοσοῦτον ὅσον τὸ χαρίζεσθαι ὠφελήσειαν; | *τοῦ* (ante *πολυτ.*) libri nisi quod *τουτο* (sic) A

4 *ὃ περιγίνεται* M[d] Br: *ὅπερ γίνεται* A receperunt Gaisford et Meineke fortasse recte ‖ 5 *ὄναιτο* libri, sed *ὤνητο* vel *ὤνετο* A ‖ 8 ecl. cum lemm. hab. MA post ecl. 1, 84 Mein. imitando aliquam partem expressit Hipparchus Stobaei flor. 108, 81 Mein., ut perspexit Lortzing *über die eth. fragm. Demokr.* p. 28 sqq. minus recte iudicaverat Rose de Aristot. libr. ord. et auct. p. 10 ‖ 9 *γὰρ* suppl. M rubr. mrg ‖ 10 *δὲ λείποντα* M[d] A: corr. Hirschig ‖ 11 *φιλέει* Mullach: *φιλεῖ* M[d] A | *ἐμποιεῖν* A ‖ 12 *κινεόμεναι* Mullach: *κινούμεναι* M[d] A ‖ 13 *ψυχῶν* A | *τοῖς* M[d] A ‖ 14 *οὖν* M[d] A | *τοῖς* M[d] A ‖ 15 *ἀρκέσεσθαι* operarius Gesn.[2] p. 4, inde vulg. | *ζηλευμένων* malebat Meineke | *θαυμαζομένων* et infra (p. 177, 1) *θαυμάζων* M[d] A: *θωυμαζομένων* Mullach, Meineke. malim *θωμαζομένων* ‖ 16 *διανοία* (vel -ᾳ) libri: corr. Mullach ‖ 17 *ἐννοεύμενον* Mullach et Meineke | *ἃ* hic et infra (p. 177, 9) M[d] A: *τὰ* Mullach ‖ 18 *κακὰ* pro *κάρτα* ci. Iacobs animadv. in Stob. p. 215 ‖ 19 *πλεόνων* scripsi: *πλειόνων* libri; *πλεύνων* ci. Meineke

ἐπιθυμέοντι συμβαίνῃ κακοπαθέειν τῇ ψυχῇ. ὁ γὰρ θαυμάζων τοὺς ἔχοντας καὶ μακαριζομένους ὑπὸ τῶν ἄλλων ἀνθρώπων, καὶ τῇ μνήμῃ πᾶσαν ὥραν προσεδρεύων, αἰεὶ ἐπικαινουργέειν ἀναγκάζεται, καὶ ἐπιβάλλεσθαι δ' ἐπιθυμίῃν τοῦ τι πρήσσειν ἀνήκεστον ὧν νόμοι κωλύουσιν. διόπερ τὰ μὲν μὴ δίζησθαι χρεών, ἐπὶ δὲ τοῖς εὐθυμέεσθαι χρεὼν παραβάλλοντα τὸν ἑωυτοῦ βίον πρὸς τὸν τῶν φαυλότερον πρησσόντων καὶ μακαρίζειν ἑωυτὸν ἐνθυμεύμενον ἃ πάσχουσιν, ὁκόσῳ αὐτῶν βέλτιον πρήσσει τε καὶ διάγει. ταύτης γὰρ ἐχόμενος τῆς γνώμης εὐθυμότερόν τε διάξεις καὶ οὐκ ὀλίγας κῆρας ἐν τῷ βίῳ διώσεαι, φθόνον καὶ ζῆλον καὶ δυσμενίην.

---

1 *συμβαίνει* M[d] A: tacite corr. Gesn.², inde vulg.; *ξυμβαίνῃ* Mullach | malim *θωμάζων*, vide p. 176, 15 adn. ‖ 4 *αἰεὶ* Mullach: *ἀεὶ* M[d] A | *ἐπικαινουργεῖν* M[d] A: corr. Mullach ‖ 5 *ὧι* M[d] *ὧν* A: *τῶν οἱ* Meineke IV p. LI quod verum videtur; *ὃ* tacite scr. Gesn.², inde vulg. ‖ 6 *δίζεσθαι* M[d] A: corr. Müllach | *ἐπὶ δὲ τοῖς* M[d] A: *ἐπὶ τοῖς* (*τοῖσι* Mullach) *δὲ* Schow *ἐπὶ δὲ τοῖς παρεοῦσι* ci. Iacobs l. c. p. 216 ‖ 7 *παραβάλλοντα κτέ.*] cf. Hipparchus l. c. p. 48, 10 Mein. *καὶ ἀντιπαραβάλλοντες τὸν ἑωυτῶν βίον πρὸς τὸν τῶν πρασσομένων φαυλότερον* | *ἑαυτοῦ* M[d] A: corr. Burchard ‖ 8 *τῶν* om. A | *φαυλότερον* A et Hipp.: *φλαυρότερον* M[d] | *πρησόντων* M[d] *πρυσσόντων* A | *ἑαυτὸν* M[d] ‖ 9 *ἐνθυμευμενον* sine acc. M[d] *ἐνθυμεύμενος* (sic) A | *τὰ* pro *ἃ* Mullach, sed *ἃ πάσχουσιν* nescio an secludenda sint; *ἃ πάσχουσι ⟨καὶ⟩ ὅκως αὐτ.* proposuit Halm lect. Stob. p. 36 | *ὁκόσῳ* Wachsmuth: *ὅκως* libri. si genuina sunt v. *ἃ πάσχουσιν*, praestat fortasse *τὰ πάσχουσιν καὶ ὅσῳ* | *αὐτέων* M[d] A: corr. Cobet mnemos. IX p. 106 | *πρήσσει τε καὶ διάγει* (sic ut voluit Halm. l. s.) M[d]: *πρήσσῃ τε καὶ διάγῃ* A; malim *πρήσσεις τε καὶ διάγεις* collatis verbis extremis et p. 176, 18 ‖ 10 *ἐχόμενοι* M[d]. cf. Hipparchus l. c. p. 48, 12 *καὶ τὰ προσπίπτοντα ἀνθρώπινα νομίζοντες καὶ μὴ μόνοις συμβαίνοντα, εὐθυμότερον διάξομεν* ibid. 16 *πολλαὶ κῆρες κατὰ πάντα τὸν βίον πεφύκαντι*

CAPVT II.

ΠΕΡΙ ΚΑΚΙΑΣ.

1 *Δημητρίου* (fab. inc. fr. 2 com. II 2 p. 878).
Σφόδρ' εὐάλωτόν ἐστιν ἡ πονηρία·
εἰς γὰρ τὸ κέρδος μόνον ἀποβλέπουσ' ἀεὶ
ἀφρόνως ἅπαντα καὶ προπετῶς συμπείθεται.
2 *Ἀξιονίκου* (fab. inc. fr. 1 com. III p. 536).
Ὅταν δανείζῃ τὶς πονηρῷ χρήματα
ἀνήρ, δικαίως ἂν τόκον λύπας ἔχοι.
3 *Ἀντιφάνους* (fab. inc. fr. 60 com. III p. 153).

---

1 Caput *περὶ κακίας* exhibent MA, aliquam partem etiam Br et Mac. Chrys., omittunt quod semel moneo S (vide supra p. 1) Tr. titulum hab. Phot. MA Br Mac., praeter titulum numerum *β'* addunt MA Mac. genuinus eclogarum ordo, quae est discrepantia inter M codicem et A, certo hodie recuperari nequit. libri A dispositio quam exhibet fere Mac. (nisi quod hic ecl. 2, 13. 14 Mein. collocavit post 2, 15. 16 Mein.) et insigni loco confirmat Br (vide ad 2, 31 Mein.), cur propius abesse videatur ab archetypo exposui mus. Rh. XXXIX p. 522. sed etiam A a vero non numquam deerravit, nam Philemonis eclogae (2, 26. 27 Mein.) quas vicinas collocant tam Br quam M, disturbantur in A. malui igitur codicem M sequi ceterorum discrepantia diligenter adnotata. Gesneri errores et interpolationes illustravi mus. Rh. l. c. ‖ 3 ecl. hab. MA (in capitis initio) Br (post ecl. 2, 27 Mein.); *δημοκρίτου* M *δημητρίου* A item Br compend., *Δημήτριος* pinax Phot. p. 52 Elt. ‖ 5 *ἀποβλέπουσ' ἀεὶ* Grotius dict. poet. p. 9: *ἀποβλέπουσα* M[d] Br *ἀποβλέπουσιν* compend. A ‖ 6 *ἅπαντα* Valckenaer: *ἀπαντᾶ* libri; *ἀπαντᾷ* tuetur Wachsmuth, *ἀπατᾶται* ci. Buecheler ‖ 7 ecl. hab. MA (post ecl. 2, 1) Mac. Chrys. f. 115[v] (tamquam capitis primam); *Ἀξιονίκου* Grotius: *ἀξινίκου* M[d] A Mac. *ἀξίνικος* pinacogr. Phot. p. 50 Elt. ‖ 8 *δανείζῃ* M[d] A Mac.: *δανείζει* Gesn.[2], inde vulg. | *χρήματ' ἀνὴρ* M[d] *πράγματ' ἀνὴρ* A Mac.; *χρήματα* v. *ἀνὴρ* deleto Grotius ‖ 9 *δικαίως* libri; *δίκαιος* Salmasius | *ἂν τόκον λύπας ἔχοι* Buecheler: *αὐτῶν τὸν τόκον λύπας ἔχει* M[d] A *ἀντὶ τῶν τόκων* (quod commendabant Iacobs et Meineke) *λύπας ἔχει* Mac. ‖ 10 ecl. cum lemm. *ἀντιφάνους* (sic) hab. MA Mac. Chrys. recurrit Maxim. c. 1 p. 165 Gesn. (*Ἀντιφάνους*) Apostol.

Ὅταν εὐπορῶν τις αἰσχρὰ πράττῃ πράγματα,
τί τοῦτον ἀπορήσαντα πράξειν προσδοκᾷς;

4 Μενάνδρου Παλλακῇ (fr. 1 com. IV p. 182).

Πολλοὺς λογισμοὺς ἡ πονηρία κυκλοῖ.

5 Μενάνδρου.

Μισῶ πονηρόν, χρηστὸν ὅταν εἴπῃ λόγον.

6 Μενάνδρου.

Ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία.

7 (2, 9 Mein.) Σκληρίου.

Πολλοῖσι θνητῶν ἡ μὲν ὄψις εὐγενής,
ὁ νοῦς δ' ἐν αὐτοῖς δυσγενὴς εὑρίσκεται.

8 (2, 10 Mein.) Φιλιππίδου (fab. inc. fr. 7 com. IV p. 476).

Ὁ τραχύτατος δὲ συκοφάντης μνᾶς δύο
λαβὼν ἄπεισιν ἀρνίου μαλακώτερος.

---

cent. XIII 13 n (Ἀντιφάνους). tamquam clausula amplioris fragmenti iterantur versus infra flor. 91, 14 Mein. (Ἀντιφάνους)
1 τις M^d A Mac. Max. Apost.: γὰρ flor. 91 || 2 ἀπορήσαντα (εἰπ. Apost.) πράξειν προσδοκᾷς M^d A Mac. Max. Apost.: ἀπορήσαντ' ἂν οὐκ οἴει ποεῖν flor. 91 || 3 ecl. cum lemm. hab. MA (post ecl. 2, 3) Br (post ecl. 2, 5); τοῦ αὐτοῦ fab. n. om. Br. malim Παλλακῇ || 4 ἐλιγμοὺς ci. Cobet mnem.² II p. 446, melius λυγισμοὺς Kock com. III p. 109 cf. infra p. 189, 9 adn. | κυκλοῖ A Br: κυκλεῖ M^d || 5 ecl. cum lemm. hab. MA (post ecl. 2, 4) Br (in principio capitis) Mac. Chrys. (post ecl. 2, 3, sed om. 4). iteratur versus corp. Par. 575 Elt. (Μενάνδρου). inter monosticha relatus 352. cf. ep. gr. p. XXIII 1117ᵃ Kaib. ὅταν ποιῶν πονηρὰ χρηστά τις λαλῇ κτἑ. || 7 ecl. cum lemm. hab. MA (post ecl. 2, 5) Br (post ecl. 2, 4); μενάνδρου MA ἡσιόδου Br (cf. ecl. 9) sed in margine τοῦ αὐτοῦ Br m. rec. recurrit versus inter monost. 50 | de duabus eclogis (2, 7 et 8 Mein.) post 2, 6 male a Gesnero traiectis vide quae dixi mus. Rh. XXXIX p. 522. 524 sq. || 9 ecl. cum lemm. hab. MA (post ecl. 2, 6) omisso lemmate Br (post ecl. 2, 1). Σκληρίου etiam cod. Photii, quod male Σκλήριος interpretatur pinacographus. recurrit ecloga Anton. II c. 79 p. 145 (Σκληρίου) Maxim. c. 63 p. 676 (Σκληρίου). versus a Stobaeo adservati (cf. flor. 18, 2 et 103, 2 Mein.) num conveniant comoediae Italicae dubitat Bernhardy litt. graec. hist.³ II 2 p. 542. ceterum Σκίρας qui audit Athenaeo IX p. 402 b eum a Scleria diversum fuisse negat Meineke anal. cr. ad Ath. p. 174 || 11 αὐτοῖς (ut coniecit Nauck) Br: αὐτῇ M^d A || 12 ecl. cum lemm. hab. MA

9 (2, 11 Mein.) *Ἡσιόδου Ἔργων* (190—96).

Οὐδέ τις εὐόρκου χάρις ἔσσεται οὐδὲ δικαίου
οὐδ' ἀγαθοῦ· μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσὶ καὶ αἰδὼς
οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα
μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται.
ζῆλος δ' ἀνθρώποισιν ὀιζυροῖσιν ἅπασιν
δυσκέλαδος κακόχαρτος ὁμαρτήσει στυγερώπης.

10 (2, 12 Mein.) *Ζηνοδότου* (fr. 1 p. 831 N.[2]).

Κηρύσσεται ἀεὶ ἡ ἀρετή· κακὸς δ' ἀνὴρ
σιγηλὸν ἔσχε ζῶν τε καὶ θανὼν βίον.

11 (2, 13 Mein.) *Ἡσιόδου Ἔργων* (270—72).

Νῦν δὴ ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
εἴην, μήτ' ἐμὸς υἱός· ἐπεὶ κακὸν ἄνδρα δίκαιον
ἔμμεναι, εἰ μείζω τιμὴν ἀδικώτερος ἕξει.

12 (2, 14 Mein.) *Ἐν ταὐτῷ* (346—48).

Πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ
ἔμμορέ τοι τιμῆς, ὅς κ' ἔμμορε γείτονος ἐσθλοῦ,
οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.

---

1 ecl. cum lemm. hab. M (post ecl. 2, 10 Mein.) A (post ecl. 2, Mein.) ‖ 2 v. *οὐδέ τις* hodie oblitterata in A (inc. f. 9r) | *ἔσσεται* A H *ἔσεται* M[d] ‖ 3 *οὐδ'* M[d]A: *οὔτ'* Hes. ‖ 4 *τίσουσι* M[d] m. sec. ‖ 6 *μύθο* M[d]: *μύθοισ* A; *μύθοισιν* editores Hes. ‖ 8 *στυγερωπής* M[d] ‖ 9 ecl. c lemm. hab. MA. *Ζηνόδοτος* pinacogr. Phot. p. 53 Elt. *Ζήνωνος* coni Meineke coll. flor. 14, 4 Mein. parum probabiliter ‖ 10 *ἀεὶ* M[d]A: Valckenaer *γὰρ* Nauck; 'discamus ex metro Zenodotum non fuisse a quiorem Meleagro aut Philodemo' Buecheler | *ἡ ἀρετὴ* M[d] A ‖ 12 ecl. c lemm. hab. MA (post ecl. 2, 12 Mein.) Mac. Chrys. (post ecl. 2, 16 Me ‖ 14 *ἄνδρα* A Hes.: *ἄρα* M[d] Mac. ‖ 15 *μείζω δίκην ἀτιμότε* (-*ώτερος* Mac.) M[d] A Mac.: Stobaeum restituit Buecheler; *μείζω δίκην ἀδικ.* Hes. ‖ 16 ecl. cum lemm. hab. MA Mac. Chrys. (post 2, 13 Mein.) sine lemm. Br (post ecl. 2, 6 ubi videsis). ex lemm *ἡσιόδου* in Br nunc perperam eclogae 6 adscripto nescio an colligi po eclogas 9. 11. 12 in archetypo codicis Br fuisse vicinas ‖ 17 *ὅσσο* Hes.: *ὅσον* M[d] Br | *τ' ἀγαθὸς* M[d] Br Mac. Hes.: *δέ τ' ἀγαθὸς* A *τοι τιμῆς* M[d] Mac. Hes.: *τιμῆς* A *τι τιμῆς* Br | *ὅς κ'* libri Stob.: *ὅς* Hes. ‖ 19 *οὐδ' ἂν — εἴη* addidi ex Br: om. MA Mac. | *ἀπόλοιτο*

13 (2, 15 Mein.) *Εὐριπίδου ἐκ Βελλεροφόντου* (fr. 303 N.²).

Οὐδέ ποτ᾽ εὐτυχίαν κακοῦ ἀνδρὸς ὑπέρφρονά τ᾽ ὄλβον
βέβαιον εἰκάσαι χρεών,
οὐδ᾽ ἀδίκων γενεάν· ὁ γὰρ οὐδενὸς ἐκφὺς
Χρόνος δικαίους ἐπάγων κανόνας
δείκνυσιν ἀνθρώπων κακότητας ἐμοί.

14 (2, 16 Mein.) *Εὐριπίδου Μηδείᾳ* (516—519).

Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μέν, ὃς κίβδηλος ἦν,
τεκμήρι᾽ ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δ᾽ ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι.

15 (2, 17 Mein.) *Εὐριπίδου Τέννῃ* (fr. 695 N.²).

Φεῦ·
οὐδὲν δίκαιόν ἐστιν ἐν τῷ νῦν γένει.

16 (2, 18 Mein.) *Σοφοκλέους* (fr. 835 N.²).

Σκαιοῖσι πολλοῖς εἷς σοφὸς διόλλυται.

---

1 ecl. cum lemm. hab. MA (post ecl. 2, 14 Mein.) Mac. Chrys. (post ecl. 2, 26ª Mein.); *ἐκ βελεροφῶντος* Mac. adfert versus fab. nom. om. Theophilus ad Aut. II 37 p. 180 Otto eodem florilegio usus ac Stobaeus ‖ 2 *οὐδέ ποτ᾽*—4 *γενεάν* om. Mac. | *εὐτυχίαν* Theoph.: *εὐτυχίην* Mᵈ A | *ὑπέρφρονά τ᾽* proposuit Gesn.² p. 30 mrg: *ὑπέρφρονα δ᾽* Mᵈ A *ὑπέρφρονα* Theoph. ‖ 4 *ὁ γὰρ μηδ᾽ ἑνὸς ἐκφὺς* Mac. ‖ 5 *δικαίους ἐπάγων κανόνας* om. Theoph. ‖ 6 *κακότητας ἐμοί* libri Stob. *κακότητας* Theoph. *κακότητας ἀεί* (*αἰεί* Wecklein) ci. Iacobs *κακότητ᾽ ἄσημον* Reisig ‖ 7 ecl. cum lemm. hab. MA Mac. Chrys.; *τοῦ αὐτοῦ* pro *Εὐρ.* Mac. *Μηδείᾳ* scripsi: *μηδεία* Mᵈ *μη* (superscr. *Δ,*) A Mac. *Μηδείας* Gaisford. adfert versus Clemens Alex. strom. VI p. 747 P., duos extremos Lucianus paras. 4 ‖ 8 *ἦν* MᵈA Mac. Clem.: *ἢ* Eur. ‖ 9 *τεκμήρια* A¹ Mac. corr. A² ‖ 10 *τῶν κακῶν* A¹ Mac. corr. A² ‖ 12 ecl. hab. MA (post ecl. 2, 16 Mein.) Br (post ecl. 2, 14 Mein.); *εὐριππι* (superscr. *δ,*) *τέννη* Mᵈ *τοῦ αὐτοῦ τέννη* (litteris *η* et ex parte *ν* alt. opertis margine) A teste Meklero *σοφο* (superscr. *—κλ*) nec plura (quod lemma nescio an pertinuerit ad proximam ecl. in Br nunc omissam) Br. *ἐν Τημένῳ* quod coniecerat Valckenaer diatr. p. 15 duo codd. Schowiani ex interpolatione. de Tenne Euripidea spuria vide Wilamowitz anal. Eur. p. 161 adn. 1. ceterum dispositas habes fabulas ex ordine litterarum ‖ 15 ecl. cum lemm. hab. M (post ecl. 2, 17 Mein.) A (post ecl. 2, 27 Mein.)

17 (2, 19 Mein.) *Δίωνος ἐκ τοῦ Εὐβοϊκοῦ* (or. VII p. 269 Reisk.).

Ὡς οὔποτε φιλεῖ τὰ μοχθηρὰ μένειν ἐπὶ τοῖς αὐτοῖς· ἀλλ' ἀεὶ κινεῖται καὶ πρόεισιν ἐπὶ τὸ ἀσελγέστερον μηδενὸς ἀναγκαίου μέτρου τυγχάνοντα.

18 (2, 20 Mein.) *Φιλίππου.*

Φίλιππος ἐρωτώμενος ὑπὸ Βυζαντίων τί ἀδικηθεὶς πολιορκεῖ αὐτούς, εὐήθεις ἔφησεν εἶναι καὶ ὁμοίους τῷ εἴ τις ἔχων καλὴν γυναῖκα τοὺς ἐπικωμάζοντας ἐρωτῴη διὰ τί ἐπικωμάζουσιν.

19 (2, 21 Mein.) *Θαλῆς* (Plut. septem sap. conv. p. 153 D).

Θαλῆς ἐρωτηθεὶς τί βλαβερώτατον, ἔφη 'κακία· καὶ γὰρ τὰ χρηστὰ βλάπτει παραγενομένη'.

20 (2, 22 Mein.) *Δημοσθένους.*

Δημοσθένης ἔλεγεν ὡς πολλάκις ἐπιὸν αὐτῷ εὔξασθαι τοὺς πονηροὺς ἀπολέσθαι φοβοῖτο μὴ ἔρημον ἄρδην ἐκ τῆς εὐχῆς ποιήσῃ τὴν πόλιν.

21 (2, 23 Mein.) *Πυθαγόρου.*

Νόμου θείου τὸ φαῦλον ἀνήκοον, διὸ καὶ παρανομεῖ.

22 (2, 24 Mein.) *Λυσίου* (fr. 266 ed. Bait. et Saupp.).

Ὅστις τοῦ μὲν μὴ ἀδικεῖν οὐ προνοεῖται, τοῦ δὲ μὴ δοῦναι δίκην ἐπιμελεῖται, κακουργεῖ.

---

1 ecl. cum lemm. hab. MA || 6 ecl. hab. M (post ecl. 2, 19 Mein.) A Mac. Chrys. (post ecl. 2, 29 Mein.); lemma MA, om. Mac. ‖ 8 τῷ εἴ M[d] A[1] Mac.: ὡσεί voluit A[2] || 11 ecl. cum lemm. hab. M, sine lemm. A ‖ 12 *Θαλῆς* post complura Thaletis dicta non iterat Plut. | *ἐρ.* et fortasse mox *ἔφη* de suo gnomologus | *βλαβερώτατον* Plut.: *βλαβερώτε-* *ἔφη* *ρον* M[d]A | *ἔφη* om. M[d]; fuitne *κακία* in archetypo, id est *κακία ἔφη*? ‖ 13 *πλεῖστα* Plut. || 14 ecl. cum lemm. hab. MA (post ecl. 2, 21 Mein.), sine lemm. Mac. Chrys. (post ecl. 2, 20 Mein., sed om. 2, 21 Mein.) Br (post ecl. 2, 9 Mein.) || 16 *φοβοῖτο* M[d] Br: *καὶ φοβοῖτο* A Mac. inde *ἀεὶ φ.* male Meineke v. IV p. LIII, *καταφοβοῖτο* Madvig adv. cr. I p. 720 non melius. supplendum mihi videtur ⟨*ἀπολήγοι*⟩ *καὶ φοβοῖτο* | *ἄρδην* om. A Mac. ‖ 18 ecl. cum lemm. hab. MA. recurrit Pyth. Vind. 68, Demophil. sent. Pyth. 29, Pyth. Syr. 49. Hieroclis verba in carm. aur. p. 42, 1 Gaisf.: *τῶν θείων νόμων ἀνήκοος* apte comparat Schenkl ‖ 20 ecl. cum lemm. hab. MA

23 (2, 25 Mein.) *Δημοσθένους Φιλιππικῶν* (IX § 17 p. 115).

Ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μή πω βάλλῃ μηδὲ τοξεύῃ.

24 (2, 26 Mein.) *Φιλήμονος Ἀγύρτου* (com. IV p. 3).

Ὦ πῶς πονηρόν ἐστιν ἀνθρώπου φύσις
τὸ σύνολον· οὐ γὰρ ἄν ποτ' ἐδεήθη νόμου.

25 (2, 26ᵃ Mein.: comici incerti)

Οἴει τι τῶν ἄλλων διαφέρειν θηρίων
ἄνθρωπον; οὐδὲ μικρόν, ἀλλ' ἢ σχήματι·
πλάγι' ἐστὶ τἄλλα, τοῦτο δ' ὀρθὸν θηρίον.

26 (2, 27 Mein.) *Φιλήμονος* (fab. inc. fr. 3 com. IV p. 32).

Τί ποτε Προμηθεύς, ὃν λέγουσ' ἡμᾶς πλάσαι

---

1 ecl. cum lemm. hab. MA (post ecl. 2, 24 Mein.) Br (post ecl. 2, 22 Mein. ut Demosthenica duo sint vicina); pro lemmate compendium quod *Φιλίππου* interpretatur dubitanter Thomas nomine *Δημοσθ.* omisso Br. sententia citatur a multis, testimonia collegit Reiske ‖ 6 ecl. hab. M (post ecl. 2, 25 Mein.) A (post ecl. 2, 10 Mein.) Mac. Chrys. (post ecl. 2, 5) Br (post ecl. 2, 17 Mein.); *φιλήμονος ἀγύρτου* A Mac. *φιλήμονος* compend. nec plura Br *λυκούργου* M. *λυκούργου* ex *ἀγύρτου* depravatum esse opinatur non recte Meineke, immo indicio est hoc lemma eclogas 2, 25 et 31 Mein. in archetypo fuisse vicinas, et reapse sese hae excipiunt in A Br ‖ 7 *πῶς* Mᵈ *ὦ* (*ὦ* Mac.) *πῶς* A Br Mac. emendatio incerta: *πάντως* C. Fr. Hermann mus. Rh. V p. 608 *πῶς οὐ* Hirschig ann. crit. p. 18 *οἴμ' ὡς* Naber mnemos.² VIII p. 408 ‖ 9 novam abhinc ordiri eclogam perspexit Meineke com. ed. min. p. 821: cum prioribus haec cohaerent MᵈA Br Mac. ‖ 11 *ἄνθρωπον* (quod coniectura reppererat Gesn.² p. 31 mrg) Br: om. Mᵈ A Mac. | *μικρὸν* Mᵈ A Mac.: *μικρόν τι* Br | *ἀλλ' ἢ* Meineke: *ἀλλὰ* MᵈA Br Mac.; alii distingui volunt *οὐδὲ μικρόν, ἀλλὰ σχήματι* (*σχήματα* Duebner) *πλάγι' ἐστὶ κτέ.* ‖ 12 *πλάγια γάρ ἐστι* Mac. | *τὰ ἄλλα* fere libri ‖ 13 ecl. cum lemm. hab. M Br (post ecl. 2, 26ᵃ Mein.) A (post ecl. 2, 17 Mein.) Mac. Chrys. (post ecl. 2, 14 Mein.); *φιλήμονος* Mᵈ A Mac. *τοῦ αὐτοῦ* Br. versus quinque priores Euripidi tribuit Nicephorus in Synes. p. 404 A ‖ 14 *τί ποτε* nescio quis primus: *τί ποτ' ὁ* Mᵈ (unde vulg.) Br *τί ποτε ὁ* (sic) A

καὶ τἄλλα πάντα ζῷα, τοῖς μὲν θηρίοις
ἔδωχ' ἑκάστῳ κατὰ γένος μίαν φύσιν;
ἅπαντες οἱ λέοντές εἰσιν ἄλκιμοι·
δειλοὶ πάλιν ἑξῆς πάντες εἰσὶν οἱ λαγοί·
οὐκ ἔστ' ἀλώπηξ ἡ μὲν εἴρων τῇ φύσει,
ἡ δ' αὐθέκαστος· ἀλλ' ἐὰν τρισμυρίας
ἀλώπεκάς τις συναγάγῃ, μίαν φύσιν
ἁπαξαπασῶν ὄψεται τρόπον θ' ἕνα.
ἡμῶν δ' ὅσα καὶ τὰ σώματ' ἐστί, τὸν ἀριθμὸν
καθ' ἑνός, τοσούτους ἐστὶ καὶ τρόπους ἰδεῖν.

27 (2, 28 Mein.) *Σοφοκλῆς Αἴαντι* (1159—1160).

Ἄπειμι· καὶ γὰρ αἰσχρὸν εἰ πύθοιτό τις
λόγοις κολάζειν, ᾧ βιάζεσθαι πάρῃ.

28 (2, 29 Mein.) *Ὁ αὐτὸς ἐν Φαίδρᾳ.*

* * *

τί δή ποτε ὁ Mac.; *τί ποθ' ὁ* Niceph. | *λέγουσ'* Br Niceph.: *λέγουσιν* M[d] A Mac.

1 *ὑμετέρω* MᵈATr.: *ἡμετέρῳ* L | *καὶ συνήσει* om. Tr. ‖ 2 *ὅτι οὐκ ἂν* LMᵈA: *ὡς ἔγωγ' οὐκ ἂν* Tr., inde vulg.; *ὅτι ἔγωγ' οὐκ ἂν* male Meineke | *προδοίη* scripsi: *προσδοίη* Mᵈ *προδοίην* L A Tr. | *ὁ τούτοις ἀρκούμενος* Cobet: *τι τούτοις ἀρκούμενος* L Mᵈ *τι ὁ τούτοις ἀρκούμενος* A *τούτοις ἀρκούμενος* Tr.; retinuerant *τι* Gaisford et Meineke ‖ 3 ecl. cum lemm. hab. L (post ecl. 5, 48 Mein.) M A Tr. (post ecl. 5, 51 Mein.) ‖ 4 *τὴν* om. Tr. | *καὶ* fortasse delendum | *τοὺς μὲν πιπράσκοντας* L A Tr.: *τοὺς μὲν τί πιπράσκοντας* ‖ 5 *διὰ τὸ ἐναντίον πρᾶγμα ἀλλήλους μακαρίζουσιν* L Mᵈ A: *διότι ἐναντίον πρᾶγμα ἀλλήλοις ποιοῦσιν, ἑαυτοὺς μακαρίζουσιν* Tr. ‖ 7 *μήτε ὠνούμενος μήτε πωλῶν* Mᵈ A Tr.: *μήτε πωλων μήτε ὠνούμενος* L; Stobaeo haec imputanda putat Wachsmuth vel librariis ‖ 9 ecl. cum lemm. hab. L (post ecl. 5, 52 Mein.) Tr. p. 35 (post ecl. 5, 120 Mein.), om. M A; *Ἀλα* (superscr. *τύ*) (*Ἀ* rubr.) *ἐκ τοῦ συμποσίου* L *Πλάτωνος* nec plura Tr. ‖ 10 *ἔστι γὰρ ἡμῖν νόμος ὅσπερ* (*ὅπερ* L) L Tr. Platonis B, *ἔστι γὰρ ἡμῖν νόμος ὥσπερ* Platonis T idque tacite ex Platonis Ald. scr. Gesn.¹ p. 44, inde vulg.: *ὥσπερ γὰρ* Vermehren *Plat. stud.* p. 63, *ὡς γὰρ ἡμῖν νόμος, ὥσπερ* Vsener, alii alia | *ἦν* tacite ex Plat. Gesn.¹, inde vulg.: *ἡ* L Tr. ‖ 11 *ἐθελοντὰς* Tr. *ἐθέλοντας* L; *ἐθέλοντα* Platonis B T | *μὴ κολακείαν μηδὲ* (*μηδ'* L) *ἐπονείδιστον εἶναι* L Tr.: *μὴ κολακείαν εἶναι μηδὲ ἐπονείδιστον* Plat. ‖ 12 *οὕτως* L | *καὶ ἄλλη μόνη μία* L *ὡς ἄλλη μία* Tr., *καὶ ἄλλη μία μῶν* Platonis B (*καὶ ἄλλη μία μόνη* recens b), *καὶ ἄλλη μία μόνον* Platonis T; *καὶ ἄλλη μία μόνη* tacite ex Platonis Ald. Gesn.¹, inde vulg.: *καὶ ἄλλη μία νόμῳ* Ficinus *καὶ ἄλλη μία νομίμη* Bast *καὶ ἄλλη μία ἐρωμένῳ* Vsener *καὶ ἄλλη μία νέων* Hug *καὶ ἄλλη ἡμῖν νόμῳ* Kreyenbühl *bl. f. d. bayer. gymn.* XVI p. 158, intercidisse non nulla putat Schanz

μόνη μία δουλεία ἑκούσιος λείπεται οὐκ ἐπονείδιστος· αὕτη δ' ἐστὶν ἡ περὶ τὴν ἀρετήν. νενόμισται γὰρ δὴ ἡμῖν, ἐάν τίς τινα θέλῃ θεραπεύειν ἡγούμενος δι' ἐκεῖνον ἀμείνων ἔσεσθαι ἢ κατὰ σοφίαν τινὰ ἢ κατὰ ἄλλο ὁτιοῦν μέρος ἀρετῆς, αὕτη αὖ ἡ ἐθελοδουλεία οὐκ αἰσχρὰ εἶναι οὐδὲ κολακεία.

54 (deest Mein.) *Ἐκ τοῦ Φιλήβου* (p. 63—64).

Εἰ δέ γε καὶ καθάπερ τὰς τέχνας πάσας ἀβλαβές τε καὶ ὠφέλιμον ἦν ἐπίστασθαι διὰ βίου, καὶ νῦν δὴ ταὐτὰ λέγομεν περὶ τῶν ἡδονῶν, εἴ περ πάσας ἡδονὰς ἥδεσθαι διὰ βίου συμφέρον τε ἡμῖν ἐστὶ καὶ ἀβλαβὲς ἅπασι, πάσας συγκρατέον. — Πῶς οὖν δὴ περὶ αὐτῶν τούτων λέγομεν; καὶ πῶς ποιῶμεν; — Οὐχ ἡμᾶς, ὦ Πρώταρχε, διερωτᾶν χρή, τὰς ἡδονὰς δὲ αὐτὰς καὶ τὰς φρονήσεις διαπυνθανομένους τὸ τοιόνδε ἀλλήλων πέρι. — Τὸ ποῖον; — Ὦ φίλαι, εἴτε ἡδονὰς ὑμᾶς χρὴ προσαγορεύειν εἴτε ἄλλῳ ὁτῳοῦν ὀνόματι, μῶν οὐκ ἂν δέξαισθε οἰκεῖν μετὰ φρονήσεως πάσης ἢ χωρὶς τοῦ φρονεῖν; οἶμαι μὲν πρὸς ταῦτα τόδ' αὐτὰς ἀναγκαιότατον εἶναι λέγειν. — Τὸ ποῖον; — Ὅτι καθάπερ ἔμπροσθεν ἐρρήθη, τὸ μόνον καὶ ἔρημον [καὶ] εἰλικρινὲς εἶναί τι γένος οὔτε πάνυ τι δυνατὸν οὔτ' ὠφέλιμον· πάντων γε μὴν ἡγούμεθα γενῶν ἄριστον ἓν ἀνθ' ἑνὸς συνοικεῖν ἡμῖν τὸ τοῦ γιγνώσκειν τά τ' ἄλλα τε πάντα καὶ αὐτὴν ἡμῶν

---

3 *τις ἐθέλῃ τινὰ* Plat. | *ἐκεῖνον* L, Tr. (ubi operarius *ἐκτῖνον*), Platonis T: *ἐκεῖνο* Platonis B ‖ 5 *αὖ* Tr. Plat.: *οὖν* L | *αἰσχρὰ εἶναι* scripsi ex L, Plat.: *αἰσχρά ἐστιν* Tr., inde vulg. ‖ 7 ecl. cum lemm. hab. L (post ecl. 5, 131 Mein.), om. M A Tr.; *Ἐκ* (*Ἐ* rubr.) *ἐκ τοῦ φιλήβου* L ‖ 8 *Εἰ* Plat.: *Ὁ* L rubr. ‖ 12 *συγκρατέον* L: *ξυγκρατέον* Plat. addidi paragraphum hic et in proximis ‖ 13 *λέγομεν* L ut Platonis plurimi: *λέγωμεν* Platonis reliqui | *ποιῶμεν;* Plat.: *ποιοῦμεν* sine distinctione L ‖ 16 *ὦ φίλαι* Plat.: *ὦ φίλε* L ut Platonis plurimi | *ὑμᾶς* Plat.: *ἡμᾶς* L ut Platonis plurimi ‖ 17 *δέξαισθε* Plat.: *δέξησθε* L *δέξασθαι* Platonis fere omnes ‖ 19 *τόδ'* Plat.: *τὸ δ'* L ‖ 21 *εἰλικρινὲς* Plat.: *καὶ εἰλικρινὲς* L ‖ 22 *πάντων* Plat.: *πάντως* L ‖ 24 *αὖ* (sed *αὖ* abest a B) *τὴν* ante *αὐτὴν* addunt libri Platonis | *αὐτὴν ἡμῶν* libri Plat.: *αὐτήν. μῶν* L; *αὐτῶν ἡμῶν* Schleiermacher

; εἰς δύναμιν ἑκάστην. — Καὶ καλῶς γε εἰρή- ιὰ νῦν, φήσομεν. — Ὀρθῶς. πάλιν τοίνυν μετὰ τὴν φρόνησιν καὶ τὸν νοῦν ἀνερωτητέον· ἆρ' ἡδο- προσδεῖσθε ἐν τῇ συγκράσει; φαῖμεν ἂν αὖ τὸν ε καὶ τὴν φρόνησιν ἀνερωτῶντες. ποίων, φαῖεν ις, ἡδονῶν; — Εἰκός. — Ὁ δέ γ' ἡμέτερος λόγος ὰ τοῦτ' ἐστὶν ὅδε. πρὸς ταῖς ἀληθέσιν ἐκείναις ς, φήσομεν, ἆρ' ἔτι προσδεῖσθε ἡμῖν τὰς μεγίστας ς⟩ ξυνοίκους εἶναι καὶ τὰς σφοδροτάτας; ⟨καὶ ὦ ⟨Σώκρατες;⟩ φαῖεν ἂν ἴσως, αἵ γ' ἐμποδίσματά ια ἡμῖν ἔχουσι, τὰς ψυχὰς ἐν αἷς οἰκοῦμεν ταράτ- διὰ μανικὰς ἡδονάς, καὶ γίγνεσθαί τε ἡμᾶς τὴν οὐκ ἐῶσι, τά τε γιγνόμενα ἡμῶν τέκνα ὡς τὸ δι' ἀμέλειαν λήθην ἐμποιοῦσαι, παντάπασι δια- ιυσιν; ἄλλας τε ἡδονὰς ἀληθεῖς καὶ καθαρὰς ἃς σχεδὸν οἰκείας ἡμῖν νόμιζε, καὶ πρὸς ταύταις τὰς ιγιείας καὶ τοῦ σωφρονεῖν, καὶ δὴ καὶ ξυμπάσης ὁπόσαι καθάπερ θεοῦ ὀπαδοὶ γιγνόμεναι αὐτῇ λουθοῦσι πάντῃ, ταύτας † μιγνύντας ἀεὶ μετ' ἀφρο- καὶ τῆς ἄλλης κακίας ἑπομένας πολλή που ἀλογία μιγνύναι τὸν βουλόμενον ὅ τι καλλίστην ἰδόντα

γε Plat.: τὲ L ‖ 3 ἆρα L ‖ 4 προσδεῖσθε Plat.: προσδεῖ- ut Platonis haud pauci | συγκράσει L: ξυγκράσει Plat. | αὖ ..: αὐτὸν L ‖ 6 ἡμε^τερ' L ‖ 7 μετὰ τοῦτ' Plat.: ὁ μετα- | ὅδε Plat.: ὁ δὲ L ‖ 8 προσδεῖσθε scripsi: προσδεῖσθαι δεῖσθ' Plat. | ἡμῖν Plat.: ὑμῖν L ‖ 9 ἡδονας addidi ex Pla- ιαὶ πῶς et Σώκρατες addidi ex Platone; post ὦ lacuna quat- quinque litterarum in exitu versus L ‖ 10 φαῖεν ἂν ἴσως L: ν Plat. 'ante φαῖεν vett. editt. inserunt ἴσως' Stallbaum adnotat | ιt.: ἅ γ' L ‖ 11 ταράττουσαι Plat.: ταράττουσα L ‖ 13 ἡμῶν ιῖν L ‖ 15 τε L sicut libri Platonis: δὲ Fischer, ἀλλ' ἅς γε ıuod post καθαρὰς legitur ἃς) Hermann | καθαρὰς ἃς εἶπες Plat.: καθάρσεις πέρι σχεδὸν L ‖ 16 τὰς Plat.: ταῖς L ‖ 19 ουθοῦσι Plat. | μιγνύντας L μιγνύντας δ' libri Platonis, unde ι Heusde μίγνυ· τὰς δ' | μετ' ἀφροσύνης Plat.: μετὰ σωφρο- ‖ 20 πολλη^πυ L

καὶ ἀστασιαστοτάτην μῖξιν καὶ κρᾶσιν ἐν ταύτῃ μαθεῖν πειρᾶσθαι, τί ποτε ἔν τε ἀνθρώπῳ καὶ τῷ παντὶ πέφυκεν ἀγαθὸν καὶ τίνα ἰδέαν αὐτὴν εἶναί ποτε μαντευτέον. ἆρ' οὐκ ἐμφρόνως ταῦτα καὶ ἐχόντως ἑαυτὸν τὸν νοῦν φήσομεν ὑπέρ τε ἑαυτοῦ καὶ μνήμης καὶ δόξης ὀρθῆς ἀποκρίνασθαι τὰ νῦν ῥηθέντα; — Παντάπασι μὲν οὖν.

55 (5, 133 Mein.) *Ἐκ τοῦ Χαρμίδου* (p. 173 A—D).

Ἄκουε δή, ἔφην, τὸ ἐμὸν ὄναρ, εἴτε διὰ κεράτων εἴτε δι' ἐλέφαντος ἐλήλυθεν. εἰ γὰρ ὅ τι μάλιστα ἡμῶν ἄρχοι ἡ σωφροσύνη, οὖσα οἵαν δὴ νῦν ὁριζόμεθα, ἄλλο τι κατὰ τὰς ἐπιστήμας ἂν πράττοιτο, καὶ οὔτε τις κυβερνήτης φάσκων εἶναι, οὔτε ἰατρὸς οὔτε στρατηγὸς οὔτ' ἄλλος τις οὐδείς, προσποιούμενός τι εἰδέναι ὃ μὴ οἶδε, λανθάνοι ἄν· ἐκ δὴ τούτων οὕτως ἐχόντων ἄλλο τι ἂν ἡμῖν συμβαίνοι ἢ ὑγιέσι τε τὰ σώματα εἶναι μᾶλλον ἢ νῦν, καὶ ἐν θαλάττῃ κινδυνεύοντας καὶ ἐν πολέμῳ σῴζεσθαι, καὶ τά τε σκεύη καὶ τὴν ἀμπεχόνην καὶ ὑπόδεσιν πᾶσαν καὶ τὰ χρήματα ⟨πάντα⟩ τεχνικῶς ἡμῖν εἰργασμένα εἶναι καὶ ⟨ἄλλα⟩ πολλὰ διὰ τὸ ἀληθινοῖς

---

1 *μαθεῖν ἐν ταύτῃ* L ut Platonis non nulli: *ἐν ταύτῃ μαθεῖν* Platonis meliores ‖ 4 *ἐχόντως* Plat.: *ἐχόντων* L ‖ 5 *αὐτοῦ* L ut Platonis B: *ἑαυτοῦ* Plat. ‖ 6 *ὀρθῆς* Plat.: *ὀρθῶς* L ‖ 8 ecl. hab. L (post excerptum Philebi) Tr. p. 1 (post ecl. 5, 33 Mein.), om. M A; *Ἐκ τοῦ χαρμί*[ο] nomine Platonis non iterato L *Πλάτωνος* nec plura Tr. ‖ 9 v. *Ἄκουε δή* — 277, 1 *δημιουργοῖς χρῆσθαι* om. Tr. | *Ἄκουε* ex Plat.: *Ἤκουσε* (*Ἡ* rubr.) L | *κεράτων* ex Plat.: *κεράων* L ‖ 11 *οἵαν* Platonis B t: *οἷον* L *οἱαν* Platonis T | *δὴ* om. Plat. ‖ 12 *ἂν* ex Plat.: *πάντα* L ‖ 13 post *εἶναι* addit *ὧν δὲ οὔ, ἐξαπατῴη ἂν* (sic Hermann: *ἐξαπατῷ ἂν* Platonis T, *ἐξαπατᾶν*, sed in marg. vitii nota add. Platonis B) *ἡμᾶς* Plat. ‖ 14 *ἄλλός τις* L: *ἄλλος* Plat. ‖ 15 *δὴ* L Plat.: *δὲ* Hermann ‖ 16 *τι ἂν ἡμῖν* L: *ἂν ἡμῖν τι* Plat. | *ξυμβαίνοι* Plat. | *ἢ* Heindorf: *μη* L om. Plat. ‖ 17 *ἐν τῇ θαλάττῃ* Plat. | *κινδυνεύοντας* Plat.: -*τα* L ‖ 18 *τά τε* L: *τὰ* Plat. ‖ 19 *ὑπόδεσιν* ex Plat.: *ὑπόδεσϊ* (sic) L | *πάντα* addidi ex Plat. ‖ 20 *ἄλλα* addidi ex Plat. | *ἀληθινοῖς δημιουργοῖς* L Platonis T: *ἀληθινὸν δημιουργὸν* Platonis B

[redacted]

δημιουργοῖς χρῆσθαι; εἰ δὲ βούλοιό γε, καὶ τὴν μαντικὴν εἶναι συγχωρήσωμεν ἐπιστήμην τοῦ μέλλοντος ἔσεσθαι, καὶ τὴν σωφροσύνην, αὐτῆς ἐπιστατοῦσαν, τοὺς μὲν ἀλαζόνας ἀποτρέπειν, τοὺς δὲ ὡς ἀληθεῖς μάντεις καθιστάναι ἡμῖν ⟨προφήτας τῶν μελλόντων. κατεσκευασμένον δὴ οὕτω τὸ ἀνθρώπινον γένος ὅτι μὲν⟩ ἐπιστημόνως ἂν πράττοι καὶ ζῴη, ἕπομαι· ἡ γὰρ σωφροσύνη φυλάττουσα οὐκ ἂν ἐῴη παρεμπίπτουσαν τὴν ἀνεπιστημοσύνην συνεργὸν ἡμῖν εἶναι.

56 (5, 134 Mein.) *Τοῦ αὐτοῦ ἐκ τοῦ Γοργίου* (p. 499 C — 500 B).

Ἔστι δὲ ⟨δή⟩, ὡς ἔοικεν, ὃ νῦν λέγεις, ὅτι ἡδοναὶ εἰσί τινες, αἳ μὲν ἀγαθαὶ αἳ δὲ κακαί· ἢ γάρ; — Ναί. — Ἆρ᾽ οὖν ἀγαθαὶ μὲν αἱ ὠφέλιμοι, κακαὶ δὲ αἱ βλαβεραί; — Πάνυ γε. — Ὠφέλιμοι δὲ αἱ ἀγαθόν ⟨τι⟩ ποιοῦσαι, κακαὶ δὲ αἱ κακόν τι; — Φημί. — Ἆρ᾽ οὖν τὰς τοιάσδε λέγεις, οἷον κατὰ τὸ σῶμα ἃς δὴ νῦν ἐλέγομεν ἐν τῷ ἐσθίειν καὶ πίνειν ἡδονάς, εἰ ἄρα τούτων αἱ μὲν ὑγίειαν ποιοῦσαι ἐν τῷ σώματι, ἢ ἰσχὺν ἢ ἄλλην τινὰ ἀρετὴν τοῦ σώματος, αὗται μὲν ἀγαθαί, αἱ δὲ τἀναντία τούτων, κακαί; — Πάνυ γε. — Οὐκοῦν καὶ λῦπαι ὡσαύτως αἳ μὲν χρησταί εἰσιν αἳ δὲ πονηραί; —

1 *βούλοιό γε* tacite ex Plat. Gesn.[1] p. 2, inde vulg.: *βούλεται* L Tr. ‖ 2 *συγχωρήσωμεν* scripsi: *συγχωρήσομεν* L, *συγχωρητέον* Tr., vulg.; *ξυγχωρήσωμεν* Plat. ‖ 4 *ὡς ἀληθεῖς* dedi ex L: *ἀληθεῖς* Tr., inde vulg.; *ὡς ἀληθῶς* Plat. ‖ 5 v. *προφήτας τῶν* — 6 *ὅτι μὲν* tacite ex Plat. addidit Gesn.[1], inde vulg. ‖ 7 *ζωοι* ex *ζώη* corr. L | *ἕπομαι* ex Plat.: om. in lacun. L, *ἐγ᾽ ὦμαι* Tr., inde vulg. ‖ 8 *ν* in *ἂν* evan. L ‖ 9 *συνεργὸν* Tr. *ξυνεργὸν* Plat.: *συνεργὸν ἂν* L ‖ 10 ecl. cum lemm. hab. L, sine lemm. cum priore cohaerentem Tr. p. 2, om. M A ‖ 12 *δή* tacite ex Plat. addidit Gesn.[1] p. 2, inde vulg. | *ὃ* L Plat.: *ὃν* Tr. | *ἡδοναί τινές εἰσιν* Plat. ‖ 14 *αἱ ὠφέλιμοι* L Plat.: *δή, ὠφέλιμοι* Tr. ‖ 15 *δέ γε αἱ* Plat. | *τι* addidi ex Plat. ‖ 16 *κακόν τι* dedi ex L Plat.: *κακόν* Tr. ‖ 17 *τοιάσδε* Tr. Plat.: *τοιαύτας* L | *τὸ* om. L | *δὴ νῦν* L Tr.: *νυνδὴ* Plat. | *ἐλέγομεν* L Plat.: *λέγομεν* Tr. ‖ 18 *εἰ ἄρα* L Tr. ut Platonis B T: *ἆρα* Heindorf ‖ 19 *ὑγίειαν* Tr. Plat., *ὑγείαν* L ‖ 20 *αὗται* Plat.: *αὐταὶ* L Tr.

Πῶς γὰρ οὔ; — Οὐκοῦν τὰς μὲν χρηστὰς καὶ ἡδονὰς καὶ λύπας καὶ αἱρετέον ἐστὶ καὶ πρακτέον; — Πάνυ γε. — Τὰς δὲ πονηρὰς οὔ; — Δῆλον δή. — Ἕνεκα γάρ που τῶν ἀγαθῶν ἅπαντα ἡμῖν ἔδοξε πρακτέον εἶναι, εἰ μνημονεύεις, ἐμοί τε καὶ Πώλῳ. ἆρα καὶ σοὶ ⟨συν⟩δοκεῖ οὕτως, ⟨τέλος εἶναι⟩ ἁπασῶν τῶν πράξεων τὸ ἀγαθόν, καὶ ἐκείνου ἕνεκα δεῖν πάντα τἆλλα πράττεσθαι, ἀλλ' οὐκ ἐκεῖνο τῶν ἄλλων; σύμψηφος ἡμῖν εἶ καὶ σὺ ἐκ τρίτων; — Ἔγωγε. — Τῶν ἀγαθῶν ἄρα ἕνεκα δεῖ καὶ τἆλλα καὶ τὰ ἡδέα πράττειν, ἀλλ' οὐ τἀγαθὰ τῶν ἡδέων; — Πάνυ γε. — Ἆρ' οὖν παντὸς ἀνδρός ἐστιν ἐκλέξασθαι, ποῖα ἀγαθὰ τῶν ἡδέων ἐστὶ καὶ ποῖα κακά, ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον; — Τεχνικοῦ. — Ἀναμνησθῶμεν δὴ ὧν αὖ ἐγὼ πρὸς Πῶλον καὶ Γοργίαν ἐτύγχανον λέγων· ἔλεγε γὰρ αὐτός, εἰ μνημονεύεις, ὅτι εἶεν παρασκευαί, αἳ μὲν μέχρι ἡδονῆς αὐτὸ τοῦτο παρασκευάζουσαι, ἀγνοοῦσαι δὲ τὸ βέλτιον καὶ τὸ χεῖρον, αἳ δὲ γινώσκουσαι ὅ τι τε ἀγαθὸν καὶ ὅ τι κακόν· καὶ ἐτίθουν τῶν μὲν περὶ τὰς ἡδονὰς τὴν μαγειρικὴν ἐμπειρίαν, ἀλλ' οὐ τέχνην· τῶν δὲ περὶ τὸ ἀγαθὸν τὴν ἰατρικὴν τέχνην.

57 (5, 53 Mein.) *Ἀντιφῶντος* (fr. 130 Blass.[2]).

---

2 *καὶ* ante *αἱρετέον* om. L ‖ 3 *δῆλον δή* L Plat.: *δῆλον γὰρ δὴ* Tr. | *γάρ που* L Plat.: *γὰρ δή που* Tr. ‖ 4 *ἔδοξε πρακτέον εἶναι* ex L Plat.: *πρακτέα ἐστί* Tr., inde vulg. | v. *εἰ μνημονεύεις* — 8 *τρίτων; ἔγωγε* accesserunt ex L Plat: om. Tr., inde editores ‖ 5 *Πώλῳ* Plat.: *πολλῷ* L | *συνδοκεῖ* Plat.: *δοκεῖ* L | *οὕτω* Plat. ‖ 6 *τέλος εἶναι* addidi ex Plat. ‖ 7 *ἕνεκα* L: *ἕνεκεν* Platonis B T ‖ 8 *ἐκ τρίτων* Plat.: *κρείττων* L ‖ 9 *τῶν* L Plat.: *καὶ τῶν* Tr., inde vulg. | *καὶ τἆλλα* L Plat: *ὥστ' ἄλλα* Tr. ‖ 10 *ἀλλ' οὐ τἀγαθὰ* scripsi ex Plat.: *ἀλλὰ τὰ ἀγαθὰ* L *ἀλλ' οὐκ ἀγαθὰ* Tr. ‖ 12 *ποῖα* (ante *κακά*) L Tr., *ὁποῖα* Plat. ‖ 14 *αὖ* L Plat.: *ἂν* Tr. | *πρὸς* L Plat.: *εἰς* Tr., inde vulg. | *ἔλεγε γὰρ αὐτὸς* L Tr.: *ἔλεγον γὰρ* Plat. ‖ 16 *αὐτὸ τοῦτο* L Tr.: *αὐτὸ τοῦτο μόνον* Plat. ‖ 18 *ἐτίθουν* L Tr.: *ἐτίθην*, sed supra *ην* ras. Platonis B, *ἐτίθειν* Platonis T ‖ 19 *την μαγειρικην* L Tr. Platonis B, *τὴν μαγειρικὴν κατὰ τὸ σῶμα* Platonis T | *τὴν* pro *τῶν* Tr. ‖ 20 *ἰατρικὴν* ex *μαγειρικὴν* corr. L ‖ 21 ecl. sine lemm. hab. L (post ecl. 5, 134 Mein.), cum lemm. M A (post ecl. 5, 33 Mein.) Tr. p. 2 (post ecl. 5, 134 Mein.). iteratur Maxim. c. 3 p. 185 Rib. (*Antiphontis*)

Ὅστις δὲ τῶν αἰσχρῶν ἢ τῶν κακῶν μήτε ἐπεθύμησε μήτε ἥψατο, οὐκ ἔστι σώφρων· οὐ γὰρ ἔσθ' ὅπου κρατήσας αὐτὸς ἑαυτὸν κόσμιον παρέχεται.

58 (5, 132 Mein.) *Πλάτωνος ἐκ τοῦ Φαίδωνος* (p. 68 C).

Ἄριστον δὲ τὸ περὶ τὰς ἐπιθυμίας μὴ ἐπτοῆσθαι, ἀλλ' ὀλιγώρως ἔχειν καὶ κοσμίως.

59 (5, 39 Mein.) *Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου* (c. 33, 4).

Γέλως μὴ πολὺς ἔστω μηδὲ ἐπὶ πολλοῖς.

60 (5, 40 Mein.: ibid. 6)

Δείπνοις τοῖς ἔξω καὶ ἰδιωτικοῖς τὸ πολὺ ἀπόταξαι· ἂν δὲ γίνηται καιρός, φυλάσσου. ἴσθι γὰρ ὅτι ἂν ἑτε-

---

1 *ὥστις* pro *Ὅστις* L rubr. | *δὲ* om. A | *αἰσχρῶν ἢ τῶν κακῶν* L M^d A: *αἰσχρῶν* Tr., inde vulg. | *μήτ' ἐπεθύμησε* L ‖ 2 *ὅπου* Sauppe: *ὅτου* L M^d (*ἐσθότου* uno vocabulo M^d) A Tr. ‖ 3 *παρέσχετο* scribendum videtur Blassio ‖ 4 ecl. cum lemm. hab. M A (post ecl. 5, 44 Mein.), om. L Tr. ad finem capitis relegavi hanc cum tribus aliis quae ipsae quoque desiderantur in L, ne Laurentiani recensionem disturbarem. Platonis verba paulo fidelius supra excerpsit Ioannes in capitis quarti ecloga extrema p. 253, 3, ubi sprevit quod per arbitrium hoc loco inculcatur *ἄριστον δὲ* ‖ 7 ecl. cum lemm. hab. M A (post ecl. 5, 38 Mein.), om. L Tr. vide ad ecl. 58 ‖ 9 post *πολλοῖς* add. *μηδὲ ἀνειμένος* Arr. ‖ 10 ecl. sine distinctione vel rubricatione cum priore iungunt lemmate non iterato M A, om. L Tr. cum priore cohaerens iteratur Maxim. c. 64 p. 258 Rib. (*Ex Epicteti sententiis*). separavit Gesn.[2] p. 65 quem secuti sunt Gaisford et Meineke. sciendum est autem praeceptum quod priori enuntiato subiecit Epictetus (c. 33, 5) *ὅρκον παραίτησαι κτέ.* consulto resectum esse a gnomologo ut infra reponeretur suo loco flor. 27, 12 Mein. ‖ 11 *δείπνοις τοῖς ἔξω καὶ ἰδιωτικοῖς* (*ἰδιωτικοὺς* M^d) *τὸ πολὺ ἀπόταξαι* M^d A: *ἑστιάσεις τὰς ἔξω καὶ ἰδιωτικὰς διακρούου* Arr.; *δείπνους τοὺς ἔξω καὶ ἰδιωτικοὺς τὸ πολὺ ἀπόταξαι* perperam Gesn.[2], inde vulg. ‖ 12 *ἂν δὲ γένηται καιρὸς φυλάσσου* M^d A: *ἐὰν δέ ποτε γίνηται καιρός, ἐντετάσθω σοι ἡ προσοχή, μήποτε ἄρα ὑπορρυῇς* (vel *ἀπορρυῇς*) *εἰς ἰδιωτισμόν* Arr., unde recepi *γίνηται* | *ἴσθι γὰρ* — 280, 2 *συνδιατρίβονται* ut supra M^d A nisi quod *πολλ*^οἰ quod ante *γυμνοὶ* scripserat expunxit A: *ἴσθι γάρ, ὅτι ἐὰν ὁ ἑταῖρος ᾖ μεμολυσμένος, καὶ τὸν συνανατριβόμενον αὐτῷ συμμολύνεσθαι ἀνάγκη, κἂν αὐτὸς ὢν τύχῃ καθαρός* Arr.

ρος ἢ μεμολυσμένος, καὶ τὸν ἕτερον ἐμπλησθῆναι ἀν
ὅταν γυμνοὶ συνδιατρίβωνται.

61 (5, 21 Mein.) *Εὐριπίδου Θησέως* (fr. 388 N.²).

Ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως
ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς.

CAPVT VI.

ΠΕΡΙ ΑΚΟΛΑΣΙΑΣ.

1 (6, 22 Mein.) *Εὐριπίδου Ἀντιόπῃ* (fr. 201 N.²).

Καὶ μὴν ὅσοι μὲν σαρκὸς εἰς εὐεξίαν
ἀσκοῦσι βίοτον, ἢν σφαλῶσι χρημάτων,
κακοὶ πολῖται· δεῖ γὰρ ἄνδρ' εἰθισμένον
ἀκόλαστον ἦθος γαστρὸς ἐν ταὐτῷ μένειν.

2 (6, 18 Mein.) *Φιλήμονος* (fab. inc. fr. 27a com. IV p.

Σοὶ γὰρ τίς ἐστιν, εἰπέ μοι, παρρησία;
σὺ λαλεῖς ἐν ἀνθρώποισιν ὡς ἄνθρωπος ὤν,
τὸ δ' ὅλον περιπατεῖς, ἢ τὸν αὐτὸν ἀέρα
ἑτέροισιν ἕλκεις, εἰπέ μοι, τοιοῦτος ὤν;

---

3 ecl. cum lemm. hab. Tr. p. 1 init. (ante ecl. 5, 48 Mein.), ‹ M A. sedes igitur eclogae plane incerta, vide ad ecl. 58. eosdem v om. fab. nom. affert Ps.-Plut. de liberis educandis p. 11 F, eosdem Ioannes supra I 9, 4ᵇ p. 112, 15 ubi vide quae adnotavit Wachsmutl *ἀλλ' ἔστι* Tr. Plut.: *ἀλλ' οὐκ ἔστι* Stob. I

Caput sextum fere integrum praebent L M A, aliquam parten paucas ut solet eclogas Mac. Chrys., om. S Tr. titulum addunt cum P omnes, etiam numerum MA Mac. librorum dispositionem turbavit Gesn vide de Stob. fl. exc. Br. p. 27 mus. Rh. XXXIX p. 532 sqq. et quod n supra p. 255 ‖ 8 ecl. hab. L (tamquam capitis primam) M A (post 6, 21 Mein.); in lemmate fab. nom. om. L ‖ 10 *βίωτον* Mᵈ A | *κακοὶ πολῖταί γ', εἴπερ* ci. F. G. Schmidt *kr. stud.* II p. 450 sq. *κ πολῖται· καὶ γαρ* mavult Nauck ‖ 12 *γαστρὸς* suspectum Nau *εἰκὸς* ci. F. G. Schmidt, post *ἦθος* non nihil excidisse suspicatur (perz *nachl.* p. 22 ‖ 13 ecl. cum lemm. hab. L (post ecl. 6, 22 M M A (tamquam primam, unde *περὶ ἀκολ. Φιλήμονος* quasi pro tit. 14 *Σοὶ* Gaisford: *Ἀοὶ* (*Ἀ* rubr.) L *σὺ* Mᵈ A | *τίς* L: *τί* MᵈA | *σὺ λαλεῖς* MᵈA: *λαλεῖς δ'* L ‖ 17 *ἑτέροισιν ἕλκεις* Meineke: *ἑτέ συνέλκεις* libri

3 (6, 19 Mein.) *Κλεάνθους.*

Ὅστις ἐπιθυμῶν ἀνέχετ' αἰσχροῦ πράγματος,
οὗτος ποιήσει τοῦτ' ἐὰν καιρὸν λάβῃ.

4 (6, 20 Mein.)

Πόθεν ποτ' ἆρα γίνεται μοιχῶν γένος;
ἐκ κριθιῶντος ἀνδρὸς ἐν ἀφροδισίοις.

5 (6, 21 Mein.) *Εὔφρονος* (fab. inc. fr. 2 com. IV p. 495).

Οὐκ ἔστι μοιχοῦ μεῖζον οὐδὲ ἓν κακόν·
ἐν ταῖς γὰρ ἑτέρων βούλετ' ἀτυχίαις τρυφᾶν.

6 (6, 23 Mein.) *Ἀναξανδρίδου* (fab. inc. fr. 9 com. III p. 199).

Μηδέποτε δοῦλον ἡδονῆς σαυτὸν ποίει.
λάγνης γυναικός ἐστιν, οὐκ ἀνδρὸς τόδε.

7 (6, 24 Mein.) *Ἀλέξιδος* (fab. inc. fr. 44 com. III p. 522).

Φεῦγ' ἡδονὴν φέρουσαν ὕστερον βλάβην.

8 (6, 25 Mein.) *Μενάνδρου Ὀργῇ* (fr. 5 com. IV p. 180).

Οὐκ ἔστι μοιχοῦ πρᾶγμα τιμιώτερον,
θανάτου γάρ ἐστιν ὤνιον.

9 (6, 26 Mein.: fab. inc. fr. 217 com. IV p. 282)

Ὄνειδος αἰσχρὸς βίος ὅμως, κἂν ἡδὺς ᾖ.

---

1 ecl. cum lemm. hab. L M A; *Ἡλεάνθους* (*Ἡ* rubr.) L || 4 ecl. lemmate non iterato hab. L, addito *τοῦ αὐτοῦ* M A || *ποτ' ἆρα* ni fallor A: *ποτὲ ἄρα* L M[d] | 6 tamquam in dialogo hunc alterius personae esse opinatur Meineke hist. cr. praef. p. XII || 7 ecl. cum lemm. hab. L M A; *Ἄφρονος* (*Ἀ* rubr.) L | 8 *ἔστιν* M[d] || 10 ecl. cum lemm. hab. L (post ecl. 6, 21 Mein.) M A (post ecl. 6, 22 Mein.); *Ἀλεξανδρίδου* L || 12 *ποίει* M[d] A: *ποιεῖ* L || 14 ecl. cum lemm. hab. L M A (post ecl. 6, 23 Mein.) Br (tamquam capitis primam); *ἀλεξίδι* A. idem versus inter monost. relatus est 532 || 16 ecl. cum lemm. hab. L M A; fab. n. om. L, post lemma rubr. *μενάνδρους* (sic) *ὀργῇ*: — duae vel tres litt. erasae M. cf. Eur. fr. 1029 v. 1 N.[2] || 17 *πρᾶγμα τιμιώτερον* Scaliger: *πρᾶγμ' ἀτιμότερον* (-*ώτερον* M[1] ut videtur) L M[d] A | 18 *ψυχῆς* pro *θανάτου* ci. Nauck *mél. gr.-rom.* III p. 319 VI p. 112 probabiliter | *ἔστ' ὤνιον* L, M[d] m. sec. *ἐστωνιον* M[d] m. pr. || 19 ecl. lemmate non iterato hab. L, addito *τοῦ αὐτοῦ* M A. fortasse eiusdem etiam fabulae est. adfert versum Plutarchus de aud. poet. p. 21 C ipse quoque gnomologio ut videtur *περὶ ἀκολασίας* usus: *ὁ δὲ Μένανδρος . . . τὴν θρασύτητα τῆς*

10 (6, 27 Mein.) *Ἀριστοφῶντος Ἰατροῦ* (fr. 2 com. III p. 358).

Αἱ τῶν ἑταιρῶν γὰρ διοπετεῖς οἰκίαι·
γεγόνασιν ἄβατοι τοῖς ἔχουσι μηδὲ ἕν.

11 (6, 28 Mein.) *Ἀπολλοδώρου Διαβόλου* (fr. 1 com. IV p. 444).

Καὶ κλείεθ' ἡ θύρα μοχλοῖς· ἀλλ' οὐδὲ εἷς
τέκτων ὀχυρὰν οὕτως ἐποίησεν θύραν,
δι' ἧς γαλῆ καὶ μοιχὸς οὐκ εἰσέρχεται.

12 (6, 29 Mein.) *Βάθωνος* (fab. inc. fr. 2 com. IV p. 503).

Πολλῶν σφόδρ' ὄντων χἀτέρων ἐν τῷ βίῳ,
ἐφ' οἷς ἅπαντες εἰκότως θορυβούμεθα,
μάλιστ' ἐμοὶ δήπουθε κινοῦσιν χολὴν
οἱ τῶν τρόπων φάσκοντες ἐπιεικῶς ἐρᾶν,
καὶ λανθάνειν δοκοῦντες, ὅτι πεπλασμένως
τὸ πρᾶγμα παρακεντοῦσι κοὐκ ἀληθινῶς.
τίνα γὰρ ἔχει, πρὸς τῆς Ἀθηνᾶς, διαφορὰν
ὁ τῶν νεωτέρων τε καὶ λείων τρόπος

ἀκολασίας ἐξέκοψεν εἰπὼν 'ὄνειδος — ᾖ', nisi veri videtur similius Stobaei auctorem hausisse ex Plutarcho. cf. p. 221, 12 adn. p. 226, 3 adn.

1 ecl. cum lemm. hab. L M A, fab. n. om. L ‖ 3 *Ὁ* pro *Αἱ* L rubr. ‖ 4 *ἄβατοι* M[d]: *ἄωτοι* L *ἅμα τοι* A ‖ 5 ecl. cum lemm. hab. L M A; *Ἀπολλοδώρου* L *Ἀπολλοδώρου διαβόλου* M[d] *Ἀπολλόδωρος* A. *Apollodori in calumniatore* non satis apte Gesn.[2] p. 79 mrg: *Διάβολον* personam comicam adulescentis moechum denuntiantis in Plauti Asinaria conferri iubet Buecheler. Carystium intellegendum esse testatur Pollux X 154. cf. Meineke hist. cr. p. 463 ‖ 7 *κλείεθ'* Grotius dict. poet. 43: *κλείεται* LM[d] A; *κλῄεθ'* Kock com. III p. 283. *κατακλείεθ'* pro *καὶ κλ.* Bothe, *κεκλείσεθ'* Naber mnem.[2] VIII p. 428 | 9 *εἰσδύσεται* maluit Meineke flor. IV p. LVI vix recte, melius *εἰσερπύσει* Nauck ‖ 10 ecl. cum lemm. hab. L M A; *ξάθωνος* (ξ rubr.) L. *Βάθων*, non *Βάτων* etiam Photii pinacographus, cf. Meineke hist. cr. p. 480 ‖ 11 *καὶ ἑτέρων* L M[d] ‖ 13 *δήπουθεν* L | *κινοῦσιν* A: *κινοῦσι* L M[d] ‖ 14 *ἐπιεικῶν* Wakefield ‖ 16 *παρακεντοῦσι* suspectum Meinekio qui docti nescio cuius coniecturam commemorat *περιπέττουσι* coll. Aristoph. Plut. 159. *παρακεντοῦσι* defendebat Herwerden mnemos.[2] VI p. 84 | *καὶ οὐκ* L M[d] | *ἀληθινῶς* M[d] A: *ἀληθῶς* L ‖ 18 *τε καὶ* L: *καὶ* M[d] A

[redacted]

παρ' ὃν οἱ δασεῖς ἔχουσι καὶ προβεβηκότες;

13 (6, 30 Mein.) *Φοινικίδου* (com. IV p. 511).

Μὰ τὴν Ἀφροδίτην, οὐκ ἂν ὑπομείναιμ' ἔτι,
Πυθιάς, ἑταιρεῖν· χαιρέτω· μή μοι λέγε,
ἀπέτυχον, οὐδὲν πρὸς ἐμέ, καταλῦσαι θέλω.
εὐθὺς ἐπιχειρήσασα φίλον ἔσχόν τινα
στρατιωτικόν· διαπαντὸς οὗτος τὰς μάχας
ἔλεγεν, ἐδείκνυ ⟨δ'⟩ ἅμα λέγων τὰ τραύματα,
εἰσέφερε δ' οὐδέν. δωρεὰν ἔφη τινὰ
παρὰ τοῦ βασιλέως λαμβάνειν, καὶ ταῦτ' ἀεὶ
ἔλεγεν· διὰ ταύτην ἣν λέγει τὴν δωρεὰν
ἐνιαυτὸν ἔσχε μ' ὁ κακοδαίμων δωρεάν.
ἀφῆκα τοῦτον, λαμβάνω δ' ἄλλον τινά,
ἰατρόν. οὗτος εἰσάγων πολλούς τινας
ἔτεμν' ἔκαε· πτωχὸς ἦν καὶ δήμιος.
[δ]εινότερος οὗτος θατέρου μοι κατεφάνη.
ὁ μὲν διήγημ' ἔλεγεν, ὁ δ' ἐποίει νεκρούς.
[τ]ρίτῳ συνέζευξ' ἡ τύχη με φιλοσόφῳ
[π]ώγων' ἔχοντι καὶ τρίβωνα καὶ λόγον·
[ε]ἰς προὖπτον ἦλθον ἐμπεσοῦσα δὴ κακόν.
[ο]ὐδὲν ἐδίδου γάρ· † ταῦτ' ἀλλ' ἂν αἰτῶντι ἔφη,

2 ecl. cum lemm. hab. L M A ‖ 3 *Μὰ τὴν Ἀφροδίτην* om. L | ἐκ Md A: Ἡκ (Ἡ rubr.) L ‖ 4 *μή μοι λέγε ἐπέτυχον* (id est ὅτι ἐπέτυχον ut Pythias de se ipsa id dixerit) H. Stephanus ‖ 5 *καταλύσαι* Md m. pr. ‖ 6 *ἔσχον* L: *ἔχον* Md (unde *εἶχον* Gesn.[2] p. 80 vulg.) *εἶχον* A ‖ *δ'* addidit Grotius dict. poet. p. 45 ‖ 11 *ἔλεγε* A | *λέγει* Nauck: *λέγω* libri: *ἔλεγε* Meineke flor. IV p. LVI ‖ 12 *ἔσχενμε* L Md | *δωρεάν* L A: *ἣν δωρεάν* Md; '*δωρεάν* idem est quod *προῖκα*' Kock com. III p. 335 ‖ 13 *λαμβάνω δ'* L: *λαμβάνω* Md A ‖ 14 *χωλούς* ci. Kock ‖ 15 *ἔτεμν'* Stephanus: *ἔτεμνε* L *ἔτεμνεν* Md A | *ἔκαε* L Md: *ἔκαιε* A ‖ 17 *διήγημ'* A *διηγημ'* Md: *δή μ'* L | *οὐδ' ἐποίει* A ‖ 19 *ῥύπον* pro *λόγον* maluit Kock, non recte ‖ 21 *ταῦτ' ἀλλ' ἂν αἰτῶντι ἔφη* L *ταῦτάν αὐτῷ τι ἔφη* Md *τάλαν αἰτῶ τι ἔφη* A; *εἰ δέ τ' αἰτοίην, ἔφη* Gesn.[2], inde vulg. *εἴ τι δ' αἰτοίην* (sic), *ἔφη* Grotius dict. poet. p. 45 *τάλαν, ἐπαιτεῖς; εἶτ' ἔφη* (*'o bona stipem petis?* amatoris verba sunt') dubitanter Meineke v. IV p. LVI. nihil profecit Cobet n. l. p. 126. *ταὐτὰ ἂν ᾖτουν ἔφη* 'sed idem dicebat semper, quidquid petebam, non bonum esse argentum' Buecheler

οὐκ ἀγαθὸν εἶναι τἀργύριον. ἔστω κακόν, διὰ τοῦτο δός μοι, ῥῖψον· οὐκ ἐπείθετο.

14 (6, 31 Mein.) *Σωκράτους.*

Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατὸν οὔτε αἰσχρὸν ἁμάρτημα χρόνῳ.

15 (6, 32 Mein.)

Τὸ μὲν πῦρ ὁ ἄνεμος, τὸν δὲ ἔρωτα ἡ συνήθεια ἐκκαίει.

16 (6, 9 Mein.)

Σωκράτης ἔφη τοὺς μοιχοὺς ὅμοιόν τι ποιεῖν τοῖς μὴ βουλομένοις ἐκ τῶν ἀπορρεουσῶν πίνειν, ἀλλ' ἐκ τοῦ ὕδατος τοῦ ἐν τῷ βάθει χείρονος ὑπάρχοντος.

17 (6, 33 Mein.) *Ἐκ τῶν Σερήνου.*

Διογένης κατεγέλα τῶν τὰ μὲν ταμιεῖα κατασημαινομένων μοχλοῖς καὶ κλεισὶ καὶ σημάντροις, τὸ δὲ σῶμα τὸ αὐτῶν πολλαῖς θυρίσι καὶ θύραις ἀνοιγόντων διά τε στόματος καὶ αἰδοίων καὶ ὤτων καὶ ὀφθαλμῶν.

18 (6, 36 Mein.)

---

2 *μοι ῥῖψον* (ρ M^d) L M^d: *μύριψον* A ‖ 3 ecl. cum lemm. hab. L M A (post ecl. 6, 30 Mein.) Br (post ecl. 6, 24 Mein. sed om. 6, 25—30) Mac. Chrys. (tamquam capitis primam). recurrit corp. Par. 82 Elt. (*Πλουτάρχου*); flor. Schenkelii (*Wien. st.* XI p. 28) 94 ‖ 6 ecl. hab. lemmate non iterato L Br, addito lemm. *τοῦ αὐτοῦ* M A Mac. Chrys. cum priore cohaeret in Br. gnome recurrit corp. Par. 234 Elt. (*Σωκράτους*); exc. Vind. 31 ‖ 7 *ὁ* om. exc. Vind. | *δ' ἔρωτα* L ‖ 9 ecl. hab. lemmate non iterato L (post ecl. 6, 32 Mein.), sine lemm. M (post ecl. 6, 8 Mein.), addito lemmate *σωκράτους* A (post ecl. 6, 8 Mein.) ‖ 11 *ἀπορρεουσῶν* libri, alterum *ρ* inter lin. add. M^d 'scil. *κρηνῶν*, ellipsi mihi aliunde non cognita' Meineke. cf. *Ἐννεάκρουνος*; mavult *ἀπορρύσεων* Haupt op. III p. 606 non nimis apte ‖ 13 ecl. sine lemm. hab. L (post ecl. 6, 9 Mein.), cum lemm. M A (post ecl. 6, 32 Mein.); *Σερήνου* Gaisford *σερίνου* M^dA ‖ 16 *αὐτῶν* ante Meinekium | *διά τε* L: *διὰ τοῦ* M^dA ‖ 18 ecl. hab. sine lemmate id est lemmate quod in archetypo adscriptum erat eclogae priori non iterato L (post ecl. 6, 33 Mein.), lemmate *ἐκ τῶν σερίνου* addito M A (post ecl. 6, 35 Mein.), sine lemm. Mac. Chrys. (post ecl. 6, 32 Mein.). apophthegma narravit Hieronymus Rhodius *ἐν ἱστορικοῖς ὑπομνήμασιν* teste Athenaeo XIII p. 557 e

Περὶ Εὐριπίδου τις ἔλεγεν ὅτι μισογύνης εἴη· καὶ ὁ Σοφοκλῆς 'ἀλλ' οὐκ ἔν γε τῇ κλίνῃ' ἔφη.

19 (6, 49 Mein.)

Χαλεπὸν ἔλεγεν εἶναι ὁ Πλάτων εὑρεῖν τοῖς μὲν ἀκολάστοις ἀγαθὴν ἡδονὴν τοῖς δὲ νοσοῦσιν ὑγιεινήν.

20 (6, 34 Mein.) *Ζήνωνος.*

Ὁ Ζήνων ᾐτιᾶτο τοὺς πλείστους λέγων ἐξὸν ἀπὸ τῶν πόνων τὰς ἡδονὰς φέρειν ἀπὸ τῶν μαγειρείων λαμβάνοντας.

21 (6, 35 Mein.) *Μουσωνίου* (rel. p. 255 Peerlk.).

Μουσώνιος ἔλεγεν ὑπερβολὴν ἀναισχυντίας εἶναι τὸ πρὸς μὲν τὰς τῶν πόνων ὑπομονὰς μεμνῆσθαι τῆς τοῦ σώματος ἀσθενείας, πρὸς δὲ τὰς τῶν ἡδονῶν ἐκλανθάνεσθαι.

22 (6, 8 Mein.) *Μουσωνίου* (ibid. p. 255).

Ἀρχὴ τοῦ μὴ κατοκνεῖν τὰ ἀσχήμονα ⟨πράττειν⟩ τὸ μὴ κατοκνεῖν τὰ ἀσχήμονα λέγειν.

---

1 *μισογύνης* L M^d Mac.: *μισογόν* (o supra) A ‖ 2 *ἐν τῇ σκηνῇ* ante *ἀλλ' οὐκ* addi vult Meineke non recte, debuit *ἔν γε τῇ σκηνῇ, ἀλλ' οὐκ ἐν τῇ κλ.*, sed apte adbreviantur Hieronymiana '*ἔν γε ταῖς τραγῳδίαις*' *ἔφη ὁ Σοφοκλῆς*, '*ἐπεὶ ἔν γε τῇ κλίνῃ φιλογύνης*' ‖ 3 ecl. hab. lemmate non iterato L (post ecl. 6, 36 Mein.), addito lemm. M A (post ecl. 6, 48 Mein.); *ἐκ τῶν σερίνου* M^d A sed evanida *ἐκ τῶν* A ‖ 4 *εἶναι* om. A ‖ 6 ecl. sine lemm. hab. L (post ecl. 6, 49 Mein. id est Sereni) Br (post ecl. 6, 32 Mein. sed Sereni omissis), addito lemmate M A (post ecl. 6, 33 Mein. id est Sereni). nescio igitur an perrexerit Ioannes in exscribendis Sereni apomnemoneumatis ‖ 7 Ὁ om. L Br nescio an recte | *Δήνων* (*Δ* rubr.) L ‖ 8 *τῶν* ante *πόνων* om. L | *μαγειρίων* M^d ‖ 9 *λαμβάνον*^τας compend. A¹ ex compendio syllabae *τας* fecit *σϊν* ut videtur A m. inc. voluit *λαμβάνουσϊν* ‖ 10 ecl. sine lemm. hab. L, addito lemm. M A. *Μουσωνίου* non defuisse in fonte libri L inde probabile quod non iterat ad eclogam proximam. vide etiam ad ecl. 18 ‖ 12 *ὑπομονὰς μεμνῆσθαι* M^d A: *ὑπομεμνῆσθαι* L ‖ 13 *ἐκλανθάνεσθαι* libri sed *ἐκ* bis L ‖ 15 ecl. sine lemm. (vide ad ecl. priorem) hab. L (post ecl. 6, 35 Mein.), addito lemmate M A (post ecl. 6, 7 Mein.) ‖ 16 *τοῦ* L A: *τὸ* sed una litt. post *ο* erasa M^d | *τὰ ἀσχήμονα το μη κατοκνεῖν* om. M^d | *πράττειν* addendum esse vidit Gaisford

23 (6, 61 Mein.) *Μουσωνίου ἐκ τοῦ Περὶ ἀφροδισίων* (rel. p. 210 Peerlk.).

Μέρος μέντοι τρυφῆς οὐ μικρότατον κἀν τοῖς ἀφροδισίοις ἐστίν, ὅτι ποικίλων δέονται παιδικῶν οἱ τρυφῶντες οὐ νομίμων μόνον ἀλλὰ καὶ παρανόμων, οὐδὲ θηλειῶν μόνον ἀλλὰ καὶ ἀρρένων, ἄλλοτε ἄλλους θηρῶντες ἐρωμένους, καὶ τοῖς μὲν ἐν ἑτοίμῳ οὖσιν οὐκ ἀρκούμενοι, τῶν δὲ σπανίων ἐφιέμενοι, συμπλοκὰς δ' ἀσχήμονας ζητοῦντες, ἅπερ ἅπαντα μεγάλα ἐγκλήματα ἀνθρώπου ἐστίν. χρὴ δὲ τοὺς μὴ τρυφῶντας ἢ μὴ κακοὺς μόνα μὲν ἀφροδίσια νομίζειν δίκαια τὰ ἐν γάμῳ καὶ ἐπὶ γενέσει παίδων συντελούμενα, ὅτι καὶ νόμιμά ἐστιν· τὰ δέ γε ἡδονὴν θηρώμενα ψιλὴν ἄδικα καὶ παράνομα, κἂν ἐν γάμῳ ᾖ. συμπλοκαὶ δ' ἄλλαι αἱ μὲν κατὰ μοιχείαν παρανομώταται, καὶ μετριώτεραι τούτων οὐδὲν αἱ πρὸς ἄρρενας τοῖς ἄρρεσιν, ὅτι παρὰ φύσιν τὸ τόλμημα· ὅσαι δὲ μοιχείας ἐκτὸς συνουσίαι πρὸς θηλείας εἰσὶν ἐστερημέναι τοῦ γίνεσθαι κατὰ νόμον, καὶ αὗται πᾶσαι αἰσχραί, αἵγε πράττονται δι' ἀκολασίαν· ὡς μετά γε σωφροσύνης οὔτ' ἂν ἑταίρᾳ πλησιάζειν ὑπομείνειέ τις, οὔτ' ἂν ἐλευθέρᾳ γάμου χωρὶς οὔτε μὰ Δία θεραπαίνῃ τῇ αὑτοῦ. τὸ γὰρ μὴ νόμιμον μηδ'

---

1 ecl. cum lemm. hab. L (post ecl. 6, 8 Mein.) M A (post ecl. 6, 60 Mein.); pro *Μουσωνίου* habet *Ἡ τοῦ* (*Ἡ* rubr.) L ubi *Τοῦ αὐτοῦ* recte coniecit R. Schoell, mox *ἐκ τοῦ* L; *ἐκ τῶν* M[d] A ‖ 3 *Ὁ ἔρος* (*Ὁ* rubr.) L ‖ 6 *ἀρρένων* L M[d] A; *ἀρσένων* Gesn.[2] p. 82, inde vulg. ‖ 8 *ἀρκούμενοι* M[d] A: *ἄρκου* L ‖ 9 *ἅπαντα* om. A ‖ 10 *ἐστίν. χρὴ* — 12 *καὶ νόμιμα* propter homoeoteleuton interciderunt L ‖ 11 *τα* (ut tacite corr. Gesn.[2]) A: *τῷ* M[d] ‖ 13 sq. exscripsit Clemens Alex. paedag. II 10, 92 p. 225 P.: *ψιλὴ γὰρ ἡδονή, κἂν ἐν γάμῳ παραληφθῇ, παράνομός ἐστι καὶ ἄδικος καὶ ἄλογος* | *τὰ δέ γε* L M[d]: *τὰ γέ δε* A | 14 *κἂν* (ut tacite corr. Gesn.[2]) L A: *καὶ* M[d] ‖ 17 *τὸ τόλμημα*] respicitur Platonis leg. I p. 636 C. an praeeunte Panaetio? vide ad p. 287, 2 et p. 174, 5 adn. | *συνουσίαι* Iacobs animadv. in Stob. p. 231: *οὖσαι* L M[d] A ‖ 19 *καὶ* om. L ‖ 20 *οὔτ'* Meineke: *οὐκ* L M[d] A | *ἑτέρᾳ* A[1] corr. A[2] | *πλησιάζειν* L M[d]: *πλησιάσαι* A, recepit Meineke ‖ 21 *ἐλευθέρια* L ‖ 22 *αὑτοῦ* tacite Meineke: *αὐτοῦ* libri. praestat opinor *ἑαυ-*

[redacted]

ἐπιφανὴς τῶν συνουσιῶν τούτων αἰσχός τε καὶ ὄνειδος μέγα τοῖς θηρωμένοις αὐτάς· ὅθεν οὐδὲ πράττειν φανερῶς οὐδὲν ἀνέχεται τῶν τοιούτων οὐδείς, κἂν ἐπ' ὀλίγον ἐρυθριᾶν οἷός τε ᾖ, ἐπικρυπτόμενοι δὲ καὶ λάθρᾳ οἵγε μὴ τελέως ἀπερρωγότες ταῦτα τολμῶσιν. καίτοι τό γε πειρᾶσθαι λανθάνειν ἐφ' οἷς πράττει τις ὁμολογοῦντος ἁμαρτάνειν ἐστί. 'νὴ Δία·' φησίν 'ἀλλ' οὐχ ὥσπερ ὁ μοιχεύων ἀδικεῖ τὸν ἄνδρα τῆς διεφθαρμένης γυναικός, οὐχ οὕτως καὶ ὁ τῇ ἑταίρᾳ συνὼν ἀδικεῖ τινὰ ἢ νὴ Δία τῇ μὴ ἐχούσῃ ἄνδρα· οὐδὲ γὰρ ἐλπίδα παίδων οὐδενὸς διαφθείρει οὗτος.' ἐγὼ δ' ἐπέχω μὲν λέγειν, ὡς πᾶς ὅστις ἁμαρτάνει καὶ ἀδικεῖ εὐθύς, εἰ

τοῦ. multo certe frequentius libri exhibent formas trisyllabas in Musonianis αὐτὸς αὐτοῦ formula similibus exceptis

1 τούτων om. A ‖ 2 ὅθεν — 5 τολμῶσιν] horum consimilia obtulerat Panaetius περὶ καθήκοντος. cf. Cicero de off. I 30, 105 *quin etiam, si quis est paulo ad voluptatem propensior, modo ne sit ex pecudum genere (sunt enim quidam homines non re, sed nomine), sed si quis est paulo erectior, quamvis voluptate capiatur, occultat et dissimulat appetitum voluptatis propter verecundiam.* cf. Plat. Phileb. p. 66 A ‖ 3 οὐδείς, ⟨ὃς⟩ κἂν Meineke v. IV p. LVII, sed transferebant καί particulam, quia invaluerat κἂν formula. ut idem sit quod ἐὰν καί, cf. Arr. Epict. diss. IV 7, 40 ‖ 5 καίτοι τό γε — 7 ἁμαρτάνειν ἐστίν exscripsit Clemens Alex. paed. II 10, 100 p. 230 P. ‖ 6 πράττοι A[1] πράττει A[2] | ὁμολογοῦντας A[1], corr. A[2] ‖ 7 νὴ Δία· — 11 διαφθείρει οὗτος sunt ficti interlocutoris per νὴ Δία concedentis priora, quibus opponuntur ἀλλ' οὐχ ὥσπερ κτέ. ‖ 8 τοῖς A[1] τῆς A[2] | 9 οὐχ οὕτως LM[d]A: οὕτως temere Gesn.[3] p. 83, inde vulg. repetitae negationis exemplum offert plane gemellum Xenopho oecon. 15, 10. cf. Krueger *gr. spr.*[5] I 67, 11, 3 | ἑταίρᾳ (ut corr. Gesn.[2] p. 83 mrg) LA: ἑτέρα M[d] ‖ 10 νὴ Δία L: νὴ δί' ὁ M[d]A. illud praestare videtur, ut unius vocabuli vim intendat formula, non ad totam pertineat sententiam. alioqui dicendum fuit ἢ μὰ Δί' ὁ τῇ μὴ ἐχούσῃ ἄνδρα] 11 οὕτως A[1] οὗτος A[2] | ἐγὼ corr. ex ἔχω L | δ' ἐπέχω scripsi: δὲ ἔχω libri: iteratur omissionis formula sed ut par est variata his ἵν' οὖν ἐῶ τὴν ἀδικίαν. quamquam possis ἐγὼ δ' ἐῶ μὲν λέγειν ‖ 12 πᾶς ὅστις — 288, 5 αἰσχρᾶς ἡδονῆς] cf. Clemens Alex. l. s.: πᾶς δὲ ὃς ἁμαρτάνει, καὶ ἀδικεῖ εὐθὺς οὐχ οὕτως τὸν πέλας, ἂν μοιχεύῃ, ὡς ἑαυτόν, ὅτι μεμοίχευκεν, ἀλλὰ πάντως αὐτὸν χείρονα ἀποφαίνει

καὶ μηδένα τῶν πέλας, ἀλλ' αὑτόν γε πάντως χείρονα ἀποφαίνων καὶ ἀτιμότερον· ὁ γὰρ ἁμαρτάνων, παρ' ὅσον ἁμαρτάνει, χείρων καὶ ἀτιμότερος. ἵνα οὖν ἐῶ τὴν ἀδικίαν, ἀλλ' ἀκολασίαν γε πᾶσα ἀνάγκη πάντως προσεῖναι τῷ ἡττωμένῳ αἰσχρᾶς ἡδονῆς καὶ χαίροντι τῷ μολύνεσθαι ὥσπερ αἱ ὕες· οἷος οὐχ ἥκιστά ἐστι καὶ ὁ δούλῃ ἰδίᾳ πλησιάζων, ὅπερ νομίζουσί τινες μάλιστά πως εἶναι ἀναίτιον, ἐπεὶ καὶ δεσπότης πᾶς αὐτεξούσιος εἶναι δοκεῖ ὅ τι βούλεται χρῆσθαι δούλῳ τῷ ἑαυτοῦ. πρὸς τοῦτο δὲ ἁπλοῦς μοι ὁ λόγος· εἰ γάρ τῳ δοκεῖ μὴ αἰσχρὸν μηδ' ἄτοπον εἶναι δούλῃ δεσπότην πλησιάζειν τῇ ἑαυτοῦ, καὶ μάλιστα εἰ τύχοι οὖσα χήρα, λογισάσθω ποῖόν τι καταφαίνεται αὐτῷ, εἰ δέσποινα δούλῳ πλησιάζοι. οὐ γὰρ ἂν δόξειεν εἶναι ἀνεκτόν, οὐ μόνον εἰ κεκτημένη ἄνδρα νόμιμον ἡ γυνὴ προσοῖτο δοῦλον, ἀλλ' εἰ καὶ ἄνανδρος οὖσα τοῦτο πράττοι; καίτοι τοὺς ἄνδρας οὐ δήπου τῶν γυναικῶν ἀξιώσει τις εἶναι χείρονας, οὐδ' ἧττον δύνασθαι τὰς ἐπιθυμίας παιδαγωγεῖν τὰς ἑαυτῶν, τοὺς ἰσχυροτέρους τὴν γνώμην τῶν ἀσθενεστέρων, τοὺς ἄρχοντας τῶν ἀρχομένων. πολὺ γὰρ κρείττονας εἶναι προσήκει τοὺς ἄνδρας, εἴπερ καὶ προεστάναι ἀξιοῦνται τῶν γυναικῶν· ἂν μέντοι ἀκρατέστεροι φαίνωνται ὄντες, . . . καὶ κακίονες. ὅτι δ' ἀκρασίας ἔργον καὶ οὐδενὸς

καὶ ἀτιμότερον. ὁ γὰρ ἁμαρτάνων παρ' ὅσον ἁμαρτάνει χείρων καὶ ἀτιμότερος αὐτὸς αὐτοῦ, πάντως δὲ ἤδη που καὶ ἀκολασία πρόσεστι τῷ ἡττωμένῳ αἰσχρᾶς ἡδονῆς

2 *ἀτιμώτερον* M[1d] ‖ 3 *χείρων καὶ ἀτιμότερος αὐτὸς αὐτοῦ* ex Clemente suppleri iubet Meineke v. IV p. LVII | *ἵν' οὖν* L *ἵνα οὖν* M[d], detrita hodie in A ‖ 5 *ἡττωμένω*, sed prius *ω* e corr. M[d] | *χαίροντα* A ‖ 6 *ὕες* non sine corr. M[d] ‖ 7 *ὅπερ* L M[d]: *ὥσπερ* A ‖ 10 *ἁπλοῦς μοι* M[d] A: *μοι ἁπλοῦς* L ‖ 11 *δούλην* (sic) A[1] ‖ 12 *μάλιστ'* M[d] | *τύχοι* M[d] (?) A: *τύχη* L; *τύχῃ* Gesn.[2], inde vulg. | *χῆρα*, *ῆ* e corr. M[d] | *λογισάσθω*, *σθω* e corr. M[d] ‖ 13 *πλησιάζοι* M[d] A: *πλησιάζει* L ‖ 14 *ἀνεκτὸν* (ut tacite corr. Gesn.[2]) L A: *ἀνεκτὸς* M[d] ‖ 16 *οὐ δήπου* Halm lect. Stob. p. 2: *οὐδέπου* LM[d]A ‖ 20. 21 *προσήκει εἶναι* A ‖ 21 *προσήκει* M[d] A: *πρ°δόκει* h. e. *προσδόκει* L ‖ 23 hiare orationem vidit Geelius, qui

ἄλλου ἐστὶ τὸ δεσπότην δούλῃ πλησιάζειν, τί δεῖ καὶ λέγειν; [γνώριμον γάρ.]

24 (6, 62 Mein.) *Ἐκ τοῦ Περὶ κουρᾶς* (Musonii rel. p. 207 Peerlk.).

Ἔφη μὲν παραπλησίως τὸν ἄνδρα χρῆναι τῇ κεφαλῇ προσφέρειν κουράν, ὡς ἀμπέλῳ προσφέρομεν τομήν, τοῦ μόνον ἀφαιρεῖν χάριν τὸ ἄχρηστον ...... οὔτε γενείῳ πώγωνα, ἀλλ' εἶναί τινα καὶ ταύτην σκέπην ὑπὸ τῆς φύσεως ἡμῖν πεπορισμένην· τὸν δὲ πώγωνα καὶ σύμβολον γεγονέναι τοῦ ἄρρενος, ὥσπερ ἀλεκτρυόνι λόφον καὶ λέοντι χαίτην· ὅθεν τῆς μὲν κόμης ἀφαιρετέον εἶναι τὸ ἐνοχλοῦν, τοῦ δὲ πώγωνος οὐδέν. οὐδὲ γὰρ ἐνοχλεῖν αὐτὸν οὐδέν, ἕως ἂν ὑγιαίνῃ τὸ σῶμα ἢ νόσον μὴ τοιαύτην νοσῇ, ἧς ἕνεκα γένοιτ' ἂν ἀφαίρεσις τῶν ἐπὶ τοῦ γενείου τριχῶν. εὖ γὰρ εἴρηται, ἔφη, τὸ τοῦ Ζήνωνος, ὅτι τούτου ἕνεκα καρτέον οὗ καὶ κομητέον, τοῦ κατὰ

εἰσὶν vel *ἔσονται* addi iubet post *χακίονες* apud Peerlkampum p. 355. rectius Peerlkamp lacunam statuit post *ὄντες* ubi supplet *φαίνονται*, cui *φανοῦνται* praefert Meineke. mihi magis placet *ἔσονται* (vel *εἰσί*) *καὶ κακίονες* propter superiora illa *οὐ δή που τῶν γυναικῶν ἀξιώσει τις εἶναι χείρονας κτέ.* vel haec *πολὺ γὰρ κρείττονας εἶναι προσήκει κτέ.* | *δ'* M^d A: *δϊ'* L

2 v. *γνώριμον γάρ* expunxit Nauck (per litt.) ‖ **3** ecl. cum lemm. hab. L M A (post ecl. 6, 61 Mein.) Br (post ecl. 6, 34 Mein. sed Musonianis quae praecedebant interceptis); *Μουσωνίου* non iterant L M^d addit Br, *τοῦ αὐτοῦ* A ‖ **5** *Ἔφημεν* L ‖ **6** *τοῦ* L M^d A Br; *οὐ* nescio quo errore $Gesn.^2$ p. 83, inde vulg. ‖ **7** *ἀφαίρειν* L | post *ἄχρηστον* non nihil deesse manifestum. Meinekio videntur intercidisse *οὔτε γὰρ ἀμπέλῳ μάτην δεδόσθαι φύλλα*, plura mihi, quorum extrema fuerint talia *εἶναι δ' οὔτε κεφαλῇ κόμην πάντως ἄχρηστον* | *οὔτε* L M^d A: *οὔτοι* ex *οὕτω* ut videtur corr. Br^1 ‖ **9** *τε* post *ἡμῖν* add. L | *πεπορισμένην* sed *ρ* e corr. M^1 ut videtur ‖ **10** cf. Clemens Alex. paed. III 3, 19 p. 263 P. *τοῦτο οὖν τοῦ ἀνδρὸς τὸ σύνθημα, τὸ γένειον, δι' οὗ καταφαίνεται ὁ ἀνήρ ... σύμβολον τῆς κρείττονος φύσεως* | *ἀλεκτρυόνι*, sed *ρ* in ras. M^1 ‖ **11** praeter Clementem p. 263 P. confer Ps.-Luc. Cyn. 14. plura collegit Peerlkamp | *ἀφαιρετέον*, *αι* e corr. M^d ‖ 12 sq. *οὐδὲ γὰρ ἐνοχλεῖν αὐτὸν οὐδέν* om. L ‖ **13** *μὲν* pro *μὴ* L ‖ **14** *νοσῇ* L M^d A, sed *σῇ* in ras. M^d: *νοσεῖ* Br | *ἕνεκα* tacite Meineke: *εἵνεκα* L M^d A Br, sed *εἵ* in ras. M^1 ut videtur ‖ **15** *τούτου* pro *τὸ τοῦ* A

φύσιν, ἵνα μὴ βαρούμενός τις ὑπὸ τῆς κόμης μηδ' ἐν-χλούμενος ᾖ πρὸς μηδεμίαν ἐνέργειαν. ἡ γὰρ δὴ φύσις τὸ μὲν ἐνδεὲς μᾶλλον φαίνεται φυλαξαμένη, τὸ δὲ περιτ-τὸν ἧττον, ἐπί τε φυτῶν καὶ ἐπὶ ζῴων, ὅτι τῆς προσθέ-σεως τοῦ ἐνδεοῦς ἡ ἀφαίρεσις τοῦ περιττοῦ πολὺ ῥᾴων καὶ εὐπετεστέρα ἐστίν. χρὴ δ' ἐφ' ἑκάτερα τὸν λογισ-μὸν τὸν ἀνθρώπινον τῇ φύσει βοηθεῖν, ὥστ' ἀναπιμ-πλάναι τὰς ἐνδείας ἐφ' ὅσον οἷόν τε ἀναπληροῦν, ἐλατ-τοῦν δὲ καὶ ἀφαιρεῖν τὰς περιττότητας. ὅθεν κ[…] καρτέον μόνης ἕνεκα τῆς ἀφαιρέσεως τοῦ περιττοῦ κ[…] οὐχὶ κόσμου χάριν, ὅπερ οἴονται δεῖν ἔνιοι τὰ μ[…] γένεια λεαινόμενοι καὶ μιμούμενοι τοὺς ἀγενείους ἢ ν[…] Δία τοὺς ἄρτι γενειάσκοντας, τὴν δὲ κεφαλὴν οὐχ ὁμοία κειρόμενοι, διαφόρως δὲ τὰ πρόσω τῶν ὀπίσω. καὶ γά[ρ] τοι δοκῶν εἶναι κόσμος οὗτος πολλὴν ἀκοσμίαν ἔχ[ει] καὶ διαφέρει οὐδὲν τοῦ καλλωπισμοῦ τοῦ τῶν γυναικῶ[ν]· ἐκεῖναί τε γὰρ τὰ μέν τινα μέρη πλέκουσι τῶν τριχῶ[ν] τὰ δὲ καθιᾶσι τὰ δὲ ἕτερόν τινα σκευάζουσι τρόπο[ν] ἵνα φαίνωνται καλλίονες, οἵ τε κειρόμενοι οὕτως ἄνδρε[ς] κατάδηλοί εἰσι δι' ἐπιθυμίαν τοῦ φαίνεσθαι καλοὶ οἷ[ς] βούλονται ἀρέσκειν, τὰς μὲν τέλεον ἀφαιροῦντες τῶ[ν] τριχῶν, τὰς δὲ πλάττοντες οὕτως ὡς ἂν εὐοπτότατα

---

2 *μηδε* in v. *μηδεμίαν* superscr. L ‖ 3 *μὲν* primo omissum po[…] suppl. A[1] ‖ 4 *προθέσεως* L ‖ 5 *πολὺ* om. Br | *ῥᾶον* A ‖ 6 *εὐπετε-στέρα ἐστίν* (*ἐστί* Br) M[d] A Br: *εὐπεστέ* (sic, sed lacuna ante *χρὴ*) L […] *δὲ* libri | *ἑκα*^{το} L ‖ 8 *ἐφ' ὅσον — ἐλαττοῦν δὲ* om. L | *ἐλαττοῦ[ν]* Br: *ἐλάττους* M[d]A ‖ 10 *μόνης*, *ης* compend. sed ut cum *ου* confun[di] possit A ‖ 12 *γένεια λεαινόμενοι* L M[d] Br: *γένη ἀλεαινόμενοι* A […] *λεαινόμενοι*, utrumque *ε* in ras. M ‖ 16 *τοῦ καλλωπισμοῦ τοῦ τῶ[ν] γυναικῶν* L M[d] Br: *τοῦ τῶν γυναικῶν καλλωπισμοῦ* ex A Meinek[e] frustra ‖ 19 *ἄνδρες κατάδηλοι* L, M[d] (sed litteris *ατά* nunc paene eluti[s]) Br: *κατάδηλοι* A; *ἄνδρες δῆλοι* (cf. M[d]) Gesn.[2] p. 84, inde vulg. ‖ […] *ὡς ἂν εὔοπτά τε ᾖ* (*τε ἐν* M[d] A) L M[d] A *ὡς ἂν εὔοπτοι ὦσι* sed *π*[…] *ὦσι* ex corr. Br[1]: corr. Beving *rem. cr.* p. 17; *ὡς ἂν εὔοπτοι ὦσιν* […] dubitanter Gaisford Meineke, qui poterant lenius *ὡς ἂν ⟨ὦσιν⟩ εὐοπτ[…]* sed Bevingii rationem putat praestare etiam Buecheler *σχήματα* poti[us] intellegens aut *πλάσματα*

γυναιξί τε καὶ παισὶν ὑφ' ὧν ἐπαινεῖσθαι δέονται. ἤδη δέ τινες καὶ αὐτῷ τῷ βαρίνεσθαι τὰς τρίχας κείρονται, καὶ λεαίνουσι τὰ γένεια, σαφῶς οὗτοί γε κατεαγότες ὑπὸ τῆς τρυφῆς καὶ ἐκνενευρισμένοι παντάπασιν, οἵ γε ἀνέχονται ἀνδρόγυνοι καὶ γυναικώδεις ὁρᾶσθαι ὄντες, ὅπερ ἔδει φεύγειν ἐξ ἅπαντος, εἰ δὴ τῷ ὄντι ἄνδρες ἦσαν. τί γὰρ δὴ καὶ εἰσὶν αἱ τρίχες ἀνθρώποις βάρος; εἰ μὴ νὴ Δία καὶ τοῖς ὀρνέοις τὰ πτερὰ φαίη τις [ἂν] εἶναι βάρος.

25 (6, 10 Mein.) *Σόλωνος.*

Ἡδονὴν φεῦγε ἥ τις ὕστερον λύπην τίκτει.

26 (6, 11 Mein.) *Δημοκρίτου* (fr. mor. 181 Mull.).

Ἔνιοι πολίων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσι.

27 (6, 55 Mein.: fr. mor. 91 Mull.)

Ἡμερήσιοι ὕπνοι σώματος ὄχλησιν ἢ ψυχῆς ἀδημοσύνην ἢ ἀργίην ἢ ἀπαιδευσίην σημαίνουσι.

28 (6, 57 Mein.: fr. mor. 50 Mull.)

---

2 *αὐτῷ τῷ* L M[d] Br: *αὐτὸ τὸ* A, unde ⟨*δι'*⟩ *αὐτὸ τὸ* ci. Meineke | 3 sqq. cf. Clemens Alex. l. c. 16 p. 261 P. *τὸ γὰρ ἄνδρας ὄντας ξυρᾶσθαι καὶ λεαίνεσθαι πῶς οὐκ ἀγεννές;* || 8 *καὶ* ante *τοῖς* oscitanter om. Gesn.², inde vulg. || 9 *ἂν* seclusit Meineke || 10 ecl. cum lemm. hab. L (post ecl. 6, 62 Mein.) M A (post ecl. 6, 9 Mein.); *Φόλωνος* (*Φ* rubr.) L. eadem supra Soloni tribuitur III 1, 172 p. 114, 7 || 11 *Ὁ* (rubr.) *δονὴν* L | *φεῦγε* L ut Stob. III 1: *φύγε* M[d] A | *ὕστερον* om. supra | *λύπην τίκτει* M[d] A, Stob. III 1: *τίκτει λύπην* L || 12 ecl. cum lemm. hab. L M A (post ecl. 6, 10 Mein.) Mac. Chrys. (post ecl. 6, 36 Mein.). iteratur corp. Par. 591 Elt. (*Δημοκρίτου*). alii sententiae adhaeret infra 7, 26 Mein. (*Δημοκρίτου*) ubi vide || 13 *ἔνιοι δὲ* infra | *πολίων* Mullach: *πόλεων* L M A corp. Par., A infra *πόνων* M[d] infra || 14 ecl. habet lemmate non iterato L (post ecl. 6, 11 Mein.), lemmate *δημοκρίτου* adiecto MA (post ecl. 6, 54 Mein.) Mac. Chrys. (post ecl. 6, 15 Mein). recurrit corp. Par. 199 Elt. (*Δημοκρίτου γνῶμαι*); flor. Schenkelii (*Wien. st.* XI p. 20) 57 || 15 *ἡμεροίσιοι* flor. Schenk. | *ὕπνοι* sed *ὕπν* in ras. corr. M | *καὶ ψ.* Mac. | *ἀδαημοσύνην* proponit Wachsmuth v. *ἀπαιδ.* deleto tamquam glossemate || 17 ecl. hab. lemmate non iterato L (post ecl. 6, 55 Mein.), addito lemm. *δημοκρίτου* M A (post ecl. 6, 56 Mein.). cf. Galenus v. XVII 1 p. 521 ed. Kühn *Δημόκριτον μὲν εἰρηκέναι μικρὰν ἐπιληψίαν εἶναι τὴν συνουσίαν* Clemens Alex. paed. II 10, 94 p. 227 P. *μικρὰν ἐπιληψίαν την συνουσίαν ὁ Ἀβδηρίτης ἔλεγε σοφιστής, . . . ἄνθρω-*

Ξυνουσίη ἀποπληξίη σμικρή· ἐξέσσυται γὰρ ἄνθρ πος ἐξ ἀνθρώπου.

29 (6, 12 Mein.) *Πλάτωνος ἐκ τοῦ Φαίδωνος* (p. 68 *Καίτοι καλοῦσί γε ἀκολασίαν τὸ ὑπὸ τῶν ἡδον ἄρχεσθαι.*

30 (6, 13 Mein.) *Εὐσεβίου* (fr. 8 III p. 9 Mullach).

Τῶν τῇσιν αἰσχρῇσιν ἐπιθυμίῃσιν ἐπιχειρεόντ ἐλεύθερον μηδένα νόμιζε. τῶν γὰρ τοὺς τῇ τύχῃ δι λους κεκτημένων πολὺ βαρυτέροις οὗτοι δεσπόταις το καταναγκάζουσι ταῦτα δουλεύουσιν.

31 (6, 14 Mein.: fr. 9 l. c.)

Γαστριμαργίη σῶμα πιαίνει, ἀλογίην ἐγείρει, ψυχ δὲ τὸ κάλλιστον λογισμὸν κοιμίζει.

32 (6, 15 Mein.: fr. 10 l. c.)

πος γὰρ ἐξ ἀνθρώπου ἐκφύεται καὶ ἀποσπᾶται Galen. v. X p. 176 ed. Kühn *φησὶ δὲ Δημόκριτος ἄνθρωπον ἐξ ἀνθρώπου ἐσσύσθαι* (*ἐξεσεῖσθαι* libr.: corr. Lortzing) *καὶ κύνα ἐκ κυνὸς καὶ βο ἐκ βοός*. Hippolyt. omnium haeres. refut. VIII c. 14 p. 428 Gotting. *ἄνθρ πος ἐξ ἀνθρώπου ἐξέσσυται, φησί* (sc. *Μονόιμος*), *καὶ ἀποσπᾶτ* (cf. Clem.) *πληγῇ τινι μεριζόμενος*, cuius etiam extrema ver Democrito vindicanda esse putavit Lortzing *über die eth. fragm. Dem krit's* p. 22; Plin. n. h. XXVIII 16. cf. Menagii obs. in Laert. IX 43

1 *Μυνουσίη* (*Μ* rubr.) L *ξυνουσία* M[d] A | *ἀποπληξίη* L M[d] A, vi Lortzing l. c. ‖ 3 ecl. cum lemm. hab. L (post ecl. 6, 57 Mein.) M A (p ecl. 6, 11 Mein.); *Πλάτωνος ἐκ τοῦ Φαίδωνος* M A, *Ϊλάτωνος* (*Ϊ* rub *ἐκ τοῦ Φαίαν* L. legitur supra in maiore excerpto III 4, 121 p. 253, 21 6 ecl. cum lemm. hab. L M A ‖ 7 *ταῖς αἰσχραῖς ἐπιθυμίαις* libri correxi | *ἐπιχειρεόντων* in rasura utque aegre legi possit A ‖ 9 mali *ἐκτημένων* cf. III 4, 99 p. 243, 8 | *πολλὸν* mavult Meineke | *βαρ τέροις* M[d] *βαρυτέρας* L *βαρύτεροι* A | *δεσπόταις* L *δεσπόται* M A | *τοῖς καταναγκάζουσι ταῦτα δουλεύουσι* (-*σιν* M[d]) L M[d] *τοῖς* τ. *δουλεύειν* A: v. *τοῖς καταναγκάζουσι ταῦτα* quae uncis incluser Schow tamquam glossema suspecta sunt Orellio op. sent. et mor. p. 729, possunt tamen defendi. *πάντα* pro *ταῦτα* proposuit Meineke v. I p. LVI. nolim audacius *βαρύτεροι οὗτοι δεσπόται, τοῖσι κατὰ ἀναγκαίη πάντα δουλεύουσιν*. dativus si recte se habet, utique repone *δεσπότῃ* cum Mullachio ‖ 11 ecl. hab. lemmate non iterato L, addito *τοῦ αὐτ* MA ‖ 12 *πιαίνῃ* L | *ἐγείρει* Valckenaer: *ἀείρει* libri ‖ 13 *τὸ* L: *τὸν* om. A | ⟨*τὸν*⟩ *λογ.* Cobet mnemos.[2] II p. 94 ‖ 14 ecl. hab. lemmate n

Ψυχῇ σῶμα ἀνθρώπου ἔδοσαν οἱ θεοί, ὥστε τῇ ψυχῇ τὸ σῶμα ὑπηρετέεσθαι. οἱ δὲ πολλοὶ τὸ ἔμπαλιν ποιέουσι, σώματι πρὸς πάντα καὶ ἐς μοῦνα τὰ ἐκείνου ὑπουργήματα τὸ κρέσσον τῷ χείρονι καὶ θνητῷ ἀθάνατον ψυχὴν καταδουλεύμενοι.

33 (6, 16 Mein.: fr. 11 l. c.)

Ἀκολασίῃ ψυχὴν λυμαίνεται καὶ σῶμα διαφθείρει, τόπερ ἕνεκα τῆς ἡδονῆς καὶ ὥστε αὐτῷ χαρίζεσθαι τὸν ἔχοντά μιν καταναγκάσει τὰ αἴσχιστα πάντα ποιέειν.

34 (6, 17 Mein.: fr. 12 l. c.)

Ἀκολασίῃ ψυχὴν ὥσπερ νῆα ἄνεμοι ὑπολαβόντες τῇ καὶ τῇ φορέοντες συγκλονέουσι καὶ ἀπειθέα ποιέουσι τῷ κυβερνήτῃ, οὕτω καὶ ψυχὴν δονέουσα καὶ ἀπειθέα νόῳ εἶναι καταναγκάζουσα εἰρηνεύειν καὶ ἐν τῷ εὐδίῳ καὶ ἀσφαλεστάτῳ ὁρμέειν οὐ ξυγχωρέει.

35 (6, 38 Mein.) *Διογένους.*

Διογένης ʽ*παρὰ μὲν τῶν θεῶν*ʼ *φησιν* ʽ*ὑγίειαν εὐ-*

---

iterato L (post ecl. 6, 14 Mein.), addito *εὐσεβίου* Br (post ecl. 6, 55 Mein. sed prioribus omissis) Mac. Chrys. (post ecl. 6, 11 Mein. sed prioribus omissis), praemisso *τοῦ αὐτοῦ* MA (post ecl. 6, 14 Mein.)

1 *Ἡ ψυχῇ* (*Ἡ* rubr.) L | *ἔδησαν* male ci. Gesn.³ p. 79, hinc Schowii ʽW.ʼ (id est ed. Wechel.). moneo propter Meinekium, vide mus. Rh. XLI p. 52 ‖ 3 *σώματι προς πάντα χαριζόμενοι τὰ ἐκείνου ὑπουργήματα κτέ.* audacius Iacobs animadv. in Stob. p. 230. sed sententiam intellectu facilem rhetorica ambagine adaugere solet Eusebius | *εἰς μόνα* Mac. qui in prioribus *ὥς γε* ‖ 4 *τὸ* sed *ο* m. inc. in ras. A | *χρεῖσσον* Mac. | etiam v. *καὶ θνητῷ ἀθάνατον ψυχην* in Eusebio ferenda videntur. ʽhis grallis incedere ille voluitʼ Buecheler ‖ 5 *καταδουλευμένοι* (sic) M[d] *καταδουλούμενοι* L *καταδουλευόμενοι* A Mac.: corr. Hirschig ‖ 6 ecl. hab. lemmate non iterato L, addito *τοῦ αὐτοῦ* MA ‖ 9 *καταναγκάσαι* operarius Gaisfordi ed. Lips., inde Meineke ‖ 10 ecl. hab. lemmate non iterato L, addito *τοῦ αὐτοῦ* MA ‖ 11 *ψυχεῖν* A ‖ 12 *τῇ καὶ τῇ* quod revocavi L M[d]: *τῇδε καὶ τῇδε* A | *ποιοῦσι* et mox *οὕτως* A ‖ 16 ecl. sine lemm. hab. L (post ecl. 6, 17 Mein.), addito lemm. MA (post ecl. 6, 17 Mein.). cf. Laert. VI 28. Democritus Stobaei flor. 18, 31 Mein. Clemens Alex. strom. VII 4 p. 843 P. ‖ 17 post *Διογένης* tamquam post lemma distinxit fortius L | *φησὶ* post *Διογ.* collocat A | *ὑγεῖαν* et mox *ὑγείᾳ* L

χονται· πάντα δὲ οἱ πλεῖστοι τἀναντία τῇ υγιείᾳ πράττουσιν'.

36 (6, 3 Mein.)

῾Ο Διογένης τοὺς πολλοὺς ἔφασκεν ζῶντας μὲν ἑαυτοὺς σήπειν λουτροῖς τέγγοντας καὶ ἀφροδισίοις τήκοντας, ἀποθνήσκοντας δ' ἐν θυμιάμασι τὸ σῶμα κελεύειν ἀποτίθεσθαι, τοὺς δ' ἐν μέλιτι, ὑπὲρ τοῦ μὴ ταχέως κατασαπῆναι.

37 (6, 4 Mein.)

Διογένης ἔλεγεν τῶν οἴκων ἔνθα πλείστη τροφὴ πολλοὺς μῦς εἶναι καὶ γαλᾶς· καὶ σώματα δὲ τὰ πολλὴν τροφὴν δεχόμενα καὶ νόσους ἴσας ἐφέλκεσθαι.

38 (6, 5 Mein.)

Διογένης πρός τινα νέον περιττῶς καλλωπιζόμενον 'εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς' εἶπεν, 'εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς'.

39 (6, 52 Mein.)

---

1 nescio an fuerit olim *εὔχονται ⟨ἄνθρωποι⟩, πάντα δὲ [οἱ πλεῖστοι] τάν.* cf. flor. 18 | *πράττ.*] prius *τ* in ras. A ‖ 3 ecl. sine lemmate, id est lemmate prioris quod erat non iterato L (post ecl. 6, 38 Mein.), addito lemm. M A (post ecl. 6, 2 Mein.) ‖ 4 *῾Ο* om. L rubr. nescio an recte | *πλουσίους* ci. Meineke v. IV p. LVI ‖ 6 *τὸ σῶμα κελεύειν* M^d A: *κελεύειν τὸ σῶμα* L ‖ 7 *τοὺς δ' ἐν μ.* secludi vult Meineke l. c. si quid mutandum, malim suppleri supra *ἀποθνήσκοντας δὲ ⟨τοὺς μὲν⟩ ἐν θ.* dixit *ἐν μέλιτι τεθείς* de corpore Agesilai Xen. hist. gr. V 3, 19 ‖ 9 ecl. hab. lemmate non iterato L, addito *διογένους* (*τοῦ αὐτοῦ* A) M A. recurrit corp. Par. 589 Elt. (*Διογένους*) ‖ 10 *Διογένης ἔλεγεν* om. corp. Par. | *τὸν οἶκον* A ‖ 11 *καὶ σώματα δὴ* (*δὲ* corp. Par.) *τα* L A (sed *δῆτα* A^1 corr. A m. inc.) corp. Par.: *καὶ σώματα* M^d; *καὶ δὴ σώματα* tacite Gesn.^{2} p. 78, inde vulg. | *τὴν* pro *τα* L ‖ 12 an ⟨*βλάβας*⟩ *καὶ νόσους ἴσας*? | *ἴσας* libri; *ἴσους* (voluit fort. *ἴσως*) Gesn.^{2}, inde vulg. *πλείστας* ci. Iacobs animadv. in Stob. p. 230 ‖ 13 ecl. hab. lemmate non iterato L, addito lemmate M A; *διογένους* M *τοῦ αὐτοῦ* A. recurrit paululum variata Anton. I c. 60 p. 65 (*Διογένης*) Maxim. c. 44 p. 640 Combef. (sine lemm.); flor. Mon. 175. cf. Laert. VI 54 ‖ 14 *Διογένης* M^d A: *῾Ο αὐτὸς* L ‖ 15 *ἀτυχεῖς* M^d A: *εὐτυχεῖς* L ‖ 17 ecl. hab. lemmate non iterato L (post ecl. 6, 5 Mein.), addito lemmate *Διογένους* M A (post ecl. 6, 51 Mein.). cf. ecl. 8

Διογένης οὐδὲν εὐωνότερον εἶναι μοιχοῦ διωρίζετο τὴν ψυχὴν τῶν δραχμῆς ὠνίων προϊεμένου.

40 (6, 53 Mein.)

Διογένης ἐσθίειν ἔλεγε τοὺς ἀνθρώπους τοῦ ἥδεσθαι ἕνεκα, ἀποπαύεσθαι δὲ αὐτοῦ τούτου χάριν μὴ ἐθέλειν.

41 (deest Mein.)

Διογένης τοὺς μὲν ἄλλους ἔφησε ζῆν, ἵνα ἐσθίωσιν, αὐτὸν δὲ ἐσθίειν, ἵνα ζῇ.

42 (6, 1 Mein.) *Σοφοκλέους.*

Σοφοκλῆν ἤρετό τις πρεσβύτην ὄντα, εἰ ἔτι πλησιάζοι γυναικί· ὃ δ' 'εὐφήμει' ἔφη 'ἀσμενέστατα ἀπέφυγον ὥσπερ λυττῶντα καὶ ἄγριον δεσπότην'.

43 (6, 2 Mein.) *Ἀντισθένους* (apophth. 8 Winckelm.).

Ἀντισθένης ἔλεγεν τὰς μὴ κατὰ θύραν εἰσιούσας ἡδονὰς ἀναγκαῖον μὴ κατὰ θύραν πάλιν ἐξιέναι· δεήσει οὖν τμηθῆναι ἢ ἐλλεβορισθῆναι.

44 (6, 6 Mein.) *Ἐρυξιμάχου.*

---

1 *ἀνούστερον* vel *ἀνοώτερον* Nauck *mél. gr.-rom.* VI p. 113. interpretor: qui carissimum profundat pro vilissimis, eo nil esse vilius ‖ 2 *δραγμῆς* L ‖ 3 ecl. hab. lemmate non iterato L, addito *τοῦ αὐτοῦ* M A ‖ 4 *Διογένης* M^d A: *Ὁ αὐτὸς* L ‖ 6 ecl. sine lemm. hab. L (post ecl. 6, 53 Mein.) Br (post ecl. 6, 15 Mein.), om. M A. Diogenis nomen (quod om. L) suspectum non modo propter flor. 17, 22 Mein. aut Musonium flor. 18, 38 p. 299 Mein., sed quia Socrati hoc apophthegma adsignatur fere constanter. testimonia congesserunt Wyttenbach ad Plut. mor. p. 21 E Sternbach gnomol. Vat. 479. vereor ne margini inposita fuerit sententia propter prioris similitudinem quandam ‖ 7 *Διογένης* Br, om. L ‖ 8 melius *αὐτὸς* ‖ 9 ecl. cum lemm. hab. L (post ecl. 6, 41 Hense) M A (post ecl. 6, 37 Mein.); *Σοφοκλῆς* (sive *-ῆν*) L. testimonia quorum agmen ducit Plato de rep. I 3 p. 329 B collegerunt multi ‖ 10 *Σοφοκλῆν* om. L cf. lemma | *Ἤρετό* (*Ἡ* rubr.) L | *πλησιάζοι* L M^d A: *-ζει* Gesn.^{2} p. 78, inde vulg. ‖ 12 *λυττῶντα* L A: *λυττόντα* M^d ‖ 13 ecl. sine lemm. hab. L, addito lemm. M A. cf. flor. 18, 27 Mein. ‖ 15 *θύραν* A: *θύρας* L M^d | *δεήσει* L M^d A: *-σειν* tacite Gesn.^{2}, inde vulg., fortasse recte, sed vide flor. 18 ‖ 16 *ἐλλεβορισθῆναι* libri hic et infra ‖ 17 ecl. sine lemm. hab. L (post ecl. 6, 2 Mein.) Br (post ecl. 6, 41 Hense), addito lemm. *Ἐρυξιμάχου* M A (post ecl. 6, 5 Mein.). cf. Democritus Stobaei III 6, 28 p. 292, 1. verba *τὴν συνουσίαν εἶναι μικρὰν ἐπιληψίαν* Hippocrati adscribit Gellius XIX 2

Ἐρυξίμαχος τὴν συνουσίαν μικρὰν ἐπιληψίαν ἔλεγεν, καὶ χρόνῳ μόνῳ διαλλάττειν.

45 (6, 7 Mein.) *Ἀντιφῶντος* (fr. 130 Blass[2]).

Ἔνθα τὸ ἡδύ ἐστι, πλησίον που καὶ τὸ λυπηρόν· αἱ γὰρ ἡδοναὶ οὐκ ἐπὶ σφῶν αὐτῶν ἐμπορεύονται, ἀλλ' ἀκολουθοῦσιν αὐταῖς λῦπαι καὶ πόνοι.

46 (6, 39 Mein.) *Κράτης* (Plut. de Alex. fort. p. 336 C).

Κράτης ἰδὼν χρυσῆν εἰκόνα Φρύνης τῆς ἑταίρας ἐν Δελφοῖς ἑστῶσαν ἀνέκραγεν ὅτι τοῦτο τῆς Ἑλλήνων ἀκρασίας τρόπαιον ἕστηκεν.

47 (6, 40 Mein.) *Αἰσώπου.*

Αἴσωπος πρὸς τὸν τῷ κάλλει κακῶς κεχρημένον εἶπεν 'ὁποίῳ ἱματίῳ ἠμφιεσμένος κακῶς αὐτὸ ἀποδύῃ'.

---

2 v. *Ταὐτὰ μὲν οὖν* — 17 *ἄλλο ὑπ' ἄλλου* om. **M A** | *ταὐτὰ* dedi ex Platone: *αὐτὰ* S; *ταῦτα* ex ed. Plat. Gesn.[1], inde vulg. | *ταῦτα* reposui ex S Plat.: *ταύτῃ* ex ed. Plat. Gesn.[1], inde vulg. ‖ **4** *πάντα ταῦτα* S: *ταῦτα πάντα* Plat. ‖ **5** *εἴπερ καὶ ἡ ἀδικία τε καὶ δ.* Plat. | **7** *ἐν ψυχῇ* S Plat.: *ἐν τῇ ψυχῇ* Tr., inde vulg. | *ἐμποιεῖν* temere ex ed. Plat. Gesn.[1], inde vulg. ‖ **10** *τὸ δὲ* tacite ex Platone Gesn.[1], inde vulg.: *τὰ δὲ* S ‖ **11** *ἐμποιεῖν* Plat. *ἐμποιεῖν* S: *ποιεῖν* Tr. Platonis vulg. ‖ **12** *καθιστάναι* — **13** *παρὰ φύσιν* om. Tr. ‖ **13** *νόσον* tacite ex Platone Gesn.[1] p. 94, inde vulg.: *νόσων* S ‖ **14** *ἄλλο ὑπ' ἄλλου* tacite ex Platone Gesn.[1], inde vulg.: *ἀλλ' οὐχ ὑπάλλου* S ‖ **16** *τε* tacite ex Platone addidit Gesn.[1], inde vulg. ‖ **17** *ἄλλο* tacite ex Platone addidit Gesn.[1], inde vulg. ‖ **18** a verbis *Κομιδῇ, ἔφη* rursus initium capiunt **M A** lemmate *τοῦ αὐτοῦ* praemisso | *ὑγίεια* A: *ὑγεία* S *ὕγεια* M[d] ‖ **21** *οὖν οὐ* M[d] A Plat.: *οὖν* S

πὸν ἤδη, ὡς ἔοικεν, ἡμῖν ἐστὶ σκέψασθαι, πότερον αὖ λυσιτελεῖ δίκαιά τε πράττειν καὶ καλὰ ἐπιτηδεύειν καὶ εἶναι δίκαιον, ἐάν τε λανθάνῃ ἐάν τε μὴ τοιοῦτος ὤν, ἢ ἀδικεῖν τε καὶ ἄδικον εἶναι, ἐάν περ μὴ διδῷ δίκην μηδὲ βελτίων γίγνηται κολαζόμενος. Ἀλλά, ἔφη, ὦ Σώκρατες, γελοῖον ἔμοιγε φαίνεται τὸ σκέμμα γίγνεσθαι ἤδη, εἰ τοῦ μὲν σώματος τῆς φύσεως διαφθειρομένης δοκεῖ οὐ βιωτὸν εἶναι οὐδὲ μετὰ πάντων σιτίων τε καὶ ποτῶν καὶ παντὸς πλούτου καὶ πάσης ἀρχῆς, τῆς δὲ αὐτοῦ τούτου ᾧ ζῶμεν φύσεως ταραττομένης τε καὶ διαφθειρομένης βιωτὸν ἄρα ἔσται, ἄνπερ τις ποιῇ ὃ ἂν βουληθῇ ἄλλο πλὴν τοῦτο, ὁπόθεν κακίας μὲν καὶ ἀδικίας ἀπαλλαγήσεται, δικαιοσύνην δὲ καὶ ἀρετὴν κτήσεται, ἐπειδή περ ἐφάνη γε ὄντα ἑκάτερα οἷα ἡμεῖς διεληλύθαμεν. ⟨Γελοῖον γάρ, ἦν δ' ἐγώ· ἀλλ' ὅμως ἐπείπερ ἐνταῦθα ἐληλύθαμεν,⟩ ὅσον οἷόν τε σαφέστατα κατιδεῖν ὅτι ταῦτα οὕτως ἔχει, οὐ χρὴ ἀποκάμνειν. Ἥκιστα, νὴ τὸν Δί', ἔφη, πάντων ἀποκνητέον.

62 (9, 65 Mein.) *Πλάτωνος πολιτείας θ'* (IX p. 588 B).

Εἶεν δή, εἶπον· ἐπειδὴ ἐνταῦθα λόγου γεγόναμεν, ἀναλάβωμεν τὰ πρῶτα λεχθέντα, δι' ἃ δεῦρ' ἥκομεν· ἦν δέ που λεγόμενον λυσιτελεῖν ἀδικεῖν τῷ τελέως μὲν ἀδίκῳ, δοξαζομένῳ δὲ δικαίῳ. ἢ οὐχ οὕτως ἐλέχθη; Οὕτω μὲν

---

1 *ἡμῖν* SA Plat.: *ἐν ἡμῖν* M[d] | *αὖ* SA Plat.: *οὖν αὖ* M[d] ‖ 3 *λανθάνῃ* S M[d] Plat.: *λανθάνει* A *μανθάνῃ* Tr. ‖ 5 *μηδὲ* (vel *μὴ δὲ*) S M[d] Plat.: *καὶ* A ‖ 6 *τελοῖον* (Γ suprascr.) A ‖ 9 *αὐτοῦ τούτου* tacite ex Platone Gesn.[1], inde vulg.: *αὐτοῦ τοῦ* S A *αὖ τούτου* M[d] ‖ 10 *τε* om. Platonis non nulli ‖ 11 *ἐάν περ* Plat. ‖ 13 *ἐπειδή περ* Plat.: *ἐπειδή γε* libri Stob. ‖ 14 *οἷα* Plat.: *οἱ δ'* S *οἳ δ'* A, a Platone discrepare M non notatur collatione Dindorfiana ‖ 15 *γελοῖον — ἐληλύθαμεν* ex Platone addidit Gesn.[1], inde vulg.: propter homoeoteleuton interciderunt in S M[d] A ‖ 17 *δία* A ‖ 18 *ἀποκνητέον* S M[d] A libri Plat.: *ἀποκμητέον* Bekker ‖ 19 ecl. cum lemm. hab. S, om. M A; *Πλάτωνος πολιτείας θ'* scripsi: *πλατ[ω] πολι[τ] θ̄* S *Πλάτωνος τῇ ἐν πολιτείᾳ* Tr. p. 77 *Πλάτωνος τῇ θ Πολιτείᾳ* Gaisford

[redacted]

οὖν. Νῦν δή, ἔφην, αὐτῷ διαλεγώμεθα, ἐπειδὴ διωμολογησάμεθα τό τε ἀδικεῖν καὶ τὸ δίκαια πράττειν ἣν ἑκάτερον ἔχει δύναμιν. Πῶς; ἔφη. Εἰκόνα πλάσαντες τῆς ψυχῆς λόγῳ, ἵνα εἰδῇ ὁ ἐκεῖνα λέγων οἷα ἔλεγεν. Ποίαν τινά; ἦ δ' ὅς. Τῶν τοιούτων τινά, ἦν δ' ἐγώ, οἷαι μυθολογοῦνται παλαιαὶ γενέσθαι φύσεις, ἥ τε Χιμαίρας καὶ ἡ Σκύλλης καὶ Κερβέρου, καὶ ἄλλαι τινὲς συχναὶ λέγονται ξυμπεφυκυῖαι ἰδέαι πολλαὶ εἰς ἓν γενέσθαι. Λέγονται γάρ, ἔφη. Πλάττε τοίνυν μίαν μὲν ἰδέαν θηρίου ποικίλου καὶ πολυκεφάλου, ἡμέρων δὲ θηρίων ἔχοντος κεφαλὰς κύκλῳ καὶ ἀγρίων, καὶ δυνατοῦ μεταβάλλειν καὶ φύειν ἐξ αὑτοῦ πάντα ταῦτα. Δεινοῦ πλάστου, ἔφη, τὸ ἔργον· ὅμως δ' ἐπειδὴ εὐπλαστότερον κηροῦ καὶ τῶν τοιούτων λόγος, πεπλάσθω. Μίαν δὴ τοίνυν ἄλλην ἰδέαν λέοντος, μίαν δὲ ἀνθρώπου· πολὺ δὲ μέγιστον ἔστω τὸ πρῶτον καὶ δεύτερον τὸ δεύτερον. Ταῦτα, ἔφη, ῥᾴω· καὶ πέπλασται. Σύναπτε τοίνυν αὐτὰ εἰς ἓν τρία ὄντα, ὥστε πῃ ξυμπεφυκέναι ἀλλήλοις. Συνῆπται, ἔφη. Περίπλασον δὴ αὐτοῖς ἔξωθεν ἑνὸς εἰκόνα, τὴν τοῦ ἀνθρώπου, ὥστε τῷ μὴ δυναμένῳ τὰ ἐντὸς ὁρᾶν, ἀλλὰ τὸ ἔξω μόνον ἔλυτρον ὁρῶντι ἓν ζῷον φαίνεσθαι, ἄνθρωπον. Περιπέπλασται, ἔφη. Λέγωμεν δὴ τῷ λέγοντι ὡς λυσιτελεῖ τούτῳ ἀδικεῖν τῷ ἀνθρώπῳ, δίκαια δὲ πράττειν οὐ ξυμφέρει, ὅτι οὐδὲν ἄλλο φησὶν ἢ λυσιτελεῖν αὐτῷ τὸ παντοδαπὸν θηρίον εὐωχοῦντι ποιεῖν ἰσχυρὸν καὶ τὸν λέοντα

---

1 *νῦν δὴ — δίκαιον ἐπαινῶν* (p. 399, 15) adfert Eusebius praep. evang. XII 46 ‖ 5 *τινά* Plat. Eus.: *τίνα* S ‖ 8 *ἰδέαι* ut 9 et 14 *ἰδέαν* tacite ex Platone Gesn.[1] p. 94: *εἰδέαι* et *εἰδέαν* S ‖ 9 *πλάττε* tacite ex Platone Gesn.[1], inde vulg.: *πράττε* S ‖ 12 *αὑτοῦ* Plat.: *αὐτοῦ* S ‖ 13 *εὐπλαστότερον* tacite ex Platone Gesn.[1], inde vulg.: *μυθοπλαστότερον* S; *μῦθος πλαστότερον* latere videtur Gaisfordo, mihi *εὐπλαστότερον* (*μῦθος* superscr.), ut interpretem deprendere videar ‖ 14 *ὁ λόγος* Eus. ‖ 15 *δὲ ανου* S: *δ' ἀνου* Tr. p. 77, inde vulg. ‖ 20 *ἀλλὰ τὸ* ex Platone Gaisford: *ἀλλά τι* S; *ἀλλ' ἀπ'* Tr. *ἀλλὰ τῷ* Gesn.[2] p. 120, inde vulg. ‖ 23 *τούτῳ* Plat.: *τοῦτō* S; *τοῦτο* Tr., inde vulg. ‖ 24 *διότι* Eus. cf. Iamblichus protrept. p. 31, 19 sqq. Pist.

ι περὶ τὸν λέοντα, τὸν δὲ ἄνθρωπον λιμοκτονεῖν οιεῖν ἀσθενῆ, ὥστε ἕλκεσθαι ὅπῃ ἂν ἐκείνων ὁπό- ἄγῃ, καὶ μηδὲν ἕτερον ἑτέρῳ συνεθίζειν μηδὲ φίλον , ἀλλ' ἐᾶν αὐτὰ ἐν αὐτοῖς δάκνεσθαί τε καὶ μαχό- ἐσθίειν ἄλληλα. Παντάπασι γάρ, ἔφη, ταῦτ' ἂν ὁ τὸ ἀδικεῖν ἐπαινῶν. Οὐκοῦν αὖ ὁ τὰ δίκαια λυσιτελεῖν φαίη ἂν δεῖν ταῦτα ⟨πράττειν⟩ καὶ λέγειν, ὅθεν τοῦ ἀνθρώπου ὁ ἐντὸς ἄνθρωπος ἐγκρατέστατος, καὶ τοῦ πολυκεφάλου θρέμματος ήσεται ὥσπερ γεωργός, τὰ μὲν ἥμερα τρέφων καὶ τεύων, τὰ δ' ἄγρια ἀποκωλύων φύεσθαι, ξύμμαχον ἰμενος τὴν τοῦ λέοντος φύσιν, καὶ κοινῇ πάντων ινος, φίλα ποιησάμενος ἀλλήλοις τε καὶ αὐτῷ, θρέψει; Κομιδῇ γὰρ αὖ λέγει ταῦτα ὁ τὸ δίκαιον ῖν. Κατὰ πάντα δὴ τρόπον ὁ μὲν τὰ δίκαια ἐγκω- ν ἀληθῆ ἂν λέγοι, ὁ δὲ τὰ ἄδικα ψεύδοιτο. πρὸς δονὴν καὶ πρὸς εὐδοξίαν καὶ ὠφέλειαν σκοπου- ὁ μὲν ἐπαινέτης τοῦ δικαίου ἀληθεύει, ὁ δὲ ψέκτης ὑγιὲς οὐδὲ εἰδὼς ψέγει ὅ τι ψέγει. Οὔ μοι δοκεῖ, ς, οὐδαμῇ γε. Πείθωμεν τοίνυν αὐτὸν πρᾴως, οὐ ιων ἁμαρτάνει, ἐρωτῶντες· ὦ μακάριε, οὐ καὶ τὰ καὶ αἰσχρὰ νόμιμα διὰ τὰ τοιαῦτ' ἂν φαῖμεν γε-

---

ὁπότερον tacite ex Platone Gesn.[1], inde vulg.: πότερον S ον Tr. || 3 ἕτερον ex Platone Gaisford: ἑτέραν S Tr., inde 4 ἐν αὑτοῖς S Plat.: ἐν αὐτοῖς Tr., inde vulg. || 5 ταῦτ' ἂν posui ex Platone: ταῦτα λέγοι S; ταῦτα λέγει Tr., inde vulg. || τειν ex Platone addidit Gaisford || 9 θρέμματος tacite ex Gesn.[1], inde vulg.: θέματος S || 11 τιθασεύων Platonis libri || 13 αὑτῷ Plat.: αὐτῶ S || 15 πάντα δὴ τρόπον S: πάντα δὴ Plat. | τὰ δίκαια S Platonis haud pauci: τὸ δίκαιον Tr., g. || 16 τὰ ἄδικα S Plat.: τἄδικα Tr. p. 78, inde vulg. | πρὸς πρός τε γὰρ tacite ex Platone Gesn.[1], inde vulg. || 19 ὅ, τι Plat. om. Tr.: ὅ τι ψέγοι tacite ex ed. Plat. Gesn.[1], inde 22 αἰσχρα S Platonis meliores: τὰ αἰσχρὰ Tr., inde vulg. | διὰ ῦτα (praetuli τοιαῦτ') ἂν φαῖμεν ex Platone Gaisford: διαττά- τάττοι Tr.) ἂν φαμὲν S; διὰ τὰ τοιαῦτ' (τοιαῦτα Gesn.[2]) φᾶ- rarius Gesn.[1], inde vulg.

γονέναι· τὰ μὲν καλὰ τὰ ὑπὸ τῷ ἀνθρώπῳ, μᾶλλον δ' ἴσως τὰ ὑπὸ τῷ θείῳ τὰ θηριώδη ποιοῦντα τῆς φύσεως, αἰσχρὰ δὲ ⟨τὰ⟩ ὑπὸ τῷ ἀγρίῳ τὸ ἥμερον δουλούμενα; ξυμφήσει ἢ πῶς; Ἐὰν ἐμοί, ἔφη, πίθηται. Ἔστιν οὖν, εἶπον, ὅτῳ λυσιτελεῖ ἐκ τούτου τοῦ λόγου χρυσίον λαμβάνειν ἀδίκως, εἴπερ τοιόνδε ⟨τι⟩ γίγνεται, λαμβάνων τὸ χρυσίον ἅμα καταδουλοῦται τὸ βέλτιστον ἑαυτοῦ τῷ μοχθηροτάτῳ; ἢ εἰ μὲν λαβὼν χρυσίον υἱὸν ἢ θυγατέρα ἐδουλοῦτο, καὶ ταῦτ' εἰς ἀγρίων τε καὶ κακῶν ἀνδρῶν, οὐκ ἂν αὐτῷ ἐλυσιτέλει οὐδ' ἂν πάμπολυ ἐπὶ τούτῳ λαμβάνειν, εἰ δὲ τὸ αὐτοῦ θειότατον ὑπὸ τῷ ἀθεωτάτῳ τε καὶ μιαρωτάτῳ δουλοῦται καὶ μηδὲν ἐλεεῖ, οὐκ ἄρα ἄθλιός ἐστι καὶ πολὺ ἐπὶ δεινοτέρῳ ὀλέθρῳ χρυσὸν δωροδοκεῖ ἢ Ἐριφύλη ἐπὶ τῇ τοῦ ἀνδρὸς ψυχῇ τὸν ὅρμον δεξαμένη; Πολὺ μέντοι, ἦ δ' ὃς ὁ Γλαύκων· ἐγὼ γάρ σοι ὑπὲρ ἐκείνου ἀποκρινοῦμαι. Οὐκοῦν καὶ τὸ ἀκολασταίνειν οἴει διὰ τὰ τοιαῦτα πάλαι ψέγεσθαι, ὅτι ἀνίεται ἐν τῷ τοιούτῳ τὸ δεινὸν τὸ μέγα ἐκεῖνο καὶ πολυειδὲς θρέμμα εἰς ἐλευθερίαν πέρα τοῦ δέοντος; Δῆλον, ἔφη. Ἡ δ' αὐθάδεια καὶ δυσκολία ψέγεται οὐχ ὅταν τὸ λεοντῶδές τε καὶ ὀφεῶδες αὔξηται καὶ συντείνηται ἀναρμόστως; Πάνυ μὲν

3 *δὲ τὰ ὑπὸ* tacite ex Platone Gesn.[3] p. 120, inde vulg.: *δ' ὑπὸ* S | *τὸ* ante *ἥμερον* ex *τω* corr. S || 4 *ξυμφήσει* S Plat.: *συμφήσει* Tr., inde vulg. | *Ἐάν μοι* Plat. | *πίθηται* S: *πείθηται* Plat. || 6 *τι* tacite ex Platone addidit Gesn.[1] p. 96, inde vulg. || 7 *ἑαυτοῦ* S Plat.: *αὑτοῦ* Tr., inde *αὑτοῦ* Gesn.[1], vulg. || 8 *ἢ εἰ μὲν* tacite ex Platone Gesn.[1], inde vulg.: *ἢ ὁ μὲν* S | *χρυσίον* dedi ex Platone: *χρυσὸν* S | 10 *λαμβάνειν* S Plat.: *λαμβάνῃ* Platonis non nulli; *λαμβάνοι* temere ex ed. Plat. Gesn.[1], inde vulg. || 11 *αὑτοῦ* Gesn.[1], inde vulg.: *αὐτοῦ* S; *ἑαυτοῦ* Plat. || 13 *ἐστιν* S || 14 *ἢ* tacite ex Platone Gesn.[1], inde vulg.: *ἡ* S || 16 *καὶ τὸ ἀκολ.* — 19 *πέρα τοῦ δέοντος* supra dedit gnomologus a Iamblicho non nihil inmutata III 6, 48 p. 297, 3 || 17 *τὰ* om. Plat. | *πάλαι* supra lin. S[1] et sic Plat.: *πάντα* Tr., inde vulg. || 18 *μέγα* tacite ex Platone Gesn.[1], inde vulg.: *μετὰ* S | *εἰς ἐλευθερίαν* quod abest a Platone legit etiam Iambl. || 20 *λεοντῶδές τε καὶ* S Plat.: *λεοντῶδες καὶ* Tr., inde vulg. | 21 *συντείνηται* Plat., inde margo Gesn.: *συγγίνηται* S

ρυφὴ μὲν οὖν καὶ μαλθακία οὐκ ἐπὶ τῇ αὐτοῦ χαλάσει τε καὶ ἀνέσει ψέγεται, ὅταν ἐν αὐτῷ ἐμποιῇ; Τί μήν; Κολακεία δὲ καὶ ἀνελευθερία ν τις τὸ αὐτὸ τοῦτο, τὸ θυμοειδές, ὑπὸ τῷ ὀχηρίῳ ⟨ποιῇ⟩, καὶ ἕνεκα χρημάτων καὶ τῆς ἐκείνου ας προπηλακιζόμενον ἐθίζῃ ἐκ νέου ἀντὶ λέοντος ν γίγνεσθαι; Καὶ μάλα, ἔφη. Βαναυσία δὲ καὶ ·νία διὰ τί, οἴει, ὄνειδος φέρει; ἢ δι' ἄλλο τι ν ἢ ὅταν τις ἀσθενὲς φύσει ἔχῃ τὸ τοῦ βελτίδος, ὥστε μὴ ἂν δύνασθαι ἄρχειν τῶν ἐν αὐτῷ των, ἀλλὰ θεραπεύειν ἐκεῖνα, καὶ τὰ θωπεύματα ιόνον δύνηται μανθάνειν; Ἔοικεν, ἔφη. Οὐκοῦν ὁ τοιοῦτος ὑφ' ὁμοίου ἄρχηται οἵουπερ ὁ βέλδοῦλον αὐτὸν φαμὲν δεῖν εἶναι ἐκείνου τοῦ βελκαὶ ἔχοντος ἐν αὐτῷ τὸ θεῖον ἄρχον, οὐκ ἐπὶ ῃ τοῦ δούλου οἰόμενοι δεῖν ἄρχεσθαι αὐτόν, ὥσπερ αχος ᾤετο τοὺς ἀρχομένους, ἀλλ' ὡς ἄμεινον ⟨ὂν⟩ ὑπὸ θείου καὶ φρονίμου ἄρχεσθαι, μάλιστα μὲν ἔχοντος ἐν ἑαυτῷ, εἰ δὲ μή, ἔξωθεν ἐφεστῶτος, δύναμιν πάντες ὅμοιοι ὦμεν καὶ φίλοι τῷ αὐτῷ ὑμενοι; Καὶ ὀρθῶς γ', ἔφη. Δηλοῖ δέ γε, ἦν δ' ιὶ ὁ νόμος, ὅτι τοιοῦτον βούλεται, πᾶσι τοῖς ἐν ει ξύμμαχος· ὣν καὶ ἡ τῶν παίδων ἀρχή, τὸ μὴ υθέρως εἶναι, ἕως ἂν ἐν αὐτοῖς ὥσπερ ἐν πόλει αν καταστήσωμεν, καὶ τὸ βέλτιστον θεραπεύσαντες ' ἡμῖν τοιούτῳ ἀντικαταστήσωμεν φύλακα ὅμοιον

ιὲν οὖν S: δὲ Plat. | μαλακία S[1] (θ superscr.) ‖ 5 ποιῇ tacite ex Platone esn.[1], inde vulg. ‖ 10 ἐν αὐτῷ Ast: ἐν αὐτῶ S et libri Plavidetur ‖ 13 ὑπὸ ὁμοίου Plat. ‖ 15 καὶ ἔχοντος S Platonis ·οντος Platonis libri meliores | ἐν αὐτῷ Plat.: ἐν αὐτῶ S; erarius Gesn.[2] p. 121, inde vulg. ‖ 17 ὂν addidi ex Platone ‖ ιυτῷ Tr. p. 79: ἐν αὐτῶι S; ἐν αὐτῷ Plat. ‖ 22 ὅτι το · Iambl. | βούλεται S Platonis non nulli Iambl.: βουλεύεται vulg. ‖ 24 ἐὰν ἐλευθέρους Plato, inde tacite Gesn.[1], vulg.: ἀνος compend. S et simili mendo librarii ἀνελευθέρους Iambl. ‖ pro τῷ et mox τούτῳ pro τοιούτῳ Iambl. | ἡμῖν S Plat. Iambl.: , inde vulg. | φύλακας operarius Gesn.[1], inde vulg.

καὶ ἄρχοντα ἐν αὐτῷ, καὶ τότε δὴ ἐλεύθερον ἀφίεμεν. Δηλοῖ γάρ, ἦ δ' ὅς.

63 (9, 66 Mein.) *Πλάτωνος Πολιτείας ι'* (X p. 612 A).

Οὐκοῦν, ἦν δ' ἐγώ, τά τε ἄλλα ἀπελυσάμεθα ἐν τῷ λόγῳ, καὶ οὐ τοὺς μισθοὺς οὐδὲ τὰς δόξας δικαιοσύνης ἀπηνέγκαμεν, ὥσπερ Ἡσίοδόν τε καὶ Ὅμηρον ὑμεῖς ἔφατε, ἀλλ' αὐτὸ δικαιοσύνην αὐτῇ ψυχῇ ἄριστον εὕρομεν, καὶ ποιητέον εἶναι αὐτῇ τὰ δίκαια, ἐάν τ' ἔχῃ τὸν Γύγου δακτύλιον, ἐάν τε μή, καὶ πρὸς τοιούτῳ δακτυλίῳ τὴν Ἄιδος κυνέην; Ἀληθέστατα, ἔφη, λέγεις. Ἆρ' οὖν, ἦν δ' ἐγώ, ὦ Γλαύκων, νῦν ἤδη ἀνεπίφθονόν ἐστι πρὸς ἐκείνοις καὶ τοὺς μισθοὺς τῇ δικαιοσύνῃ καὶ τῇ ἄλλῃ ἀρετῇ ἀποδοῦναι, ὅσους καὶ οἵους τῇ ψυχῇ παρέχει παρ' ἀνθρώπων τε καὶ θεῶν, ζῶντός τε ἔτι τοῦ ἀνθρώπου καὶ ἐπειδὰν τελευτήσῃ; Παντάπασι μὲν οὖν, ἦ δ' ὅς. Ἆρ' οὖν ἀποδώσετέ μοι ἃ ἐδανείσασθε ἐν τῷ λόγῳ; Τί μάλιστα; Ἔδωκα ὑμῖν τὸν δίκαιον δοκεῖν ἄδικον εἶναι καὶ τὸν ἄδικον δίκαιον. ὑμεῖς γὰρ ἡγεῖσθε, κἂν εἰ μὴ δυνατὸν εἴη ταῦτα λανθάνειν καὶ θεοὺς καὶ ἀνθρώπους, ὅμως δοτέον εἶναι τοῦ λόγου ἕνεκα, ἵνα αὐτὴ δικαιοσύνη πρὸς ἀδικίαν αὐτὴν κριθείη. ἢ οὐ μνημονεύεις; Ἀδικοίην μέντἄν, ἔφη, ⟨εἰ μή⟩. Ἐπειδὴ τοίνυν, ἦν δ' ἐγώ, κεκριμέναι εἰσίν, ἐγὼ πάλιν ἀπαιτῶ ὑπὲρ δικαιοσύνης, ὥσπερ ἔχει δόξης καὶ παρὰ θεῶν καὶ παρ' ἀνθρώπων, καὶ ἡμᾶς

1 *ἐλεύθερον* Plat. Iambl.: *ἐλευθερίαν* S || 3 ecl. cum lemm. hab. S M A || 4 *Οὐκοῦν, ἦν δ' ἐγώ — μὴ λανθάνετον* (p. 403, 8) om. M A || 7 *αὐτο δικαιοσύνην* tacite Gesn.[2] p. 122, inde vulg.: *αὐτοδικαιοσύνην* S ut Platonis non nulli | *αὐτῇ ψυχῇ* S Plat.: *αὐτῇ τῇ ψυχῇ* Tr., inde vulg. || 10 *κυνῆν* Plat. || 13 *ὅσους τε καὶ οἵους* Plat. || 18 *ἡγεῖσθε* tacite ex Platone Gesn.[1], inde vulg.: *ἠτεῖσθε* S vitium fortasse non temptandum in Stobaeo, nam *ᾐτεισθε* Platonis non nulli || 20 *ἵνα* Plat.: *ἵν' ἡ* S || 22 *εἰ μή* tacite ex Platone addidit Gesn.[1], inde vulg. | *τοίνυν κτέ.*] discrepant, ut videtur, Platonis non nulli; *τοίνυν κεκριμέναι εἰσίν, ἦν δ' ἐγώ, πάλιν ἀπαιτῶ* scr. Hermann || 24 *καὶ παρὰ θεῶν* Tr., inde vulg., Plat.: *παρὰ θεῶν* S | *ἡμᾶς* S ut Platonis plurimi: *ὑμᾶς* tacite ex ed. Plat. Gesn.[3] p. 122, inde vulg.

ὁμολογεῖν περὶ αὐτῆς δοκεῖσθαι οὕτως, ἵνα καὶ τὰ νικητήρια κομίσηται, ἃ ἀπὸ τοῦ δοκεῖν κτωμένη δίδωσι τοῖς ἔχουσιν αὐτήν, ἐπειδὴ καὶ τὰ ἀπὸ τοῦ εἶναι ἀγαθὰ διδοῦσα ἐφάνη καὶ οὐκ ἐξαπατῶσα τοὺς τῷ ὄντι λαμβάνοντας αὐτήν. Δίκαια, ἔφη, αἰτῇ. Οὐκοῦν, ἦν δ' ἐγώ, πρῶτον μὲν τοῦτο ἀποδώσετε, ὅτι θεούς γε οὐ λανθάνει ἑκάτερος αὐτῶν οἷός ἐστιν; Ἀποδώσομεν, ἔφη. Εἰ δὲ μὴ λανθάνετον, ὁ μὲν θεοφιλὴς ἂν εἴη, ὁ δὲ θεομισής, ὥσπερ καὶ κατ' ἀρχὰς ὡμολογοῦμεν. Ἔστι ταῦτα. Τῷ δὲ θεοφιλεῖ οὐχ ὁμολογήσομεν, ὅσα γε ἀπὸ θεῶν γίγνεται, πάντα γίγνεσθαι ὡς οἷόν τε ἄριστα, εἰ μή τι ἀναγκαῖον αὐτῷ κακὸν ἐκ προτέρας ἁμαρτίας ὑπῆρχεν; Πάνυ μὲν οὖν. Οὕτως ἄρα ὑποληπτέον περὶ τοῦ δικαίου ἀνδρός, ἐάν τ' ἐν πενίᾳ γίγνηται, ἐάν τ' ἐν νόσοις ἤ τινι ἄλλῳ τῶν δοκούντων κακῶν, ὡς τούτῳ ταῦτα εἰς ἀγαθόν τι τελευτήσει ζῶντι ἢ καὶ ἀποθανόντι. οὐ γὰρ δὴ ὑπό γε θεῶν ποτε ἀμελεῖται, ὃς ἂν προθυμεῖσθαι ἐθέλῃ δίκαιος γίγνεσθαι καὶ ἐπιτηδεύων ἀρετὴν εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι θεῷ. Εἰκός γ', ἔφη, τὸν τοιοῦτον μὴ ἀμελεῖσθαι ὑπὸ τοῦ ὁμοίου. Οὐκοῦν περὶ τοῦ ἀδίκου τἀναντία τούτων δεῖ διανοεῖσθαι; Σφόδρα γε. Τὰ μὲν δὴ παρὰ θεῶν τοιαῦτ' ἄττ' ἂν εἴη νικητήρια τῷ δικαίῳ. Κατὰ γοῦν ἐμὴν δόξαν, ἔφη. Τί δ', ἦν δ' ἐγώ, παρ' ἀνθρώπων; ἆρα οὐχ ὧδε ἔχει, εἰ δεῖ τὸ ὂν τιθέναι; οὐχ

---

1 περὶ αὐτῆς Tr., inde vulg., Plat.: περὶ αὐτῆς τῆς S ‖ 5 αἰτῇ S Plat.: αὐτῇ Tr. ‖ 6 γε ex Platone Gaisford: τε S ‖ 8 a verbis ὁ μὲν θεοφιλὴς exordium capiunt M A ‖ 9 ὡμολογοῦμεν sed ω ex ο S² ut videtur ‖ 10 γίνεται M[d] ‖ 12 μὲν οὖν S M[d] Plat.: μὲν A ‖ 15 τούτῳ Tr. p. 80 Plat.: τοῦτο S M[d] τοῦτο (ω supra) A[1] ‖ 17 ὃς (voluit ὅς) tacite ex Platone Gesn.[1] p. 98. inde vulg.: ὡς S M[d] A ‖ 19 εἰκός — 21 διανοεῖσθαι om. A | γ' tacite ex Platone Gesn.[1], inde vulg.: τ' S M[d] ‖ 21 δεῖ διανοεῖσθαι S Plat.: διανοεῖσθαι M[d] ‖ 22 τοιαῦτ' ἄττ' ἂν Tr. Platonis vulg.: τοιαῦτά τ' ἄτ' ἂν S τοιαῦτα τ' αττ ἂν M[d] τοιαῦτ (α supra) τ' ἄτ' ἂν A; τοιαῦτ' ἂν Platonis libri meliores ‖ 24 ἆ in ἆρα e corr. M[d] | το ὂν τιθέναι tacite ex Platone Gesn.[1], inde vulg.: τῷ ὄντι θεῖναι S M[d] A

οἱ μὲν δεινοί τε καὶ ἄδικοι δρῶσιν ὅπερ οἱ δρομεῖς, ὅσοι ἂν θέωσιν εὖ ἀπὸ τῶν κάτω, ἀπὸ δὲ τῶν ἄνω μή; τὸ μὲν πρῶτον ὀξέως ἀποπηδῶσι, τελευτῶντες δὲ καταγέλαστοι γίγνονται, τὰ ὦτα ἐπὶ τῶν ὤμων ἔχοντες καὶ ἀστεφάνωτοι ἀποτρέχοντες. οἱ δὲ τῇ ἀληθείᾳ δρομικοὶ εἰς τέλος ἐλθόντες τά τε ἆθλα λαμβάνουσι καὶ στεφανοῦνται. οὐχ οὕτω καὶ περὶ τῶν δικαίων τὸ πολὺ ξυμβαίνει· πρὸς τὸ τέλος ἑκάστης πράξεως καὶ ὁμιλίας καὶ τοῦ βίου εὐδοκιμοῦσί τε καὶ τὰ ἆθλα παρὰ τῶν ἀνθρώπων φέρονται; Καὶ μάλα. Ἀνέξῃ ἄρα λέγοντος ἐμοῦ περὶ τούτων, ἅπερ αὐτὸς ἔλεγες περὶ τῶν ἀδίκων; ἐρῶ γὰρ δή, ὅτι οἱ μὲν δίκαιοι, ἐπειδὰν πρεσβύτεροι γένωνται, ἐν τῇ αὐτῶν πόλει ἄρχουσί τε ἃς ἂν βούλωνται ἀρχάς, γαμοῦσί τε ὁπόθεν ἂν βούλωνται, ἐκδιδόασί τε εἰς οὓς ἂν ἐθέλωσι, καὶ πάντα ἃ σὺ περὶ ἐκείνων, ἐγὼ νῦν λέγω περὶ τῶνδε· καὶ αὖ ⟨καὶ⟩ περὶ τῶν ἀδίκων, ὅτι οἱ πολλοὶ αὐτῶν, καὶ ἐὰν νέοι ὄντες λάθωσιν, ἐπὶ τέλους τοῦ δρόμου αἱρεθέντες καταγέλαστοί εἰσι καὶ γέροντες γιγνόμενοι ἄθλιοι προπηλακίζονται ὑπὸ ξένων τε καὶ ἀστῶν, μαστιγούμενοι καὶ ἃ ἄγροικα ἔφησθα σὺ εἶναι, ἀληθῆ λέγων, εἶτα στρεβλώσονται καὶ ἐκκαυθήσονται· πάντα ἐκεῖνα οἴου καὶ ἐμοῦ ἀκηκοέναι ὡς πάσχουσιν. ἀλλ', ὃ λέγω,

2 post εὖ temere praecipit τε καταγέλαστοι γίγνωνται (sic) A ‖ 3 ἀποπηδῶσιν S M^d | δὲ tacite ex Platone Gesn.[1], inde vulg.: τε S A; M a vulgata differre non notat collator Dindorfianus ‖ 4 γίνονται M^d | καὶ ἀστεφάνωτοι M^d, ex Platone Gesn.[1], inde vulg.: καὶ στεφανωτοὶ (στεφ. sine acc. A) S A; κἀστεφάνωτοι fortasse Stobaeus ‖ 6 λαμβάνουσιν M^d ‖ 8 πρὸς τὸ τέλος libri Stob. cum Platonis nonnullis: πρὸς τέλος Plat. ‖ 10 ἀνέξῃ duce Platone tacite Gesn.[1], inde vulg.: ἂν ἕξῃ S ἀνέξῃ M^d ἂν ἕξει A ‖ 13 αὑτῶν Plat.: αὐτῶν libri Stob. | ἃς ἂν βούλωνται ἀρχὰς S M^d A: ἂν βούλωνται τὰς ἀρχάς Plat. ‖ 14 ἐθέλωσιν M^d ‖ 15 ἃ σὺ περὶ tacite ex Platone Gesn.[1], inde vulg.: ἃ ὑπὲρ S M^d A nisi quod ὑπερ sine acc. S ‖ 16 καὶ αὖ καὶ tacite ex Platone Gesn.[1], inde vulg.: καὶ αὖ S M^d καὶ A ‖ 18 εἴσιν S ‖ 19 προπιλακίζονται M^d ‖ 20 ἀγροῖκα libri Stob. | λέγων, εἶτα tacite ex Platone Gesn.[1], inde vulg.: λέγοντα S M^d λέγονται (sic) A; v. εἶτα στρεβλώσονται καὶ ἐκκαυθήσονται ex libro de rep. II p. 361 E huc invecta esse vidit Ast

ὅρα, εἰ ἀνέξῃ. Καὶ πάνυ, ἔφη· δίκαια γὰρ λέγεις. Ἃ μὲν τοίνυν, ἦν δ' ἐγώ, ζῶντι τῷ δικαίῳ παρὰ θεῶν τε καὶ ἀνθρώπων ἆθλά τε καὶ μισθοὶ καὶ δῶρα γίγνεται πρὸς ἐκείνοις τοῖς ἀγαθοῖς οἷς αὐτὴ παρείχετο ἡ δικαιοσύνη, τοιαῦτ' ἂν εἴη. Καὶ μάλα, ἔφη, καλά τε καὶ βέβαια. Ταῦτα τοίνυν, ἦν δ' ἐγώ, οὐδέν ἐστι πλήθει οὐδὲ μεγέθει πρὸς ἐκεῖνα, ἃ τελευτήσαντα ἑκάτερον περιμένει.

64 (9, 67 Mein.) *Πλάτωνος ἐκ τοῦ Κλειτοφῶντος* (p. 408 E — 410 B).

Τί τοὐντεῦθεν; πῶς ἄρχεσθαι δεῖν φαμὲν δικαιοσύνης περὶ μαθήσεως; ὥσπερ ἂν εἴ τις ἡμᾶς προὔτρεπεν τοῦ σώματος ἐπιμέλειαν ποιεῖσθαι, μηδὲν προνοοῦντας ὁρῶν καθάπερ παῖδας, ὡς ἔστι τις γυμναστικὴ καὶ ἰατρική, καὶ ἔπειτα ὠνείδιζε λέγων, ὡς αἰσχρὸν πυρῶν μὲν καὶ κριθῶν καὶ ἀμπέλων ἐπιμέλειαν πᾶσαν ποιεῖσθαι, καὶ ὅσα τοῦ σώματος ἕνεκα διαπονούμεθά τε καὶ κτώμεθα, τούτου δ' αὐτοῦ μηδεμίαν τέχνην μηδὲ μηχανήν, ὅπως ὡς βέλτιστον ἔσται τὸ σῶμα, ἐξευρίσκειν, καὶ ταῦτα οὔσαν· εἰ δ' ἐπανηρόμεθα τὸν ταῦθ' ἡμᾶς προτρέποντα· λέγεις δὲ εἶναι τίνας ταύτας τὰς τέχνας; εἶπεν ἂν ἴσως ὅτι γυμναστικὴ καὶ ἰατρική. καὶ νῦν δὴ τίνα φαμὲν εἶναι τὴν ἐπὶ τῇ τῆς ψυχῆς ἀρετῇ τέχνην; λεγέσθω. Ὁ δὴ δοκῶν αὐτῶν ἐρρωμενέστατος εἶναι πρὸς ταῦτα ἀποκρινόμενος εἶπεν, ταύτην τὴν τέχνην εἶναι ἥνπερ ἀκούεις

---

3 *γίγνεται* S M[d] A Plat.: *γίγνονται* Tr., inde vulg. ‖ 4 *ἐκείνοις* tacite e Platone Gesn.[1], inde vulg.: *ἐκεῖνα* S M[d] A | *αὐτὴ* A Plat.: *αὕτη* M[d] Tr. dubito de S ‖ 5 *μάλα* corr. ex *μαλιστ* S ‖ 6 *ταῦτα τοίνυν κτὲ.* cf. Euseb. praep. ev. XI 35 | *ταυτα τοίνυν* S M[d] Plat. Eus.: *ταῦτα* A ‖ 8 ecl. cum lemm. hab. S M A ‖ 10 *Τί τοὐντεῦθεν* — p. 406, 21 *ἀπεκρίνατό τις* om. M[d] A ‖ 19 *ἐπανηρόμεθα* S Plat.: *ἐπανειρόμεθα* Tr. p. 81; *ἐπανειρώμεθα* oscitanter Gesn.[2] p. 123, inde vulg. ‖ 20 *τίνας* tacite ex Plat. Gesn.[1] p. 98, inde vulg.: *τινὰς* S | *εἶπεν* tacite ex Plat. Gesn.[1], inde vulg.: *εἰπεῖν* S ‖ 21 *δὴ τίνα* tacite ex Plat. Gesn.[1], inde vulg.: *δή τινα* S ‖ 22 *τέχνην*, sed *ην* ex *ης* S ‖ 24 *εἶπεν* S *εἶπε* Tr.: *εἶπέν μοι* Plat. | *ἥν περ* Tr., Plat.: *ἥνπερ* S | *ἀκούεις* tacite ex Plat. Gesn.[1], inde vulg.: *ἀκούης* (-*ῃς* Tr.) S

σὺ λέγοντος, ἔφη, Σωκράτους, οὐκ ἄλλην ἢ δικαιοσύνην. εἰπόντος δέ μου· μή μοι τὸ ὄνομα εἴπῃς μόνον, ἀλλὰ ὡδί· ἰατρική πού τις λέγεται τέχνη, ταύτης δέ ἐστι διττὰ τὰ ἀποτελούμενα, τὸ μὲν ἰατροὺς ἀεὶ πρὸς τοῖς οὖσιν ἑτέρους ἐξεργάζεσθαι, τὸ δὲ ὑγίειαν· ἔστι δὲ τούτων θάτερον οὐκέτι τέχνη, τῆς τέχνης δὲ τῆς διδασκούσης τε καὶ διδασκομένης ἔργον, ὃ δὴ λέγομεν ὑγίειαν· καὶ τεκτονικῆς δὲ κατὰ ταὐτὰ οἰκία τε καὶ τεκτονικὴ τὸ μὲν ἔργον, τὸ δὲ δίδαγμα· τῆς δὴ δικαιοσύνης ὡσαύτως τὸ μὲν δικαίους ἔστω ποιεῖν, καθάπερ ἐκεῖ τοὺς τεχνίτας ἑκάστους· τὸ δ' ἕτερον, ὃ δύναται ποιεῖν ἡμῖν ἔργον ὁ δίκαιος, τί τοῦτό φαμεν; εἰπέ· — οὗτος μέν, ὡς οἶμαι, τὸ συμφέρον ἀπεκρίνατο· ἄλλος δὲ τὸ δέον· ἕτερος δὲ τὸ ὠφέλιμον· ὃ δὲ τὸ λυσιτελοῦν. ἐπανῄειν δὴ ἐγὼ λέγων, ὅτι ἐκεῖ τά γε ὀνόματα ταῦτ' ἐστὶν ἐν ἑκάστῃ τῶν τεχνῶν, ὀρθῶς πράττειν, λυσιτελοῦντα, ὠφέλιμα, καὶ τὰ τοιαῦτα· ἀλλὰ πρὸς ὅ τι ταῦτα πάντα τείνει, ἐρεῖ τὸ ἴδιον ἑκάστη ἡ τέχνη, οἷον ἡ τεκτονικὴ τὸ εὖ, τὸ καλῶς, τὸ δεόντως, ὥστε τὰ ξύλινα, φήσει, σκεύη γίγνεσθαι, ἃ δὴ οὐκ ἔστι τέχνη· λεγέσθω δὴ καὶ τὸ τῆς δικαιοσύνης ὡσαύτως. Τελευτῶν ἀπεκρίνατό τις ὦ Σώκρατές μοι τῶν σῶν ἑταίρων, ὃς δὴ κομψότατα ἔδοξεν εἰπεῖν, ὅτι τοῦτ' εἴη τὸ τῆς δικαιοσύνης ἴδιον ἔργον, ὃ τῶν ἄλλων οὐδεμιᾶς, φιλίαν ἐν ταῖς πόλεσι ποιεῖν· οὗτος δ' αὖ ἐρω-

1 σὺ λέγοντος Plat.: συλλέγοντος S ‖ 2 δέ μου S Platonis A: δ' ἐμοῦ Platonis D | εἴπῃς μόνον S: μόνον εἴπῃς Plat. ‖ 3 ὡδί S: ὧδε Plat.; sed vide ne ὡδὶ ἰατρ. irrepserit pro ὧδ' ἰατρ. ‖ 4 ἀεὶ S: αἰεὶ Platonis A D ‖ 8 ταὐτὰ tacite ex Platonis Ald. (Platonis A) Gesn.[1], inde vulg.: ταῦτα S, Platonis D | τεκτονικὴ tacite ex Plat. Gesn.[1], inde vulg.: τεκτονικῆς S ‖ 10 ἐκεῖ τοὺς S Platonis D: ἐκείνους Platonis A ‖ 14 ἐπανῄειν S Platonis A D: ἐπανῇα Schanz | δὴ S Platonis A: δ' Platonis D ‖ 15 ἐκεῖ S: κἀκεῖ Plat. | ταῦτ' S Plat.: τοῦτ' Tr., inde vulg. ‖ 16 τὰ τοιαῦτα S: τἆλλα τὰ τοιαῦτα Plat.; suppleverim ⟨τὰ ἄλλα⟩ τὰ τ. ‖ 18 ἑκάστη ἡ τέχνη S: ἑκάστη τέχνη Plat.; ἑκάστῃ τέχνῃ tacite ex Platonis Ald. Gesn.[1], inde vulg. ‖ 21 ὦ Σώκρατες] abhinc ordiuntur M A ‖ 22 ἑταίρων] ἑτέρων A | ὃς tacite ex Plat. Gesn.[1], inde vulg.: ὡς S M^d A ‖ 24 πόλεσιν M^d | ἐρωτόμενος A

τώμενος τὴν φιλίαν ἀγαθόν τ' ἔφη εἶναι καὶ οὐδέποτε κακόν, τὰς δὲ τῶν παίδων φιλίας καὶ τὰς τῶν θηρίων, ἃς ἡμεῖς τοῦτο τοὔνομα ἐπονομάζομεν, οὐκ ἀπεδέχετο εἶναι φιλίας ἐπανερωτώμενος· συνέβαινε γὰρ αὐτῇ τὰ πλείω τὰς τοιαύτας βλαβερὰς ἢ ἀγαθὰς εἶναι. φεύγων δὴ τὸ τοιοῦτον οὐδὲ φιλίας ἔφη τὰς τοιαύτας εἶναι, ψευδῶς δὲ ὀνομάζειν αὐτὰς τοὺς οὕτως ὀνομάζοντας· τὴν δὲ ὄντως καὶ ἀληθῶς φιλίαν εἶναι σαφέστατα ὁμόνοιαν. τὴν δὲ ὁμόνοιαν ἐρωτώμενος εἰ ὁμοδοξίαν εἶναι λέγοι ἢ ἐπιστήμην, τὴν μὲν ὁμοδοξίαν ἠτίμαζεν· ἠναγκάζοντο γὰρ πολλαὶ καὶ βλαβεραὶ γίγνεσθαι ὁμοδοξίαι ἀνθρώπων, τὴν δὲ φιλίαν ἀγαθὸν ὡμολογήκει πάντως εἶναι καὶ δικαιοσύνης ἔργον, ὥστε ταὐτὸν ἔφησεν εἶναι ὁμόνοιαν καὶ ἐπιστήμην οὖσαν, ἀλλὰ οὐ δόξαν. ὅτε δὴ ἐνταῦθα ἦμεν τοῦ λόγου ἀποροῦντες, οἱ παρόντες ἱκανοὶ ἦσαν ἐπιπλήττειν τε αὐτῷ καὶ λέγειν, ὅτι περιδεδράμηκεν εἰς ταὐτὸν ὁ λόγος τοῖς πρώτοις· καὶ ἔλεγον ὅτι καὶ ἡ ἰατρικὴ ὁμόνοιά τίς ἐστιν καὶ ἅπασαι αἱ τέχναι, καὶ περὶ ὅτου εἰσὶν ἔχουσι λέγειν· τὴν δὲ ὑπὸ σοῦ λεγομένην δικαιοσύνην ἢ ὁμόνοιαν, ὅπου τείνουσά ἐστιν, διαπέφευγεν, καὶ ἄδηλον αὐτῆς ὅ τί ποτε ἔστι τὸ ἔργον. Ταῦτα, ὦ Σώκρατες, ἐγὼ τελευτῶν καὶ σὲ αὐτὸν ἠρώτων, καὶ εἶπάς μοι δικαιοσύνης εἶναι τοὺς μὲν ἐχθροὺς βλάπτειν, τοὺς δὲ φίλους εὖ ποιεῖν· ὕστερον δ' ἐφάνη βλάπτειν γε οὐδέποτε ὁ δίκαιος οὐδένα· πάντα γὰρ ἐπ' ὠφελείᾳ πάντας δρᾶν.

---

5 φεύγων δὴ — 6 τοιαύτας εἶναι om. A ‖ 10 λέγει A ‖ 13 ταὐτὸν lat.: ταὐτὸ S M^d A | ὁμόνοιαν καὶ S M^d A Plat.: ὁμόνοιαν Bekker, αὶ ὁμόνοιαν Ast, ὁμόνοιαν καὶ δικαιοσύνην (ὁ. καὶ φιλίαν I. Baumann) ermann ‖ 17 ἡ (ἠ M^d) ἰατρικὴ S M^d A Platonis A: ἰατρικὴ Platonis D ‖) ὅπου (ὅπού A) SM^d A Plat.: ὅποι Bekker; ὅτου Tr. p. 82, inde vulg. | ίνουσα Plat.: τινοσ α S τινὸς ἅ (vel ἄ) M^d A; τινός Tr., inde vulg. ‖ . αὐτῆς] αὐτοῖς A ‖ 22 σὲ αὐτὸν Plat.: σεαυτὸν S M^d A ‖ 23 εἶ-ες (εἶπασ M^d) S M^d A: εἶπες Plat. | μὲν om. A ‖ 25 οὐδένα· πάντα at.: οὐδέν· ἅπαντα S M^d A ‖ 26 ὠφελεία (vel -ᾳ) S M^d A Platos D a: ὠφελίᾳ Platonis A. ceterum de eclogis 9, 68—70 Mein. vide pra p. 132 sqq.

CAPVT X.

ΠΕΡΙ ΑΔΙΚΙΑΣ [ΚΑΙ ΦΙΛΑΡΓΥΡΙΑΣ ΚΑΙ ΠΛΕΟΝΕΞΙΑΣ]

1 *Εὐριπίδου Ἡρακλειδῶν* (1—4).

Πάλαι ποτ' ἐστὶ τοῦτό μοι δεδογμένον·
ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ' ἀνήρ,
ὁ δ' εἰς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον
φίλοις τ' ἄχρηστος καὶ συναλλάξαι βαρύς.

2 *Σεραπίωνος* (fr. 1 p. 831 N.[2]).

Οὐ τῆς ἐμῆς ἕκατι καρδίας φέρεις
λόγους προσηνεῖς, τοῦ δὲ σοῦ κέρδους χάριν.

3 *Μενάνδρου* (fab. inc. fr. 31 com. IV p. 243).

Πλεονεξία μέγιστον ἀνθρώποις κακόν·

Capitis decimi eclogas servarunt S M A, non nullas Br Mac. C *Περὶ πλεονεξίας καὶ ἀδικίας* Phot. *Περὶ ἀδικίας καὶ φιλαργυρία πλεονεξίας* S M A Br Mac. *λο*^{γου} *ς'* S mrg *ι'* exhibent M A Mac. *καὶ φιλ. καὶ πλεονεξίας* seclusi non propter Voss. vel propter ca florilegii Laurentiani indicem (litt. A *παραπ.* 6) ubi reapse legitur n *περὶ ἀδικίας* sed et propter reliquorum huius libri titulorum rati et quia emblema proditur vocabuli *πλεονεξίας* sede incerta. certe s *ἀδικίας* titulum fusius interpretari voluisset gnomologus, eadem *περὶ δικαιοσύνης* exspectanda fuit prolixitas. denique vide quae ad ecl. 7. ceterum utrumque caput idoneum ad Ioannis vel supe excerpendi rationem investigandam. ut in capite nono excerpta Pl quem ipsum legisse Stobaeum observavit Diels (dox. p. 75) per l seriem sequuntur ipsorum de re publica librorum ordinem vel Alc prioris dispositionem (cf. Stob. I proleg. p. XIX Wachsm. III 1, 19 201—3) nec aliter procedunt Xenophontis apomnemoneumaton par (cf. Stob. III 1, 205—7), sic in decimo Euripidei anthologii ex betico fabularum ordine compositi iam clariora patescunt vestigia Heraclidarum (1) et Ixionis (7) eclogam ad initia reversus reliq profert litterarum serie *B* (17) *Δ* (18) *I* (23) *Y* (26) ‖ **3** ecl. cum hab. S M A ‖ **4** *ποτ'* A Tr. Eur.: *ποι* S sed *ποτ'* corr. n *ποῦ* M[d] ‖ **7** *πόλει τ' ἄχρηστος καὶ συναλλάσσειν βαρύς* lib a Stobaeo pendet Theodorus Metoch. p. 558 afferens 6 et 7 sine f **8** ecl. cum lemm. hab. S M A ‖ **11** ecl. cum lemm. hab. S M currit Maxim. c. 22 p. 602 Combef. (*Μενάνδρου*) ‖ **12** cf. mon *ὑπερηφανία μέγ. ἀ. κ.*

ι γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας
ἀποτυγχάνουσι πολλάκις νικώμενοι,
ὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

4 *Διφίλου* (fab. inc. fr. 13 com. IV p. 421).

Ἆρ' ἔστιν ἀνοητότατον αἰσχροκερδία·
ρὸς τῷ λαβεῖν γὰρ ὢν ὁ νοῦς τἄλλ' οὐχ ὁρᾷ.

5 *Τοῦ αὐτοῦ* (fab. inc. fr. 14 com. IV p. 421).

Εἰ μὴ τὸ λαβεῖν ἦν, οὐδὲ εἷς πονηρὸς ἦν.
ιλαργυρία τοῦτ' ἐστίν, ὅταν ἀφεὶς σκοπεῖν
ὰ δίκαια τοῦ κέρδους διὰ παντὸς δοῦλος ᾖς.

6 *Μενάνδρου* (fab. inc. fr. 284 com. IV p. 294).

Λέγεις, ἃ δὲ λέγεις, ἕνεκα τοῦ λαβεῖν λέγεις.

7 *Εὐριπίδου Ἰξίονος* (fr. 425 N.²).

Ὅστις γὰρ ἐπὶ τὸ πλέον ἔχειν πέφυκ' ἀνήρ,
ιὐδὲν φρονεῖ δίκαιον οὐδὲ βούλεται,

---

1 γὰρ] μὲν Max. ‖ 3 ἀλλοτρίοις suspectum Meinekio: ἐναντίοις i. Kock com. III p. 170 τῶν γειτόνων Nauck (per litt.) ‖ 4 ecl. cum mm. hab. S M A ‖ 5 αἰσχροκερδία S (si iure silet Mekler): αἰσχροέρδεια M^d αἰσχροκέρδία in αἰσχροκέρδεια corr. A¹ αἰσχροκέρδια r. ‖ 6 προς τῷ S M^d, A ex emend. teste Gaisfordo: πρὸς τὸ Tr.; πρὸς ῷ recte Gesn.¹ p. 100, ad πρὸς τὸ relabitur Gesn.² p. 126 ‖ 7 ecl. cum mm. hab. S M A (post ecl. 10, 4) Mac. Chrys. (tamquam capitis primam); ιφίλου Mac. recurrit corp. Par. 605 Elt. (Φίλωνος, id est Διφίλου) ‖ οὐδ' ἂν εἷς monost. 665 fortasse recte ‖ 9 τότ' Mac. | ἀφεὶς M^d A p. 83 Mac. corp. Par.: ἀφῇς S ‖ 10 διαπαντὸς libri. ceterum forse duo esse fragmenta recte monet Meineke ‖ 11 ecl. cum lemm. b. S M A. recurrit corp. Par. 606 Elt. (Μενάνδρου) ‖ 12 vocem primam ppl. A² ‖ 13 ecl. cum lemm. hab. S M A; ἰξίονος S ἰξίονι M^d A. urrit corp. Par. 608 Elt. (Εὐριπίδου). eclogae v. 1 et 3 sine lemm. iteitur infra flor. 22, 2 ‖ 14 τ in ὅστις pro litt. erasa A² | ἐπὶ τὸ orp. Par. ἐπὶ τῷ M^d A ἀστῶν rectius flor. 22 ‖ 15 versum, quem flor. 22, spurium esse vidit Wecklein *stud. zu Eur.* p. 355. est em gnomologi eclogam huic ipsi περὶ ἀδικίας titulo artius adaptantis ecl. 20). hoc si recte conicio, simul apparet illum vix iam legisse od praebet Photius περὶ πλεονεξίας. si legisset, ut titulo conveniret oga non ullo opus fuisset additamento. immo haec ipsa ecloga (πλέον ειν) cum aliis ansam dederit ad inscriptionem amplificandam | οὐδὲ ονεῖ corp. Par.

φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει.

8 *Θεοδέκτου* (inc. fab. fr. 10 p. 805 N.²).

Ὦ καλλιφεγγῆ λαμπάδ' εἱλίσσων φλογὸς
Ἥλιε, ποθεινὸν πᾶσιν ἀνθρώποις σέλας,
εἶδές τιν' ἄλλον πώποτ' εἰς οὕτω μέγαν
ἐλθόντ' ἀγῶνα καὶ δυσέκφευκτον κρίσιν;
ὅπου κατηγορεῖ μὲν ἐν λόγοισί μου
γυνή, πρὸς ὃν δ' εἴρηκε, τυγχάνει πόσις,
κρινοῦσι δ' οἵπερ καὶ κατηγοροῦσί μου;

9 *Ἀριστοφάνους* (Eccles. 206—8).

Τὰ δημόσια γὰρ μισθοφοροῦντες χρήματα
ἴδια σκοπεῖσθ' ἕκαστος ὅ τι τις κερδανεῖ·
τὸ δὲ κοινὸν ὥσπερ Αἴσιμος κυλίνδεται.

10 *Ἡσιόδου Ἔργων* (320).

Χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείν

11 *Ἡσιόδου Ἔργων* (40—41).

Νήπιοι, οὐδὲ ἴσασιν, ὅσῳ πλέον ἥμισυ παντὸς
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ ἔν ὄνειαρ.

12 *Ἐν ταὐτῷ* (352).

Μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσα ἄτῃσιν.

---

1 *τ'* om. corp. Par. cf. Theodorus Metoch. p. 558 ubi sine fab. *φίλοις ἄμικτος καὶ πάσῃ πόλει'* | *ἀμεικτός ἐστι* mavult Nauc 2 ecl. cum lemm. hab. S M A ‖ 4 *Ἥλιε* Buecheler: *ἥλιε* libri ‖ 5 *εἰ τινα ἄλλον* S *ειδεστὶν ἄλλον* M^d *οἶδας* (*ας* supra *δ* compendiose, post *δ* fuit alia litt. nunc erasa) *τινα* (sed *ι* erasa) *ἄλλον* A ‖ 6 *δυσσ φευκτον* M^d ‖ 7 *λόγοισ σίμου* M^d ‖ 8 *δ'* om. M^d ‖ 9 *κρινοῦσι* Nau *κρατοῦσι* S M^d A ‖ 10 ecl. cum lemm. hab. S M A ‖ 11 *τὰ* Aristo| *τί* S A *τί δὴ* M^d; *οἱ* temere Gesn.¹ p. 102, inde vulg. ‖ 12 *ἴδι* M^d A ut Aristophanis plerique: *ἰδίᾳ* Aristoph. ‖ 13 *Αἴσιμος* Aristo *σιμὸς* S M^d A ‖ 14 ecl. cum lemm. hab. S M A ‖ 15 *πολλὸν* A *πολλῶν* S M^d ‖ 16 ecl. lemmate non iterato hab. S, addito lemm. M 17 *οὐδὲ ἴσασιν* Hes.: *οὐδ' ἴσασιν* (*ἴσασι* S) S M^d A ut Hesiodi l pauci | *ὅσω πλέον* M^d A Hes.: *πλέον ὅσον* S Tr.; *ὅσον πλέον* G p. 102, inde vulg. ‖ 18 *ἀσφοδέϝ ἐν'* (sic) S *ἀσφοδέλω ἔν* (*ἔν'* ni f A¹) M^d A¹: *ἀσφοδέλῳ μέγ'* Tr. A ex emend., Hes. ‖ 19 ecl. hab. mate non iterato S, addito lemm. M A ‖ 20 *ἶσα ἄτῃσιν* S et sic M^d A *ἶσα ἄτῃσι* libri Hes.: *ἶσ' ἀάτῃσι* Meineke Philol. XIX p. 199 r

13 Ἐπιχάρμου (fr. 53 p. 274 Lorenz).
Ἁ δὲ χεὶρ τὰν χεῖρα νίζει.

14 Βακχυλίδου Ἐπινίκων (p. l.⁴ III p. 570 fr. 4 Bergk).
Ὡς δ' ἅπαξ εἰπεῖν, φρένα καὶ πυκινὰν
?δος ἀνθρώπων βιᾶται.

15 Πινδάρου (Pyth. 3, 54).
Ἀλλὰ κέρδει καὶ σοφία δέδεται.

16 Ἡσιόδου Ἔργων (356—60).
Δὼς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.
μὲν γάρ κεν ἀνὴρ ἐθέλων ὅ γε καὶ μέγα δοίη·
ρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν·
δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,
τε σμικρὸν ἐόν, τό γ' ἐπάχνωσεν φίλον ἦτορ.

17 Εὐριπίδου Βελλεροφόντου (fr. 297 N.²).
Ὡς ἔμφυτος μὲν πᾶσιν ἀνθρώποις κάκη·

---

1 ecl. cum lemm. hab. S M A (post ecl. 10, 12) Mac. Chrys. (post 5). adsumpta est opinor ex Ps.-Platonis Axiocho p. 366 C: *προῖκα ἀνὴρ οὗτος* (sc. *Πρόδικος*) *οὐδένα διδάσκει, δια παντὸς δὲ ἔθος ἐν αὐτῷ φωνεῖν τὸ Ἐπιχάρμειον· Ἁ δὲ χεὶρ τὰν χεῖρα νίζει· δός καὶ λάβοις τί κα* (*κα* add. C. Fr. Hermann). nam legitur infra etiam rum hemistichium flor. 10, 34 idque cum lemmate *Προδίκου* nec sine na qua laborant libri Platonis. ad eundem fontem redit Boisson. anecd. . 198. cf. Men. monost. 543 ‖ 2 *ἡ* rubr. Mac. | *τὰν* Ps.-Plat.: *τὴν* libri ‖ l. cum lemm. hab. SMA; *Βακχυλι*(δ) *ἐπινικων* (sine acc.) S *βακχυλλίδου ἰκων* (*ἐπινικῶν* A) MA ‖ 5 *ἀνῶν* S *ἀνθρώπων* Mᵈ A, *ἀνθρώπω* Tr., vulg. | *μιᾶται* (*β* superscr. A²) A ‖ 6 ecl. cum lemm. hab. S M A t ecl. 10, 14) Mac. Chrys. (post ecl. 10, 13) ‖ 8 ecl. cum lemm. hab. S ‖ 9 *δως* sine acc. S *δὸσ* Mᵈ *δὼσ* ex *δὸσ* corr. A² ‖ 10 *μὲν* suppl. *ὃ γε* S Mᵈ Hes.: *ὅδε* A; *ὅτε* Tr. probante Hermanno *ὅ τι* Gesn.¹ 2, inde vulg. | *κἂν* Hes. sed plerique *καὶ* et sic S Mᵈ A *κἂν* Tr. | *δοίη* : *δώη* S Mᵈ A Hesiodi plerique ‖ 12 *ἀναιδείηφι* Tr., inde vulg. : *ἀνειδίηφι* S M *ἀναιδίηφι* A | *πιθήσας* sed *θ* ex *π* S ‖ 13 *γνωσεν* Mᵈ Hes.: *ἐπάχνωσε* S A Tr., inde vulg. ‖ 14 ecl. cum lemm. S M A; *εὐρι*(πδ) *Βελ*(ε) compendio post *λ* addito S *Εὐριπίδου Βελλεφόντου* Mᵈ *Εὐριπίδου Βελλεροφο*(τ)*ν*. A

ὅστις δὲ μεῖστον μισθὸν εἰς χεῖρας λαβὼν
κακὸς γένηται, τῷδε συγγνώμη μὲν οὔ,
πλείω δὲ μισθὸν μείζονος τόλμης ἔχων
τὸν τῶν ψεγόντων ῥᾷον ἂν φέροι λόγον.

18 Εὐριπίδου Δανάης (fr. 325 N.²).

Κρείσσων γὰρ οὐδεὶς χρημάτων πέφυκ' ἀνήρ,
πλὴν εἷς τις· ὅστις δ' οὗτός ἐστιν οὐχ ὁρῶ.

19 Σοφοκλέους Οἰδίποδος (tyr. 387—89).

Ὑφεὶς μάγον τοιόνδε μηχανορράφον,
δόλιον ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσιν
μόνον δέδορκε, τὴν τέχνην δ' ἔφυ τυφλός.

20 Μενάνδρου Λευκαδίᾳ (fr. 2 com. IV p. 159).

Ὅστις ὑπέχει χρυσίῳ
τὴν χεῖρα, κἂν μὴ φῇ, πονηρὰ βούλεται.

---

1 μεῖστον (cf. etym. m. 676, 14 Hesych. al.) μισθὸν Buecheler: πλεῖστον μισθὸν S M[d] A; μισθὸν μικρὸν quod conieci lect. Stob. p. 27 praeceperat Heath qui παῦρον vel μικρὸν μισθὸν proposuit, λιτὸν μισθὸν Iacobs ‖ 4 λεγόντων libri: corr. Iacobs | ψόγον libri: corr. Iacobs ‖ 5 ecl. cum lemm. hab. S M A post ecl. 10, 17, sine lemm. Br tamquam capitis primam; ἴ αυ^τ pro εὐρ. S Σοφοκλέους ex proxima ecloga Tr. p. 84, unde error Gesneri ‖ 6 οὐδεὶς libri: οὔτις tacite Nauck | ῥημάτων S ‖ 7 εἷς τις Porson adv. p. 274: εἴ τις S M[d] A² Br οὔ τις vel ὅστις A¹ | δ' om. Tr. p. 84 | οὐκ ἐρῶ Badham. post eclogam 18 addit sine lemm. Br versus κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτὸν (βροτῶν flor. 94) ἐφ' οἷσι μέλλει μήποθ' ὕστερον στένειν, qui leguntur infra flor. 94, 3 Mein. (Εὐρ. Κρεσφόντῃ), dein sine lemm. versum τοῦ (sic) λαμβάνειν γὰρ πάντες ἡττῶνται (sic) βροτοί (flor. Mon. 125 Leid. 118) quem inter tragicorum adespota recepit Nauck 172 p. 875 ed. sec. scribens ἡσσῶνται, comico adsignavit Methner de trag. gr. fr. obs. cr. part. I p. 10. sic fabularum trias evaserit litterarum ordine conserta Β Δ Κ. vide igitur ne versus τοῦ λ. γὰρ (γὰρ om. Mon. unde ἅπαντες mavult Meineke) ἡσσ. βρ. ipse quoque Euripidis sit velut ex Palamede petitus (cf. fr. 580 N.²) ‖ 8 ecl. cum lemm. hab. S M A ‖ 9 ἀφεὶς A sed ὑ superscr. A² ‖ 11 δέδορκε S M Soph.: δέδωκε A ‖ 12 ecl. cum lemm. hab. S M A; λευκαδείᾳ A. recurrit corp. Par. 607 Elt. (lemmate non iterato post Menandream flor. 10, 6) ‖ 14 βούλεται Grotius dict. poet. p. 69 idque legi in cod. Paris. 1985 testatur Gaisford: βουλεύεται S M A corp. Par.

21 *Μενάνδρου Κόλακι* (fr. 6 com. IV p. 154).

Οὐδεὶς ἐπλούτησεν ταχέως δίκαιος ὤν·
ὁ μὲν γὰρ αὑτῷ συλλέγει, καὶ φείδεται,
ὁ δὲ τὸν πάλαι τηροῦντ' ἐνεδρεύσας πάντ' ἔχει.

22 *Ἀντιφάνους* (fab. inc. fr. 40 com. III p. 148).

Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει
μικράς, κριθέντα δ' ὕστερον [*τὰς*] *λύπας μακράς.*

23 *Εὐριπίδου Ἰνοῦς* (fr. 419 N.[2]).

Βίᾳ νυν ἕλκετ' ὦ κακοὶ τιμὰς βροτοί,
καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι,
σύμμικτα μὴ δίκαια καὶ δίκαι' ὁμοῦ·
ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.

24 *Μενάνδρου Ἀδελφοῖς* (fr. 8 com. IV p. 71).

Ἔργον εὑρεῖν συγγενῆ
πένητός ἐστιν· οὐδὲ εἷς γὰρ ὁμολογεῖ

---

1 ecl. cum lemm. hab. SMA. *κόλακι* aut, quod mallem omisisset, *κόλακι α'* ci. Gaisford: *κολακεία* libri. ortum hoc videtur ex priore *λευκαδίᾳ* | 2 *οὐθεὶς* A | *ἐπλούτησε* libri | *ταχύ* monost. 688. cf. monost. 52 | post *δίκαιος ὢν* aliquid intercidisse suspicabar lect. Stob. p. 18 velut *τὸν μὴ δίκαιον ἄνπερ ἀντιπαρατιθῇς.* verba *ὁ μὲν γὰρ — πάντ' ἔχει* incerto poetae tribuerat Grotius. librorum patrocinium suscepit Kock com. III p. 84 ‖ 3 *αὑτῷ* Tr. p. 84 et A fortasse: *αὐτῶ* S M[d] ‖ 4 *τηροῦντα* S M[d] ‖ 5 ecl. cum lemm. hab. S M A (post ecl. 10, 21) Mac. Chrys. (post ecl. 10, 15). recurrit corp. Par. 482 Elt. (*γνῶμαι Ἀντιφάνους*) ‖ 7 *κριθέντα δ' ὕστερον* Buecheler: *εἶτα δ' ὕστερον τὰς* S M[d] A Mac. corp. Par.; *ἔπειτα δ' ὕστερον* Gesn.[1] p. 102, inde vulg. ‖ 8 ecl. cum lemm. hab. S M A. recurrunt versus flor. 93, 4 (*Εὐρ. Ἴωνι* i. e. *Ἰνοῖ*) ‖ 9 *καὶ νῦν ἐφέλκετ'* flor. 93, sed cf. Theogn. 29 sq. *πέπνυο, μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μηδ' ἀδίκοισιν Τιμὰς μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος.* fortasse recte *βίᾳ νυν ἕλκεσθ'* Herwerden *revue de philol.* II p. 56 ‖ 11. 12 affert Theodorus Metoch. p. 559 sine fab. n. ‖ 11 *σύμμεικτα* mavult Nauck | *καὶ δίκαι'*] *καὶ ἄδικα* libri florilegii 93 ‖ 12 *ἀμᾶσθαι* S Theod. Met. | *τόνδε* S *τῶνδε* M[d] Theod. Met. *τοῦδε* (*το* superscr.) A[1] *το* superscr. A[2] ut videtur, *τῶνδε* flor. 93 ‖ 13 ecl. cum lemm. hab. S M A (post ecl. 10, 23) Mac. Chrys. (post ecl. 10, 22) ‖ 15 *οὐδὲ εἷς* (*οὐδεείς*) Grotius: *οὐδεὶς* S M[d] Mac. *οὐδε . . ς* duae ut litt. dignosci nequeant A

αὐτῷ προσήκειν τὸν βοηθείας τινὸς δεόμενον, αἰτεῖσθαι γὰρ ἅμα τι προσδοκᾷ.

25 *Σοφοκλέους Τηρεῖ* (fr. 528 N.²).

Φιλάργυρον μὲν πᾶν τὸ βάρβαρον γένος.

26 *Εὐριπίδου Ὑψιπύλῃ* (fr. 758 N.²).

Κακοῖς τὸ κέρδος τῆς δίκης ὑπέρτερον.

27 *Πλάτωνος ἐν τῷ Κρίτωνι* (p. 49 B).

Ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ; φαμὲν, ἢ οὔ; — Φαμέν. — Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν; — Οὐ δῆτα. — Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν; — Οὐ φαίνεται. — Τί δαὶ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ; — Οὐ δεῖ δήπου, ὦ Σώκρατες. — Τί δαί; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασι, δίκαιον, ἢ οὐ δίκαιον; — Οὐδαμῶς. — Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. — Ἀληθῆ λέγεις. — Οὔτε ἄρα ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδέν' ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν. καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογῇς· οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ ⟨δοκεῖ καὶ⟩ δόξει. οἷς οὖν οὕτω δέδοκται καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ' ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύματα.

3 ecl. cum lemm. hab. S M A ‖ 5 ecl. cum lemm. hab. S M A ‖ 7 ecl. cum lemm. hab. S M A. cf. Euseb. praep. ev. XIII 7 ‖ 10 v. *Οὐδαμῶς* — 19 *ὑπ' αὐτῶν* habent Theodoret. therap. p. 467 Gaisf. Orig. c. Cels. VII 370 p. 89 Lomm. ‖ 12 *δαὶ* S M[d]: *δὲ* A | *δὴ* S A: *δεῖ* M[d] ‖ 13 *κακουργεῖν δεῖ* A Plat.: *κακουργεῖν δὲ δεῖ* S *κακουργεῖν* M[d] | post prius *οὐ*· legitur *δίκαι* (ον) A ‖ 14 *δαὶ* (*δαι* S) S M A: *δὲ* tacite e Plat. Gesn.[2] p. 130 ‖ 16 *ἀνθρώποις* M[d] | *οὐθὲν* S ‖ 18 *οὐδέν'* A: *οὐδὲν* S idem e corr. M[d] *οὐδένα* e Plat. Gesn.[1] p. 148 ‖ 19 *πάσχῃ τις* Theodoret. Eus. ‖ 21 *δοκεῖ καὶ* e Plat. addidit Gesn.[1] | *οὖν* S M[d] A Platonis B C D: *δ'* Platonis idque ex impresso Platonis exemplari Gesn.[1], inde vulg. ‖ 22 litt. *οὐ* *α* in ras. M[2] | *ἀλλ'* S A: *ἀλλὰ* M[d] ‖ 23 *τούτοις* (-*οις* compend.) S sed ead. m. -*ους* terminationis compendium addidit

28 *Εὐσεβίου* (fr. 12 phil. gr. III p. 9 Mull.).

Φιλοχρηματίη τοῦ κτήσασθαι εὑρεῖν ἀρκέοντα οὖρον οὐκ οἶδεν.

29 (fr. 13)

Φιλοχρηματίην ἐπ᾽ ἡμέρῃ ἑκάστῃ ἐπιρρέων πλοῦτος οὐκ ἵστησιν, ὥσπερ οὐδὲ πυρκαϊὴν ὕλη ἐπιβαλλομένη· ἐπιγινόμενος δ᾽ αἰεὶ ἐκ τοῦ πλεῦνος τὴν ἐπιθυμίην ἐξάπτει μεζόνως. νόος δὲ μοῦνος παραστὰς καὶ τοῦτο οἶδεν ἀκέσασθαι.

30 *Τοῦ αὐτοῦ* (fr. 15 p. 10).

Φιλοχρηματίην ἄλογον τὰ κτώμενα ἀποβαλλόμενα μᾶλλον ἂν ἄσειεν ἢ ὁ ἐπ᾽ ἑκάστῃ ἡμέρῃ πλοῦτος ἄπλετος ἐπιγινόμενος.

31 *Τοῦ αὐτοῦ* (fr. 16).

Τὸ οἰκονομέειν τὰ παρεόντα ἀνδρὸς προνόου· τὸ δὲ μηδ᾽ ὅλως ἐθέλειν ἔς τι τῶν δεόντων χρέεσθαι οὐ δεσπό-

---

1 ecl. cum lemm. hab. SMA ‖ 2 *εὑρεῖν* secludi voluit Hirschig, post *ἀρκέοντα* transponi Meineke v. IV p. LVIII male uterque ‖ 3 *οἶδεν* SM[d]A *οἶδε* Tr. p. 85 ‖ 4 ecl. hab. lemmate non iterato SMA ac sine rubr. cum priore iunctam M (post ecl. 10, 28), addito lemm. *εὐσεβίου* Br (post ecl. Ps.-Isocrateam infra p. 427 adn. 4 propositam) Mac. Chrys. (post ecl. 10, 24) ‖ 5 *ἐπ᾽* Meineke v. IV p. LVIII: *ἐφ᾽* libri ‖ 6 *οὐχ* libri | *ἵστησιν* libri ‖ 7 *ἐπιγινόμενος δ᾽ αἰεὶ* libri; *ἐπιγιγνόμενος δ᾽ ἀεὶ* Gesn.[2] p. 130, inde vulg. | *ἐκ* Iacobs lect. Stob. p. 58: *ἐς* libri | *ἐπιθυμίην* SM[d]A Br Mac.; -*αν* Tr., inde vulg. ‖ 8 *μειζόνως* libri: corr. Meineke v. IV p. LVIII | *μοῦνος* libri nisi quod *μόνος* A | *οἶδεν* libri | *ἀκέσασθαι* M[d] Br: *ἀκέεσθαι* SA Mac. fortasse recte ‖ 10 ecl. cum lemmate hab. SMA, lemmate non iterato Br ‖ 11 *τὰ κτήματα* ci. Cobet n. l. p. 305 ‖ 12 *ἂν ἄσειεν* (cf. p. 53, 11) Buecheler: *ἀνύσειεν* libri; *ἂν παύσειεν* ci. Valckenaer *ἂν ἀνύσειεν* (*magis confecerit*) vel *ἂν λύσειεν* Iacobs lect. Stob. p. 58 *ἂν στήσειε* Meineke v. IV p. LVIII *ἂν σβέσειεν* Cobet n. l. p. 305 | *ὁ* abiecit Meineke v. IV p. LVIII | *ἐπ᾽* vel *ἐπὶ* Meineke l. c.: *ἐφ᾽* libri | *ἡμέρα* M[d] ‖ 13 *ἐπιγιγνόμενος* Gesn.[1] p. 104, inde vulg. ‖ 14 ecl. cum lemm. hab. S MA ‖ 15 *προνοοῦ* SM[d]A: corr. Orelli ‖ 16 *ἔς τι* Halm lect. Stob. p. 34: *ἐστὶν* vel *ἐστὶ* SM[d]A | post *χρέεσθαι* distinguunt libri, sed ut eandem continuent eclogam. tamquam novam constituit Gesn.[2] p. 130, inde vulg. verum vidit Halm l. c. | *οὐ δεσπότεω κτὲ.* om. Tr. p. 85 | *οὐ δεσπότεω τῶν* Halm: *οὐδέποτεω των* S *οὐδέσποτε* (sed alt. *ε* in ras. M[1]) *ωτῶν* M *οὐδέποτε τῶν* A

τεω τῶν κτηθέντων, καταδεδουλωμένου δὲ ἑωυτὸν τῶν χρημάτων ἐστὶ τῇ κτήσει.

32 (10, 33 Mein.) *Τοῦ αὐτοῦ* (fr. 17).

Οἱ πλεῦνες τῶν ἀνθρώπων παρὰ λόγον φειδόμενοι ἀξιεῦσι πολυχρήματοι πεπιστευμένοι ἠλίθιοι καὶ σκαιοὶ νομίζεσθαι ἢ περὶ τὰ δεῖ ἀναλίσκοντες δεξιοὶ κεκλῆσθαι.

33 (10, 35 Mein.) *Ἡροδότου ἱστορίας ζ'* (VII 18).

Ἐγὼ μέν, ὦ βασιλεῦ, οἷα ἄνθρωπος ἰδὼν ἤδη πολλά τε καὶ μεγάλα πεσόντα πρήγματα ὑπὸ ἡσσόνων, οὐκ ἔων σε τὰ πάντα τῇ ἡλικίῃ εἴκειν, ἐπιστάμενος ὡς κακὸν εἴη τὸ πολλῶν ἐπιθυμέειν.

34 *Προδίκου.*

Δός τι, καὶ λάβοις τι.

35 (10, 36 Mein.) *Εὐσεβίου* (fr. 18 l. c. p. 10).

Πλούσιον χρὴ νομίζειν τὸν ἡγεόμενον ἔχειν τὰ ἀρκέοντα· τὸν δὲ αἰεὶ ἐπιθυμέοντα προσκτήσασθαι καὶ πληθώρην μηδέκοτε τοῦ τοιούτου λαμβάνοντα, καὶ εἰ Μίδεω πλουτέοι μᾶλλον, πένητα καλέω, καὶ Ἴρου ἢν ἐκεῖνος ἐξ ἀνάγκης εἶχεν τύχην κεκτῆσθαι.

---

2 *κτήσει* libri: *κτῆσι* Meineke v. IV p. LVIII ‖ 3 ecl. cum lemm. *τοῦ αὐτοῦ* hab. SMA ‖ 4 *φειδόμενοι* Iacobs animadv. in Stob. p. 234: *φιλεύμενοι* S M^d A; *φειδεύμενοι* Valckenaer, cf. Cobet mnemos. IX p. 106 sq. ‖ 7 ecl. cum lemm. hab. SMA (post ecl. 10, 33 Mein.) Tr. p. 85 (post ecl. 10, 34 inde vulg.) Mac. Chrys. (post ecl. 10, 29) ‖ 8 *ἐγὼ μὲν* — 10 *ἐπιστάμενος* om. Mac. ‖ 9 *πεσσόντα* S | *ἔων* Her.: *ἐῶν* S A^1 (*ν* punctis del. A^2) *ἐῶ* M^d ut videtur, Tr., inde vulg. ‖ 10 *ἡλικία* M^d | *εἴη* om. Mac. ‖ 12 ecl. cum lemm. hab. S (in margine superiore) MA Mac. Chrys. (post ecl. 10, 35 Mein.) Br (post ecl. 10, 30). post ecl. 10, 33 Mein. collocavit Tr., inde vulg. fluxisse haec ex Ps.-Platonis Axiochi p. 366 C monui ad ecl. 10, 13 ‖ 13 *λάβοις* (-*ῃς* A) libri; *λαβέ τι* Platonis vulg. vide p. 411 adn. 1 ‖ 14 ecl. cum lemm. hab. S M A ‖ 16 *δ' αἰεὶ* A | 17 *μηδέποτε* S M^d A: corr. Mullach | *τοῦ πλούτου* ci. Iacobs anthol. XII p. 126 ‖ 18 Tyrt. fr. 12, 6 p. l.[4] II p. 18 B. (Stob. flor. 51, 1 Mein.) *πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω μάλιον.* locis a Leutschio in Diogenian. cent. VIII 53 collectis addatur Galenus *περὶ ψυχῆς π.* p. 40, 22 Marqu. *τοῦ πλούτου Κινύρου τε καὶ Μίδου μᾶλλον,* ubi oscitanter editor *κινητοῦ τε καὶ μιαροῦ* | *μίδου* S M^d A: corr. Meineke | *πλουτέοι* S M^d: *πλουτέει* A | *μᾶλλον,* non

[redacted]

36 (10, 37 Mein.) *Δημοκρίτου* (fr. mor. 63 Mullach.).

Πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται.

37 (10, 38 Mein.) *Βίωνος.*

Βίων ὁ σοφιστὴς τὴν φιλαργυρίαν μητρόπολιν ἔλεγε πάσης κακίας εἶναι.

38 (10, 39 Mein.) *Σιμωνίδου.*

ίλιον (cf. Choerob. orthogr. p. 248) libri hic et supra ecl. 30 | *καλέω* S: *καλόω* M[d] *καλῶ* A | *ἴρον* ut tamen *υ* nihil fere differat a *ν* S *ἴρου* M[d] *ρου* (*ἴ* superscr., *ν* ex *υ* A[2]) A: *Ἶρον* Valckenaer qui suspectavit v. *ἣν ἐκεῖνος κτὲ.* monens pro *ψυχὴν* (sic S M[d] A) certe *τύχην* exspectari. *Ἶρου, ἣν ἐξ ἀ. εἶχε, τύχην κεκτῆσθαι* ⟨*λέγω*⟩ ci. Meineke, *Ἶρου* [*ἣν ἐκεῖνος ἐξ ἀνάγκης εἶχε*] *τύχην κεκτῆσθαι* Cobet mnemos. IX p. 94 sq. exspectes *κτῆσθαι* coll. III 4, 99 ubi *πλεῦνα ἐκτέαται*, sed *δούλους κεκτημένον* libri III 6, 30 *τοῦ κεκτῆσθαι* III 16, 15. utramque igitur formam admiserit Eusebius Herodoti fortasse libros secutus

1 ecl. cum lemm. hab. SMA; *Δημο*[ς] ut solet S. recurrit ecl. flor. 92, 15 Mein. (*τοῦ αὐτοῦ* id est *Δημοκρίτου*); corp. Par. 194 Elt. (*Δημοκρίτου γνῶμαι*) ‖ 2 *ἐργασίης* S M[d] et flor. 92 *ἐργασῖ*[α]*'* A *ἐργασίας* corp. Par. | *περιγινόμενος* S A *περιγενόμενος* M[d] Tr. *περιγιγνόμενος* flor. 92 *περιγιγνόμενος* corp. Par. | *ἐπιφανέστερον* S M[d] A corp. Par.: *σῆμα* (vel *σημα*) *οὕτως ἐν τοῖς* ex ecloga priore (92, 14) male iterat flor. 92 ‖ 3 *τὸ* om. corp. Par. ‖ 4 ecl. hab. S M A (post ecl. 10, 37 Mein.) Mac. Chrys. (post ecl. 10, 34 Mein.); lemma om. S Mac. *βίωνος* M[d] A[2] *δίωνος* A[1]. Bioni vindicat etiam Theo rhetor progymn. 5 p. 99, 18 et 105, 7 Sp., Diogeni Laertius VI 50, de qua discrepantia quid iudicandum sit exposui proleg. in Telet. p. XLIII. Bianti tribuit anonymus Aphthonii commentator rhet. gr. v. II p. 17 sq. W. ad Demetrium (Phalereum) refertur flor. Mon. 188, cuius fides eo aliquantulum infringitur quod ex litterarum ordine statim subicitur *Δημόκριτος* cui hoc ipsum dictum adscribitur gnomol. Vat. 265 Sternb. aliorum testimonia collegit Sternbach qui addere poterat praeter ea quae disseruit Nauck *mél. gr.-rom.* V p. 728 sq. etiam Theophyl. Sim. hist. VIII 7 p. 295, 21 qui descripsit Clementem Alex. paed. II p. 191 P. ‖ 5 *βίων* S M[d] A[2]: *δίων* A[1] Mac. | *σοφὸς* Mac. | *μητρόπολιν ἔλεγε* (-*εν* M[d]) S M[d] Mac.: *ἔλεγε μητρόπολιν* A ‖ 7 ecl. sine lemm. hab. S Mac. Chrys., addito lemm. M A. testimoniis quae collegerant Fulvius Vrsinus carm. novem illustr. femin. p. 188 sq. et Wyttenbach ad Plut. de sera num. vind. p. 555 F nuper accessit gnomol. Vat. 513 (apophth. Vind. 120) ubi vide Sternbach

Σιμωνίδην παρακαλοῦντος τινὸς ἐγκώμιον ποιῆσαι καὶ χάριν ἕξειν λέγοντος, ἀργύριον δὲ μὴ διδόντος 'δύο' εἶπεν οὗτος 'ἔχω κιβωτούς, τὴν μὲν χαρίτων, τὴν δὲ ἀργυρίου· καὶ πρὸς τὰς χρείας τὴν μὲν τῶν χαρίτων κενὴν εὑρίσκω, ὅταν ἀνοίξω, τὴν δὲ χρησίμην μόνην'.

39 (10, 40 Mein.) *Ἀντιφῶντος* (fr. 126 Blass.[2]).

Οἱ δὲ ἐργαζόμενοι μὲν καὶ φειδόμενοι καὶ ταλαιπωροῦντες καὶ προστιθέντες ἥδονται οἷα δή τις ἂν εἰκάσειεν ἥδεσθαι· ἀφαιροῦντες δὲ καὶ χρώμενοι ἀλγοῦσιν, ὥσπερ ἀπὸ τῶν σαρκῶν ἀφαιρούμενοι.

40 (10, 41 Mein.) *Ἡροδότου* (VII 16).

Ὡς κακὸν εἴη, διδάσκειν τὴν ψυχὴν πλέον τι δίζεσθαι καὶ ἔχειν τοῦ παρεόντος.

41 (10, 42 Mein.) *Ἀντισθένους* (apophth. 10 Winckelm.).

Φιλάργυρος οὐδεὶς ἀγαθὸς οὔτε βασιλεὺς οὔτε ἐλεύθερος.

42 (10, 43 Mein.) *Δημοκρίτου* (fr. mor. 59 Mullach.).

Χρυσοῦ τὸν οἰόμενον νόον ἔχειν ὁ νουθετέων τι ματαιοπονέει.

---

1 *Σιμωνίδης* SMA Mac.: *Σιμωνίδην* Nauck recte, nisi forte mox delendum erit *οὗτος* (quod per *heus tu* vix apte explicat Wyttenbach, scripsisset opinor *ὦ οὗτος*) aut mutandum in *οἴκοι*. alia ratio est in gnom. Vat. ubi praecedunt *Ὁ αὐτὸς* (i. e. *Σιμωνίδης*) *νεανίσκου τινὸς αὐτὸν παρακαλοῦντος κτέ*. et deinde deest *οὗτος* ‖ 3 *εἶπεν* sup. lin. compend. S | *οὗτος* S M[d]: *οὕτως* (*οὖ*- A) A Mac. sed *ο* superscr. A[2] ‖ 5 olim fuisse *ἀνοίξω καὶ ἄχρηστον, τὴν δὲ ἀργυρίου μεστὴν καὶ μόνην χρήσιμον* aut *ἀνοίξω, τὴν δὲ χρημάτων μεστήν* suspicatur Wyttenbach. debuit saltem *τὴν δὲ* ⟨*τοῦ ἀργυρίου*⟩ vel potius *τὴν δὲ* ⟨*τῶν χρημάτων*⟩ *χρησίμην μόνην*, sed supplemento vix opus erit ‖ 6 ecl. cum lemm. hab. SMA | 7 *μὲν* sup. lin. S ‖ 11 ecl. cum lemm. hab. SMA ‖ 12 *δίζησθαι* Her. et sic M[d] e corr.: *δίξησθαι* A superscr. ζε A[2] *δίζεσθαι* S ‖ 13 *καὶ* S M[d] A: *αἰεὶ* Her. ‖ 14 ecl. cum lemm. hab. SMA. recurrit sine lemm. Boiss. anecd. gr. III p. 473, 14, ubi pro *ἐλεύθερος* legitur *ἰδιώτης* ‖ 17 ecl. cum lemm. hab. SMA. sententiam habet Democrates 18 eadem Democriteorum collectione usus ac Stobaeus ‖ 18 frustra corrigere vel delere voluerunt *χρυσοῦ*. immo insigne habes eclogariae socordiae documentum. nimirum *χρυσοῦ*, quod prioris quam ante oculos habebat erat eclogae,

43 (10, 44 Mein.) *Τοῦ αὐτοῦ* (fr. mor. 66 Mullach.).

Χρημάτων ὄρεξις, ἢν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη· μέζονες γὰρ ὀρέξιες μέζονας ἐνδείας ποιεῦσιν.

44 (10, 45 Mein.) *Δημοκρίτου* (fr. mor. 64 Mullach.).

Κακὰ κέρδεα ζημίην ἀρετῆς φέρει.

45 (10, 46 Mein.) *Διογένους.*

Διογένης ὡμοίου τοὺς φιλαργύρους τοῖς ὑδρωπικοῖς. :κείνους μὲν γὰρ πλήρεις ὄντας ὑγροῦ ἐπιθυμεῖν ποτοῦ ιὺς τε φιλαργύρους πλήρεις ὄντας ἀργυρίου ἐπιθυμεῖν λείονος, ἀμφοτέρους δὲ πρὸς κακοῦ. ἐπιτείνεσθαι γὰρ ῖλλον τὰ πάθη, ὅσῳ τὰ ἐπιθυμούμενα πορίζεται.

---

c male traxit Stobaeus, ut vidit Lortzing *über die eth. fragm. Demoit's* p. 10 sq. ex parte iam Orelli ad Democrat. p. 498. cf. Wachsmuth Stob. II 4, 12 p. 29 | *χρυσοῦ τὸν*] litt. *υσοῦ τ* in lac. M² | *νουτέων* ex *νουθετέον* corr. M¹ | *τι* (vel *τί*) om. Democrat., quem seitur Mullach

1 ecl. cum lemm. hab. S M A ‖ 2 *ἢν* vel *ἣν* libri; *ἐὰν* Orelli | *ρίζηται* mavult Meineke v. IV p. LVIII, sed vide Gomperz *die apol. r heilk.* p. 125 | *καιρῷ* pro *κόρῳ* ci. Meineke, *οὔρῳ* Hirschig, *λόγῳ* obs animadv. in Stob. p. 235 | *πενίας* compend. A ‖ 3 *πολλῶ* M^d | *λεπωτέρα* A | *ὀρέξεις* libri | *μέζονας* (*μείζονας* Tr.) etiam S ‖ 4 *ιεῦσιν* S *ποιέουσιν* M^d *ποιοῦσι* A ‖ 5 ecl. cum lemm hab. S M A ‖ *ημίαν* S M^d A ‖ 7 ecl. cum lemm. hab. SMA; *διογένης* A. Diogenis dicto s est Bio apud Teletem p. 29, 1 H., Bioneis sermonibus Horatius carm. ,13 epist. II 2, 146. cf. etiam Aristippus Plutarchi de cupiditate divitia p. 524 A. hydropici similitudo recurrit Polyb. XIII 2 Stob. flor. 93, 31 n. gnomol. Vat. 434 corp. Par. 89 Elt. (*Πλουτάρχου*) Theodor. Metoch. 60; Ovid. fast. I 215 Sen. ad Helv. cons. 11, 3 ‖ 8 *Διογένης* om. S M^d | *οίου* (ut scripserat Gesn.² p. 131) A: *ὁμοίου* S M^d *ὁμοίους* Tr. p. 86 ‖ *κείνους μὲν γὰρ* S M^d A; *κἀκείνους γὰρ* A² unde *καὶ ἐκείνους γαρ* dit Meineke reliqua sana esse opinatus | post *πλήρεις ὄντας* signo ssionis adhibito addit in fronte folii *ὑγροῦ ἐπιθυμεῖν ποτου* (accentum er *ου* resecuit bibliopega) *τούσ τε φϊλαργύρουσ πλήρεισ ὄντας* M¹ d recepi: om. S A. genuina esse haec verba prodit homoeoteleuton, archetypi librarius in margine suppleverit quae in verborum contextu serat. malim tamen *τοὺς δὲ* pro *τούς τε*. post *ἐπιθυμεῖν πλείονος* tra olim *τούτους δ' ὕδατος* inseruerat Gesn.¹ p. 104, inde vulg. ‖ 11 ροτέρους S: *ἀμφοτέροις* M^d A | *δὲ* e corr. M^d | post *δὲ* add. *ταὐτὸ* A²

46 (10, 47 Mein.) *Σωκράτους.*

Σωκράτης ἐρωτηθεὶς τίνες φιλοχρήματοι, ʿοἱ τὰ αἰσχρὰ κέρδη θηρώμενοιʾ εἶπε ʿκαὶ τοὺς ἀναγκαίους τῶν φίλων ὑπερορῶντεςʾ.

ὑπὸ ὕλης θολούμενον μήτε ὑπὸ σώματος περιβαλλόμενον, γυμνὸν φανὸν ἄτρεπτον σεμνὸν ἀναλλοίωτον ἀγαθόν· τὰ δὲ ἐνθάδε, ὦ τέκνον, οἷά ἐστιν ὁρᾷς ἄδεκτα τούτου τοῦ ἀγαθοῦ, φθαρτὰ παθητὰ διαλυτὰ τρεπτὰ ἀεὶ ἐναλλοιούμενα, ἄλλα ἐξ ἄλλων γινόμενα. ἃ οὖν μηδὲ πρὸς ἑαυτὰ ἀληθῆ ἐστι, πῶς ⟨ἂν⟩ δύναιτο ἀληθῆ εἶναι; πᾶν γὰρ τὸ ἀλλοιούμενον ψεῦδός ἐστι, μὴ μένον ἐν ᾧ ἐστί, φαντασίας δὲ μετατρεπόμενον ἄλλας καὶ ἄλλας ἐπιδείκνυται ἡμῖν. — Οὐδὲ ἄνθρωπος ἀληθές ἐστιν, ὦ πάτερ; — Καθότι ἄνθρωπος, οὐκ ἔστιν ἀληθές, ὦ τέκνον. τὸ γὰρ ἀληθές ἐστι τὸ ἐξ αὐτοῦ μόνον τὴν σύστασιν ἔχον, καὶ μένον καθ' αὑτὸ οἷον ἐστίν· ὁ δὲ ἄνθρωπος ἐκ πολλῶν συνέστηκε καὶ οὐ μένει καθ' αὑτόν, τρέπεται δὲ καὶ μεταβάλλεται ἡλικίαν ἐξ ἡλικίας καὶ ἰδέαν ἐξ ἰδέας, καὶ ταῦτα ἔτι ὢν ἐν τῷ σκήνει. καὶ πολλοὶ τέκνα οὐκ ἐγνώρισαν χρόνου ὀλίγου μεταξὺ γενομένου, καὶ πάλιν τέκνα γονεῖς ὁμοίως. τὸ οὖν οὕτως μεταβαλλόμενον ὥστε ἀγνοεῖσθαι, δύναται ἀληθὲς εἶναι, ὦ Τάτ; οὐ τοὐναντίον ψεῦδός ἐστιν ἐν ποικίλαις γιγνόμενον φαντασίαις τῶν μεταβολῶν; σὺ δὲ νόει ἀληθές τι εἶναι τὸ μένον καὶ ἀίδιον· ὁ δὲ ἄνθρωπος οὐκ ἔστιν ἀεί· ἄρα

---

1 *περιβαλλόμενον* S M^d A Br, Patrit.: *περιαγαλλόμενον* L ‖ 2 *ἀγαθόν* secludi vult Meineke ‖ 3 *ὁρᾶς* (vel *ὁρᾷς*) *ἄδεκτα* L M^d Br: *ὁρᾶσθαι δεκτὰ* S *ὁρᾶσθαι δὲ κτ* (*ὰ* superscr.) A; *ὁρᾶσθαι ἄδεκτα* Patrit. ‖ 4 *τούτου* L M^d A Br: *τοῦδε* S Patrit. ‖ 5 *γινόμενα* libri | *μηδὲ* Meineke: *μήτε* S L M^d A Br Patrit. ‖ 6 ante *πρὸς* quod scripsit *αὐτ* (*ὰ* superscr.) punctis delevit A^1 | *ἂν* addidit Meineke | *ἀληθ* (*η τ̄* superscr.) ut videtur A ‖ 7 *πᾶν* corr. ex *πῶς* S^1 | *μένον* Patrit.: *μόνον* L S M^d A Br ‖ 9 *οὐδὲ*] *ὁδὲ* A | *ἀληθὲς* hic et 10 mavult Meineke: *ἀληθής* libri ‖ 11 *τὸ* (ante *ἐξ*) tacite ex Hermete Gesn.[1], inde vulg.: *καὶ* L S M^d A Br | *αὑτοῦ* ante Meinekium | *μόνον* S M^d A Patrit.: *μόνου* L (compend.) Br ‖ 12 *ὁ δὲ* (*δ'* Patrit.) *ἄνθρωπος* L M^d A Br Patrit.: *ὅδε ὁ ανος* S *ὁ ἄνθρωπος ὅδε* Tr. p. 92, inde tacite *ὁ ἄνθρωπος δὲ* Gesn.[1], vulg. ‖ 14 *μεταβάλλεται*] *ἐμβάλλεται* L | *ἰδέαν ἐξ ἰδέας* L M^d A^2 Br Patrit.: *εἰδέαν ἐξ εἰδέας* S *ἰδίαν ἐξ ἰδίας* A^1 ‖ 16 *γενομένου*] *γεγενημένου* L ‖ 19 *γινόμενον* libri ‖ 21 *μένον καὶ ἀίδιον* Patrit.: *μόνον καὶ δίκαιον* S A *μόνον ἀΐδιον* L M^d Br

οὐδὲ ἀληθές ἐστι. φαντασία δέ ἐστι τὶς ⟨ὁ⟩ ἄνθρωπος, ἡ δὲ φαντασία ψεῦδος ἂν εἴη ἀκρότατον. — Οὐδὲ ταῦτα οὖν, ὦ πάτερ, τὰ ἀίδια σώματα, ἐπεὶ μεταβάλλεται, ἀληθῆ ἐστι; — Πᾶν μὲν οὖν τὸ γεννητὸν καὶ μεταβλητὸν οὐκ ἀληθές· ὑπὸ δὲ τοῦ προπάτορος γενόμενα τὴν ὕλην δύναται ἀληθῆ ἐσχηκέναι. ἔχει δέ τι καὶ ταῦτα ψεῦδος ἐν τῇ μεταβολῇ· οὐδὲν γὰρ μὴ μένον ἐφ' ἑαυτῷ ἀληθές ἐστιν. — Ἀληθές, ὦ πάτερ, τί οὖν ἂν εἴποι τις; — Μόνον τὸν ἥλιον παρὰ τὰ ἄλλα πάντα μὴ μεταβαλλόμενον, μένοντα δὲ ἐφ' ἑαυτῷ, [ἀλήθειαν,] διὸ καὶ τὴν ἐν τῷ κόσμῳ πάντων δημιουργίαν αὐτὸς μόνος πεπίστευται, ἄρχων παντων καὶ ποιῶν πάντα, ὃν καὶ σέβομαι καὶ προσκυνῶ· αὐτοῦ τὴν ἀλήθειαν μετὰ τὸν ἕνα καὶ πρῶτον τοῦτον δημιουργὸν γνωρίζω. — Τί οὖν ἂν † εἶναι τὴν πρώτην ἀλήθειαν, ὦ πάτερ; — Ἕνα καὶ μόνον, ὦ Τάτ, τὸν μὴ ἐξ ὕλης, τὸν μὴ ἐν σώματι, τὸν ἀχρώματον, τὸν ἀσχημάτιστον, τὸν ἄτρεπτον, τὸν μὴ ἀλλοιούμενον, τὸν ἀεὶ ὄντα. τὸ δὲ ψεῦδος, ὦ τέκνον, φθείρεται. πάντα δὲ τὰ ἐπὶ γῆς φθορᾷ κατέλαβε καὶ ἐμπεριέχει καὶ ἐμπεριέξει ἡ τοῦ ἀληθοῦς πρόνοια. χωρὶς γὰρ φθορᾶς οὐδὲ γένεσις δύναται συστῆναι· πάσῃ δὲ γενέσει φθορὰ ἕπεται, ἵνα πάλιν γένηται· τὰ γὰρ γιγνόμενα ἐκ τῶν

---

1 *ὁ* tacite addidit Meineke ‖ 2 post *ἀκρότατον* v. *οὐδὲ ταῦτα* — 18 *τὸν ἀεὶ ὄντα* et v. *τὸ δὲ ψεῦδος* (18) — p. 441, 18 *ἐνέργημα εἶναι* inverso ordine habent L Br ‖ 4 *γεννητὸν* L S M[d] Patrit.: *γενητὸν* A Br ‖ 5 *προπα*[τρ] L ‖ 6 *ἀληθῆ*] *ἀληθῶς* L | *τι*] *τ*[οι] ut videtur A ‖ 7 *ἐφ' ἑαυτῷ* Patrit.: *ἐφ' αὐτῶ* L *ἐφ' αὐτὸ* corr. ex *ἐφ' αὐτῶ* S *ἐφαυτὸ* M[d] *ἐφ' αὐτὸ* A Br Tr. ‖ 9 *παρὰ*] *π*[ὲ] L ‖ 10 *ἀλήθειαν* eiecit Buecheler; *ἀλήθειαν; Ἀλήθειαν* Patrit. ‖ 11 prius *πάντων* om. Patrit. | *αὐτὸς* L S M[d] A Br: *οὗτος* (volebat *οὗτος*) Patrit. ‖ 12 *ὃν καὶ* — 14 *δημιουργὸν γνωρίζω* om. L M[d] A Br ‖ 13 *καὶ μετὰ* tacite ex Hermete Gesn.[1], inde vulg. ‖ 14 *εἶναι* L S M[d] A Br: *εἶναι λέγεις* Patrit. *εἴποιμεν* Buecheler *εἴποις* Wachsmuth *εἴποι ⟨τις⟩* ego ‖ 18 *δὲ* om. M[d] A | *ταῦτα* pro *πάντα* Tr. ‖ 19 *τὰ* om. Patrit. | *φθορὰ* libri: corr. Buecheler | *ἐμπεριέχει*] *περιέχει* A ‖ 20 *ἀληθοῦς* om. L | *γὰρ*] *δὲ* A ‖ 21 *δύναται* ex compend. *γίγνεται* corr. S | v. *πάσῃ δὲ* — 441, 2 *τῶν ὄντων* infra versum lineola induxit A[2] ‖ 22 *πάλι* S

φθειρομένων ἀνάγκη γίγνεσθαι, φθείρεσθαι δὲ τὰ γιγνόμενα ἀνάγκη, ἵνα μὴ στῇ ἡ γένεσις τῶν ὄντων. πρῶτον οὖν τὸν δημιουργὸν γνώριζε εἰς τὴν γένεσιν τῶν ὄντων. τὰ οὖν ἐκ φθορᾶς γιγνόμενα ψευδῆ ἂν εἴη, ὡς ποτὲ μὲν ἄλλα ποτὲ δὲ ἄλλα γιγνόμενα· τὰ γὰρ αὐτὰ γίγνεσθαι ἀδύνατον· τὸ δὲ μὴ αὐτό, πῶς ἂν ἀληθὲς εἴη; φαντασίας οὖν καλεῖν δεῖ ταῦτα, ὦ τέκνον, εἴ γε ὀρθῶς προσαγορεύομεν, τὸν ἄνθρωπον ἀνθρωπότητος φαντασίαν, τὸ δὲ παιδίον παιδίου φαντασίαν, τὸν δὲ νεανίσκον νεανίσκου φαντασίαν, τὸν δὲ ἄνδρα ἀνδρὸς φαντασίαν, τὸν δὲ γέροντα γέροντος φαντασίαν. οὔτε γὰρ ὁ ἄνθρωπος ἄνθρωπος, οὔτε τὸ παιδίον παιδίον, οὔτε ὁ νεανίσκος νεανίσκος, οὔτε ὁ ἀνὴρ ἀνήρ, οὔτε ὁ γέρων γέρων· μεταβαλλόμενα δὲ ψεύδεται καὶ τὰ προόντα καὶ τὰ ὄντα. ταῦτα μέντοι οὕτω νόει, ὦ τέκνον, ὡς καὶ τῶν ψευδῶν τούτων ἐνεργειῶν ἄνωθεν ἠρτημένων ἀπ' αὐτῆς τῆς ἀληθείας· τούτου δὲ οὕτως ἔχοντος, τὸ ψεῦδος φημὶ τῆς ἀληθείας ἐνέργημα εἶναι.

---

1 *γίγνεσθαι* (*γίνεσθαι* S) L S M^d A Br Patrit.: *φθείρεσθαι* ci. Nauck non recte | *γινόμενα* S M^d Patrit. ‖ 3 *οὖν τὸν* S ut videtur (perierunt *ου* et ex parte *ν* prior foramine), Tr. p. 93 Patrit.: *τοῦτον* L M^d A *τοῦτο* Br | *γνώριζε* S Patrit. *γνωρίζεις* (ε supra) A: *νόμιζε* L M^d Br ‖ 4 *τὰ οὖν* S L M^d Br Patrit.: *τὰ γοῦν* (sic) A, unde *γ' οὖν* tacite Gaisford, Meineke | *γινόμενα* L S M^d A Br Patrit. hic et 5, nisi quod 5 *γενόμενα* M^d | 5 *γίνεσθαι* L S M^d Br Patrit.: *δύνασθαι* A^1 *γρ. γίνεσθαι* A^2 mrg ‖ 6 *ἀδύνατον* Patrit.: *δυνατὸν* L S M^d A *οὐ δύνατον* Br ex emend. | *ἂν* om. Patrit. ‖ 7 *καλεῖν δεῖ* L S M^d Patrit.: *δεῖ καλεῖν* A Br | *ταῦτα* L S M^d Br *τοῦτο* Patrit.: *τὰ τοιαῦτα* A, receperunt Gaisford et Meineke ‖ 9 *παιδίον*] *παιδίας* compend. L | *τὸν δὲ νεανίσκον*, sed litterae *ὲ ν* evan. L ‖ 10 *φαντασίαν* post *νεανίσκου* et *ἀνδρὸς* om. L Br | *δὲ* ante *ἄνδρα* etiam A, aberravit Gaisford ‖ 11 *δὲ γέροντα* L Br, Tr. p. 93, inde vulg., Patrit.: *γέροντα* S M^d A | v. *τὸν δὲ γέροντα γέρ. φ.* ante *τὸν δὲ νεανίσκον* collocat Patrit. | *φαντασίας* Br, sed dubitat Thomas ‖ 13 *οὔτε ὁ γέρων γέρων, οὔτε ὁ ἀνὴρ ἀνήρ* S ‖ 14 *τὰ προόντα καὶ τα ὄντα*] supra litt. *τα καὶ τὰ* rasura vel chartae vitium Br ‖ 15 *οὕτω* S Patrit.: *οὕτως* L M^d A Br ‖ 17 *τούτου δὲ — τῆς ἀληθείας* om. M^d | *το*

CAPVT XII.

ΠΕΡΙ ΨΕΥΔΟΥΣ.

1 *Εὐριπίδου* (fr. 1035 N.^{2}).
Δύστηνος, ὅστις τὰ καλὰ καὶ ψευδῆ λέγων
οὐ τοῖσδε χρῆται τοῖς καλοῖς ἀληθέσιν.
2 *Σοφοκλέους Ἀκρισίῳ* (fr. 59 N.^{2}).
Ἀλλ' οὐδὲν ἕρπει ψεῦδος εἰς γῆρας χρόνου.
3 *Τοῦ αὐτοῦ Ἀλεάδαις* (fr. 76 N.^{2}).
Κακὸν τὸ κεύθειν κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς.
4 *Τοῦ αὐτοῦ Κρέουσα* (fr. 326 N.^{2}).
Καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν·
ὅτῳ δ' ὄλεθρον δεινὸν ἡ ἀλήθει' ἄγει,
συγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν.
5 *Μενάνδρου* (fab. inc. fr. 270 com. IV p. 292).
Κρεῖττον ⟨δ'⟩ ἑλέσθαι ψεῦδος ἢ ἀληθὲς κακόν.

Caput duodecimum hab. S M A, aliquot eclogas suo more Br et Mac. Chrys. titulum sic ut Photius omnes, *λογος η* add. S *ιβ'* M A || 3 ecl. cum lemm. hab. S M A, sine lemm. Br | 4 *καὶ τὰ καλα ψευδῆ* libri: corr. Porson adv. p. 276; *τὰ καλὰ κἀψευδῆ — τοῖς καλοῖς κἀλ.* ci. F. G. Schmidt anal. Soph. et Eur. p. 136 capiti *περὶ ψεύδους* minus congruenter || 5 *οὐκ οἶδε χρῆσθαι* V. Iernstedt | *καλοῖς* Br ut Grotius dict. poet. p. 79: *κακοῖς* S M^d A | *ἀληθέσιν* libri: *κἀληθέσιν* Porson l. c. || 6 ecl. hab. S, om. M A; *σοφο^ς ἀκρισῖ* S *Σοφο^{κλ} ἀκρι^σ* Voss. *Σοφοκλέους* nec plura Tr. p. 94 | 7 *εἰς μῆκος χρόνου* Nauck mél. Gréco-Rom. II p. 456 || 8 ecl. hab. S, om. M A; *τ̆ αυ^τ ἀλεάδ* (*δ* non sine compendio) S || 9 *κοὐ* ci. Gesn.^{1} p. 114 mrg: *καὶ* S Tr. p. 94 | 10 ecl. hab. S (post ecl. 12, 3) M A Br (post ecl. 12, 1) Mac. Chrys. (tamquam capitis primam); *τ̆ αυ^τ κρέουσα* (sic) S *Σοφοκλέους κρεοῦσα* (*κρέουσα* Mac.) M^d A Mac. tres vide fabulas ex litterarum ordine consertas || 11 *οὖν* om. Br || 12 *ἡ ἀλήθει'* vel *ἡ ἀλήθεια* (sic M^d) libri || 13 *σύγγνωστον* M^d; *συγγνωτὸν* mavult Nauck || 14 ecl. cum lemm. hab. S M A Mac. Chrys., sine lemm. Br. recurrit Maxim. c. 35 p. 625 Combef. (*Μενάνδρου*) Anton. I c. 21 p. 26 | 15 *κρεῖσσον* Mac. | *δ' ἑλέσθαι* tacite Gesn.^{1} p. 114, inde vulg.: *ἑλέσθαι* libri; *λέγεσθαι* Nauck *δέχεσθαι* Naber mnemos.^{2} VIII p. 425 *ἀνελέσθαι* dubitanter Buecheler

6 *Πεισάνδρου* (fr. 8 Kink.).
Οὐ νέμεσις καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν.
7 *Ὁμήρου* (Od. III 20).
Ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστί.
8 *Μενάνδρου* (fab. inc. fr. 78 com. IV p. 255).
Τἀπιθανὸν ἰσχὺν τῆς ἀληθείας ἔχει
ἐνίοτε μείζω καὶ πιθανωτέραν ὄχλῳ.
9 *Μενάνδρου* (fab. inc. fr. 270 com. IV p. 292).
Ἦ πού ⟨τι⟩ χαλεπόν ἐστι τὸ ψευδῆ λέγειν.
10 *Εὐριπίδου Ἱππολύτου* (fr. 433 N.[2]).
Ἔγωγέ φημι καὶ νόμον γε μὴ σέβειν
ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον.
11 *Διφίλου* (fab. inc. fr. 30 com. IV p. 425).
Καιρῷ τιθέμενον κέρδος ὡς καρπὸν φέρει.
12 *Διφίλου Θησαυροῦ* (com. IV p. 399).
Ὑπολαμβάνω τὸ ψεῦδος ἐπὶ σωτηρίᾳ
λεγόμενον οὐθὲν περιποιεῖσθαι δυσχερές.

---

1 ecl. cum lemm. hab. S A, om. M; *πισάν* S ‖ 3 ecl. cum lemm. hab. S A, om. M. legitur supra versus flor. 11 init., alterutro loco nescio an non recte. recurrit versus flor. Mon. 132 ‖ 5 ecl. cum lemm. hab. S A (post ecl. 12, 7) M (post ecl. 12, 5); *τοῦ αὐτοῦ* M ‖ 6 *τἀπίθανον* Kock com. III p. 186: *τὸ πιθανὸν* S M[d] A; *τὸ ψεῦδος* Valckenaer diatr. p. 258 ‖ 7 *πιθανωτέραν* Salmasius: *πιθανώτερον* S A *πιθανότερον* M[d] | *ὄχλῳ* Salmasius: *ὄχλον* S M[d] A ‖ 8 ecl. cum lemm. hab. S M A; *τοῦ αὐτοῦ* M. *Εὐριπίδου* quod legitur Tr. p. 94 fluxit, ut centies observatur in codicibus proletariis, ex ecloga proxima. moneo propter Meinekium et Kockium ‖ 9 *τι* addidit Grotius dict. poet. p. 79 ‖ 10 ecl. cum lemm. hab. S M A; *ἱππολύτῳ* M[d] ‖ 11 *μὴ σθένειν* ci. Gomperz vix recte. *σέβειν* certe gnomologus qui *νόμον γε μὴ σέβειν* fere intellexit *μὴ ἀληθεύειν* ‖ 13 ecl. cum lemm. hab. S M A ‖ 14 *ψεῦδος* pro *κέρδος* scripsit Gesn.[3] p. 140 non necessario, unde *ψεῦδος εἰς κέρδος φέρει* proposuit Meineke idque ipsum in margine sui exemplaris coniecerat Iacobs. posthac ⟨*ψεῦδος ἐν*⟩ *καιρῷ τιθέμενον κέρδος ὡς καρπὸν φέρει* ⟨*Δένδρον*⟩ temptavit Meineke flor. IV p. LIX male ‖ 15 ecl. cum lemm. hab. M A, om. S. lemma *διφίλου* quod tamquam ex S commemorat Gaisford, illud est quod eclogae 11 praemittitur ‖ 17 *περιποιεῖσθαι* M[d]: *ποιεῖσθαι* A

13 *Δημοκρίτου* (fr. mor. 125 Mullach.).

Ἀληθομυθέειν χρεών, ὅ πολὺ λώιον.

14 *Θαλῆς.*

Θαλῆς ὁ Μιλήσιος ἐρωτηθεὶς πόσον ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς 'ὅσον' ἔφη 'ὀφθαλμοὶ τῶν ὤτων.'

15 *Χαιρήμονος* (fr. 27 p. 789 N.²).

Ψευδῆ δὲ τοῖς ἐσθλοῖσιν οὐ πρέπει λέγειν.

16 (12, 17 Mein.) *Θεόγνιδος* (607—610).

Ἀρχῇ ἔπι ψεύδους μικρὰ χάρις, εἰς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακὸν ἀμφότερα
γίνεται. οὐδέ τι καλὸν ὅτῳ ψεῦδος προσομαρτῇ
ἀνδρὶ καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

17 (12, 19 Mein.) *Θεοφράστου* (fr. 153 Wimm.).

Ἐκ διαβολῆς καὶ φθόνου ψεῦδος ἐπ' ὀλίγον ἰσχῦσαν ἀπεμαράνθη.

18 *Δημητρίου.*

Δημήτριος ἐρωτηθεὶς τί φαῦλον τοῖς ψευδομένοις

---

1 ecl. cum lemm. hab. S M A. eadem ecloga legitur Democrat. 10, ubi in hanc formam abiit: *Ἀληθόμυθον χρὴ εἶναι, οὐ πολύλογον* ‖ 2 *ἀληθομυθέειν* M^d^A: *ἀληθομυθεύειν* S | *ὅ πολυ* Buecheler: *ὅπου* libri; *πολὺ λώιον* ex Homero, vide p. 419, 3. non praefero *ὅκου λώιον* ‖ 3 ecl. sine lemm. hab. S M (post ecl. 12, 13) Br (post ecl. 12, 5), addito lemmate A (post ecl. 12, 13); cohaeret ecloga cum priore sine rubr. M. iteratur Maxim. c. 35 p. 625 Combef. (*Θαλῆς*) ‖ 4 *ἐρωτηθεὶς* S Br: *ἐρωτηθεὶς ὑπό τινος* M^d^ A Max. ‖ 5 *τῶν* om. Br ‖ 6 ecl. cum lemm. hab. S M A ‖ 7 *ἐσθλῆσιν* M^d^ ‖ 8 ecl. cum lemm. hab. S M A ‖ 9 *μικρὴ* Theogn. | *εἰς* S M A et Theognidis codices A O, *ἐς* reliqui Theognidis libri ‖ 10 *δὴ* add. A² ut videtur | *ἀμφότ* S *ἀμφότερον* Tr. p. 94 et Theogn., *ἀμφότερα* M^d^ A ‖ 11 *οὐδ' ἔπι καλὸν* scripsit Bergk | *προσομαρτῇ* S et *προσαμαρτῇ* Theognidis cod. A, *πρὸσομαρτεῖ* M^1d^ *προσομαρτεῖ* A et Theognidis plerique ‖ 12 *καὶ* S M A et Theognidis cod. A *κἂν* Theognidis reliqui ‖ 13 ecl. cum lemm. hab. S M A (post ecl. 12, 17 Mein.) ‖ 14 *φθόνου*, sed *φθ* ex *ψευ* ut videtur S ‖ 16 ecl. cum lemm. hab. M A (post ecl. 12, 19 Mein.), sine lemm. Br (post ecl. 12, 14) Mac. Chrys. (post ecl. 12, 5), om. S. temere post ecl. 12, 17 Mein. inseruit Gesn.² p. 140, inde vulg. huius apophthegmatis similia congesserunt Boissonade ad Georgid. p. 84 adn. 6 Sternbach ad gnomol. Vat. 366

παρακολουθεῖ, *εἶπε* ‘*τὸ μηδ᾽ ἂν τἀληθῆ λέγωσιν ἔτι πιστεύεσθαι*᾽.

19 (12, 20 Mein.) *Αἰλιανοῦ* (var. hist. VII 20).

Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Κεῖος γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζών, ᾐδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ καὶ τὴν τρίχα πολιὰν οὖσαν ἐπειρᾶτο βαφῇ ἀφανίζειν. παρελθὼν οὖν εἶπεν ἐκεῖνα ὑπὲρ ὧν καὶ ἀφίκετο. ἀναστὰς οὖν ὁ Ἀρχίδαμος ‘*τί ἂν*᾽ *ἔφη* ‘*οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει;*᾽

20 (12, 21 Mein.) *Λυσίου* (fr. 267 Sauppe).

Ψεύδεσθαι προχειρότατον τοῖς πολλάκις ἁμαρτάνουσι.

21 (12, 22 Mein.) *Θεμιστίου ἐκ τοῦ Μετριοπαθοῦς ἢ Φιλοτέκνου* (Themist. p. 258 b).

---

1 *λέγωσιν* ex *λέγεσθαι* corr. Mac. m. pr. ‖ 3 ecl. sine lemm. hab. S (post ecl. 12, 19 Mein. sed om. 12, 18) Br (post ecl. 12, 18), addito lemmate M A Mac. Chrys. (post ecl. 12, 18) ‖ 4 *ἐς* M[d] | *Κεῖος* Mac. Ael.: *κῖος* S *κίος* M[d] Br *χῖος* A ‖ 5 post *καὶ* addunt *διὰ ταῦτα* libri Ael., vide Hercher praef. ed. Didot. p. IX | *τὴν* (compend.) etiam S, *τῷ* Tr. p. 95, moneo propter Gaisfordum; *ω* (ρ superscr.) S mg ‖ 6 post *παρελθὼν οὖν* Aeliani codicum interpolator adiecit *εἰς τοὺς Λακεδαιμονίους καὶ τοιαύτην ὑποφαίνων τὴν κεφαλήν*, fraudem perspexit Hercher ‖ 7 *εἶπεν ἐκεῖνα* S M[d] A Br Mac.: *ἐκεῖνα εἶπεν* libri Aeliani ‖ 8 *δὲ* pro *οὖν* Br | *ὁ* (*ὁ* om. Br) *ἀρχίδαμος* libri Stob.: *Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς* Aeliani interpolator | *δ᾽* ante *ἂν* add. libri Ael. ‖ 9 *τῆς ψυχῆς* et *τῆς κεφαλῆς* A[2] ‖ 10 post *περιφέρει;* add. Ael.: *καὶ ἐξέωσε τὰ ὑπ᾽ αὐτοῦ λεχθέντα, διαβάλλων τοῦ Κείου τὸν τρόπον ἐξ ὧν ἑωρᾶτο.* ‘quae si sprevit Stobaeus, tenuit consuetudinem suam, quam in excerpendis Aelianeis semper habuit; historiolarum enim epilogos, quos nihil ad rem suam facere intelligebat, resecare quam in florilegium suum admittere maluit᾽ Hercher l. s. c. ‖ 11 ecl. cum lemm. hab. M A, sine lemm. S ‖ 14 ecl. cum lemm. hab. S M A. verba ipsa cum ex ea petita sint oratione quae inscribitur *Βασανιστὴς ἢ φιλόσοφος*, aut ipsius Stobaei subest error, quod suspicatur Meineke v. IV p. LIX, aut locus *ἐκ τοῦ Μετριοπαθοῦς ἢ φιλοτέκνου* adsumptus intercidit una cum lemmate *ἐκ τοῦ Βασανιστοῦ ἢ φιλοσόφου*

Οὐδεμία γὰρ μοχθηρία μᾶλλον δυσκοινώνητος ἀπιστίας· ἀλλ' αὕτη ἐστὶν ἡ κακία, πρὸς ἣν μόνην καὶ φυλακῆς ἐξαπορoῦμεν. καὶ γὰρ δὴ ὃ μόνον ἐπορισάμεθα φυλακτήριον, λέγω δὲ τὸν ὅρκον, τούτῳ αὐτῷ μάλιστα καταχρῆται, ὅταν δέῃ τι ἄπιστον ἄνδρα κακῶς δράσαντα ἐξαρνήσασθαι. Ἔστι δὲ δή τι καὶ ἕτερον ψεῦδος, ὃ τοὺς μὲν ἄλλους οὐ πάνυ δή τι λυμαίνεται, αἶσχος δέ ἐστι τοῦ χρωμένου· γίνεται γὰρ οὐκ ἐν τῷ καθ' ἑτέρου τὶ λέγειν ἢ πράττειν, ἀλλ' ἐν τῷ περὶ ἑαυτοῦ τε καὶ τῶν ἑαυτοῦ. διπλοῦν δὲ τοῦτο καὶ δισχιδές· ἢ γὰρ ἐν τῷ φαυλότερα καὶ ἐλάττω λέγειν τῶν προσόντων ἀληθινῶς, ἢ ἐν τῷ μείζω τε καὶ σεμνότερα. καλεῖται δὲ τὸ μὲν ἐνδεέστερον εἰρωνεία, τὸ δὲ πλέον ἀλαζονεία. τὸ μὲν δὴ ἐλλεῖπον τοῦ ἀληθοῦς κομψόν τέ ἐστι καὶ αἱμύλον καὶ ἐνίοτε οὐκ ἄχρηστον τῷ φιλοσόφῳ, καὶ διὰ τοῦτο αὐτὸ καὶ Σωκράτης παρελάμβανεν ἐν τοῖς λόγοις, ὁπότε ἐδεῖτο ἐπισκῶψαί τινα σοφιστὴν τύφου μεστὸν καὶ γέμοντα περιφροσύνης. μᾶλλον γάρ τι αἰσθάνονται τῆς

1 *δυσκοινώνητος* S M[d] Themist.: *δυσκοινότατος* A[1] *δυσκοινώνωτ* (ο supra) ut videtur A[2] mrg | *ἀφ' ἑστίας* Tr. ‖ 2 *αὕτη* S A Themist.: *αὐτὴ* M[d] ‖ 3 ⟨*ἐπο*⟩*ρισάμεθα* ut tres litt. foramine perierint S *ἐπορισάμεθα* A Themist.; *ἐπορισόμεθα* M[d] ‖ 4 *λέγω δὲ τὸν ὅρκον τούτω* S M[d] A: *λέγω δὴ τὸν ὅρκον καὶ τὴν ἐπίκλησιν τῶν θεῶν, τούτῳ* Themist.; *τὸν ὅρκον λέγω, τούτῳ* Tr., inde vulg. ‖ 5 *καταχρῆται, ὅταν* — 6 *ἐξαρνήσασθαι* S M[d] A: *καταχρῆται εἰς τὸ ῥᾷον διαλανθάνειν, καὶ γελοῖον μὲν τὸ Στυγὸς ὕδωρ, γελοία δὲ ἡ Στὺξ ἐκείνη, λῆροι δὲ οἱ Ταρτάριοι δαίμονες, λῆρος δὲ αὐτὸς ὁ Τάρταρος, ὅταν — ἐξαρνήσασθαι* Themist. ‖ 6 ante *Ἔστι δὲ* quae habet Themistius, ea recisa sunt a Stobaeo | *ἔστι* (*ἔστιν* M[d]) *δὲ δή τι* S M[d] A: *ἔστι δέ τι* Themist. ‖ 8 *καθ' ἑτέρου* S M[d] A: *θατέρου* Themistii cod. Ambrosianus ‖ 9 *περὶ ἑαυτοῦ τε* scripsi: *περὶ αὐτοῦ τε* (vel *τὲ*) S M[d] A *περὶ ἑαυτοῦ* (om. *τε*) Themist. ‖ 10 *τῶν ἑαυτοῦ* S M[d] A Themist.; *τοῦ ἑαυτοῦ* Tr., *τῆς ἑαυτοῦ* operarius Gesn.[2] p. 141, inde vulg. ‖ 11 *φαυλότερα* — *ἐν τῷ* (12) om. Tr. | *φαυλότερα* S M[d] A: *φαυλότερον* Themistii cod. Ambros. qui mox om. *καὶ σεμνότερα* ‖ 16 *αὐτὸ* om. Themistius | *παρελάμβανε τοῖς λόγοις* Themistii vulgata ‖ 17 *ἐπισκῶψαι* A sed *ω* ex *ο* corr. fortasse A[1] ‖ 18 *περιφροσύνης* S M[d] A: *περὶ σωφροσύνης* Themistii vulg. | *τι* om. Themistius

ἑαυτῶν οὐδενείας, ὅταν ἀμαθέστεροι ἐξελέγχωνται τοῦ μηδὲν εἰδέναι προσποιουμένου. τὸ δὲ ἕτερον τὸ ὑπερβάλλον βαρύ τε καὶ ἐπαχθές, καὶ οὐδὲν οὕτως ἄκουσμα φορτικὸν ὡς ὁ καθ' ἑαυτοῦ ἔπαινος, καὶ ταῦτα ἐπὶ παιδείᾳ, ἐφ' ᾗ καὶ ἄλλων ἐπαινούντων ἐρυθριᾶν χρεὼν τοὺς ἀληθινῶς αὐτῆς ἐπηβόλους.

22 (Platonis de rep. VII p. 535 D—E)

Οὐκοῦν καὶ πρὸς ἀλήθειαν ταὐτὸν τοῦτο ἀνάπηρον ψυχὴν θήσομεν, ἣ ἂν τὸ μὲν ἑκούσιον ψεῦδος μισῇ καὶ χαλεπῶς φέρῃ αὐτή τε καὶ ἑτέρων ψευδομένων ὑπεραγανακτῇ, τὸ δὲ ἀκούσιον εὐκόλως προσδέχηται καὶ ἀμαθαίνουσά που ἁλισκομένη μὴ ἀγανακτῇ, ἀλλ' εὐχερῶς ὥσπερ θηρίον ὕειον ἐν ἀμαθίᾳ μολύνηται;

23 (12, 24 Mein.) *Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ* (p. 240 C—E).

Ὁρᾷς γοῦν ὅτι καὶ νῦν διὰ τῆς ἐπαλλάξεως ταύτης ὁ πολυκέφαλος σοφιστὴς ἠνάγκασεν ἡμᾶς τὸ μὴ ὂν οὐχ

---

1 *οὐδενείας* S Themist.: *οὐδενίας* M^d A | *ἐξελέγχωνται* S M^d *ἐξελέγχονται* A: *διεξελέγχωνται* Themist. ‖ 2 *ὑπερβάλλον* M^d A Themist.: *ὑπερβάλον* S ‖ 4 *ἑαυτοῦ* Themist.: *αὑτοῦ* S M^d A | *παιδείᾳ* M^d Themist.: *παιδιᾶ* S sed in margine adscripsit *ει* S^1 *παιδία* A ‖ 5 *ἐφ' ᾗ* Themist.: *ἔφη* S M^d A | *χρεὼν* S A Themist.: *χρεὸν* M^d ‖ 6 *ἀληθινῶς* S M^d A: *ἀληθινοὺς* Themistii vulg. | *ἐπηβόλους* S A Themist.: *ἐπιβούλους* M^d; *ἐπιβόλους* Tr., inde vulg. ‖ 7 eclogam cum Themistii verbis sine lemm. coniunctam hab. S M A: seiunxi ‖ 8 *πρὸς ἀλήθειαν, ἦν δ' ἐγώ, ταὐτὸν* Plat. | *ταυτὸ* A ‖ 9 *ψυχὴν* S M^d Plat.: *ψυχῇ* A | *ἣ* Plat.: *ῆ* S *ἢ* M^d A | *μισῇ* corr. ex *μισεῖ* S ‖ 10 *φέρ* (superscr. *οι*, *η*) A sed superscr. etiam *η* A^1 | *ὑπεραγανακτῇ* M^d Plat.: *ὑπεραγανακτεῖ* S dubito nunc de A ‖ 13 *ὕειον* S Plat.: *ὗς* M^d *υἱὸν* A^1 *γρ. ὕειον* A^2 mrg. ceterum de ecloga Herodotea (flor. 12, 23 Mein.), quam post ecl. 12, 22 exhibet Tr., vide quae adnotavimus ad capitis superioris eclogam paenultimam ‖ 14 ecl. cum lemm. hab. S (post ecl. 12, 22) Tr. (post ecl. Herodoti de qua dixi ad ecl. priorem), om. M A; *πλα*(superscr. *τ*) *ἐκ* (superscr. *τ*) *σοφιστου* S *Πλάτωνος* nec plura Tr. ‖ 15 *Ὁρᾷς γοῦν ὅτι* S Platonis T: *ὅτι* Platonis B ubi *ὁρας οὖν* in marg. m. rec., *ὅτε* Hermann praef. p. XXVI | *ἐπαλλάξεως* Plat.: *ἐπάλξεως* S ‖ 16 *ἠνάγκασεν* S: *ἠνάγκακεν* Plat. | *οὐχ ἑκόντας* tacite ex Platone Gesn.^{2} p. 141, inde vulg.: *οὐκ ἔχοντας* S

ἑκόντας ὁμολογεῖν εἶναί πως; — Ὁρῶ καὶ μάλα. — Τί δαὶ δή; τὴν τέχνην αὐτοῦ τίνα ἀφορίζοντες ἡμῖν αὐτοῖς συμφωνεῖν οἷοί τε ἐσόμεθα; — Πῇ καὶ τὸ ποῖόν τι φοβούμενος οὕτω λέγεις; — Ὅταν περὶ τὸ φάντασμα αὐτὸν ἀπατᾶν φῶμεν καὶ τὴν τέχνην εἶναί τινα ἀπατητικὴν αὐτοῦ, τότε πότερον ψευδῆ δοξάζειν τὴν ψυχὴν ἡμῶν φήσομεν ὑπὸ τῆς ἐκείνου τέχνης, ἢ τί ποτ' ἐροῦμεν; — Τοῦτο· τί γὰρ ἂν ἄλλο εἴποιμεν; — Ψευδὴς δ' αὖ δόξα ἔσται τἀναντία τοῖς οὖσι δοξάζουσα, ἢ πῶς; — [οὕτως] Τὰ ἐναντία. — Λέγεις ἄρα ⟨τὰ⟩ μὴ ὄντα δοξάζειν τὴν ψευδῆ δόξαν; — Ἀνάγκη. — Πότερον μὴ εἶναι τὰ μὴ ὄντα δοξάζουσαν, ἢ πῶς λέγεις εἶναι τὰ μηδαμῶς ὄντα; — Εἶναί πως τὰ μὴ ὄντα δή γε, εἴπερ ψεύσεταί ποτέ τίς τι καὶ κατὰ βραχύ. — Τί δ'; οὐ καὶ μηδαμῶς εἶναι τὰ πάντως ὄντα δοξάζεται; — Ναί. — Καὶ τοῦτο δὴ ψεῦδος; — Καὶ τοῦτο. — Καὶ λόγος, οἶμαι, ψευδὴς οὕτω κατὰ ταὐτὰ νομισθήσεται τά τε ὄντα λέγων μὴ εἶναι καὶ τὰ μὴ ὄντα εἶναι. — Πῶς γὰρ ἂν ἄλλως τοιοῦτος γένοιτο;

24 (12, 25 Mein.) *Ἐν ταὐτῷ* (p. 260 B — C).

Τὸ μὲν μὴ ὂν ἡμῖν ἕν τι τῶν ἄλλων γένος ὂν ἀνεφάνη, κατὰ πάντα τὰ ὄντα διεσπαρμένον. — Οὕτως. —

---

2 *δαὶ* S: *δὲ* Plat. | *τίνα* ex Platone tacite Gesn.[1] p. 116, inde vulg.: *τινὰ* S | *ἀφορίζοντες* S sicut Platonis Vindob. suppl. 7: *ἀφορίσαντες* Platonis BT sed *ζο* supra *σα* T m. alt. ‖ 4 *φάντασμα* S Platonis T: *φάσμα* Platonis B ‖ 8 *εἴποιμεν* S: *εἴπαιμεν* (*εἰπαίμεν* Platonis B) Plat. ‖ 9 *ἢ πῶς; τὰ ἐναντία* tacite ex Platone Gesn.[1], inde vulg.: *ἢ πῶς. οὕτως. τὰ ἐναντία* S et sic Tr. p. 96, nisi quod *οὕτω* ‖ 10 *τὰ* tacite ex Platone addidit Gesn.[1], inde vulg. ‖ 12 *λέγεις* om. Plat. ‖ 13 *δή γε* scripsi ut proposuit Heindorf: *λέγε* S; *δεῖ γε* tacite ex Platone Gesn.[1], inde vulg. ‖ 20 ecl. cum lemm. hab. S (post ecl. 12, 24 Mein.) M A (post ecl. 12, 22); *ἐν ταυτῷ* S *πλάτωνος ἐκ τοῦ σοφιστοῦ* M A ‖ 21 *Τὸ μὲν μὴ ὂν* S M[d] A: *Τὸ μὲν δὴ μὴ ὂν* tacite ex Platone Gesn.[1] p. 116, inde vulg., fortasse recte | *ὂν* (post *γένος*) inter scribendum ex *ὢν* fecit A[1] | *ὂν ἀνεφάνη* S M[d] A Platonis B: *ἀνεφάνη* Platonis T *ὂν ἐφάνη* Platonis Vindob. suppl. 7 ‖ 22 *κατὰ* om. A

Οὐκοῦν τὸ μετὰ τοῦτο σκεπτέον, εἰ δόξῃ τε καὶ λόγῳ μίγνυται; — Τί δή; — Μὴ μιγνυμένου μὲν αὐτοῦ τούτοις ἀναγκαῖον ἀληθῆ πάντ' εἶναι, μιγνυμένου δὲ δόξα τε ψευδὴς γίγνεται καὶ λόγος· τὸ γὰρ τὰ μὴ ὄντα δοξάζειν ἢ λέγειν, τοῦτ' ἐστί που τὸ ψεῦδος ἐν διανοίᾳ τε καὶ λόγοις γιγνόμενον. — Οὕτως. — Ὄντος δέ γε ψεύδους ἔστιν ἀπάτη. — Ναί. — Καὶ μὴν ἀπάτης οὔσης εἰδώλων τε καὶ εἰκόνων ἤδη καὶ φαντασίας ἅπαντα ἀνάγκη μεστὰ εἶναι. — Πῶς γὰρ οὔ;

25 (12, 26 Mein.) Πλάτωνος ἐκ τοῦ Περὶ δικαίου (p. 374 B — 375 B).

Φέρε δή, πότερον ἡγῇ δίκαιον εἶναι ψεύδεσθαι ἢ ἀληθῆ λέγειν; Ἀληθῆ ἔγωγε. Ψεύδεσθαι ἄρα ἄδικον; Ναί. Πότερον δὲ ἐξαπατᾶν δίκαιον ἢ μὴ ἐξαπατᾶν; Μὴ ἐξαπατᾶν δήπου. Ἐξαπατᾶν ἄρα ἄδικον; Ναί. Τί δαί; βλάπτειν δίκαιον ἢ ὠφελεῖν; Ὠφελεῖν. Βλάπτειν ἄρα ἄδικον; Ναί. Ἔστιν ἄρα ἀληθῆ μὲν λέγειν καὶ μὴ ἐξαπατᾶν καὶ ὠφελεῖν δίκαιον, ψεύδεσθαι δὲ καὶ βλάπτειν καὶ ἐξαπατᾶν ἄδικον; Ναὶ μὰ Δία σφόδρα γε. Ἦ καὶ τοὺς πολεμίους; Οὐδαμῶς. Ἀλλὰ βλάπτειν δίκαιον τοὺς πολεμίους, ὠφελεῖν δὲ ἄδικον; Ναί. Οὐκοῦν καὶ ἐξαπατῶντας δίκαιον βλάπτειν τοὺς πολεμίους; Πῶς γὰρ οὔ; Τί δαί; ψεύδεσθαι, ἵνα ἐξαπαιῶμεν καὶ βλάπτωμεν αὐτούς, οὐ δίκαιον; Ναί. Τί δαί; τοὺς φίλους οὐκ ὠφελεῖν φῂς δίκαιον εἶναι; Ἔγωγε. Πότερον μὴ ἐξαπα-

2 Μὴ om. A ‖ 4 γίγνεται M^d: γίνεται S A | τὰ om. A ‖ 8 ἤδη καὶ M^d(?) Plat.: ἤδη (om. καὶ) S A | ἅπαντα S M^d A: πάντα Plat. ‖ 10 ecl. cum lemm. hab. S M A ‖ 12 πότερον S A Plat.: πώτερον M^d manu pr. πρότερον M^d manu alt. ‖ 14 δὲ ἐξαπατᾶν δίκαιον ἢ S M^d A: δὲ καὶ ἐξαπατᾶν ἡγῇ δίκαιον ἢ temere Gesn.[1] p. 118, inde vulg.; δὲ ἐξαπατᾶν ἢ (om. δίκαιον) Plat. quod nescio an dederit etiam Stobaeus ‖ 15 τί δαὶ S M^d: τί δὴ A; Τί δέ; Plat. ‖ 20 v. τοὺς πολεμίους, ὠφ. — (22) δίκαιον βλάπτειν om. A aberrans ad proximum illud τοὺς πολ. ‖ 23 δαὶ (sine acc. S) S M^d: δὲ A Tr. Plat. ‖ 24 δαὶ S M^d A: δέ; Plat. ‖ 25 φῇς δίκαιον εἶναι M^d A Plat.: δίκαιον εἶναι φῄς S Tr., inde vulg.

τῶντας ἢ καὶ ἐξαπατῶντας ἐπ' ὠφελείᾳ τῇ ἐκείνων; Καὶ ἐξαπατῶντας νὴ Δία. Ἀλλ' ἐξαπατῶντας μὲν δίκαιον ἄρα ὠφελεῖν, οὐ μέντοι ψευδομένους γε· ἢ καὶ ψευδομένους; Καὶ ψευδομένους δίκαιον. Ἔστιν ἄρα, ὡς ἔοικεν, ψεύδεσθαί τε, καὶ ἀληθῆ λέγειν δίκαιον καὶ ἄδικον; Ναί. Καὶ μὴ ἐξαπατᾶν καὶ ἐξαπατᾶν δίκαιον καὶ ἄδικον; Ἔοικεν. Καὶ βλάπτειν καὶ ὠφελεῖν δίκαιον καὶ ἄδικον; Ναί. Ταὐτὰ δή, ὡς ἔοικε πάντα τὰ τοιαῦτα ὄντα, καὶ δίκαια καὶ ἄδικά ἐστιν; Ἔμοιγε φαίνεται. Ἄκουε δή. ὀφθαλμὸν ἐγὼ ἔχω δεξιὸν καὶ ἀριστερόν, ὥσπερ καὶ οἱ ἄλλοι ἄνθρωποι; Ναί. Καὶ μυκτῆρα δεξιὸν καὶ ἀριστερὸν καὶ χεῖρα δεξιὰν καὶ ἀριστεράν; Ναί. Οὐκοῦν ἐπειδὴ ταὐτὰ ὀνομάζων τὰ μὲν δεξιὰ φῂς εἶναι, τὰ δὲ ἀριστερὰ τῶν ἐμῶν, εἴ σε ἐγὼ ἐροίμην, ὁπότερα, ⟨ἆρ'⟩ ἂν ἔχοις εἰπεῖν ὅτι τὰ μὲν πρὸς τοῦ δεξιά ἐστι, τὰ δὲ πρὸς τοῦ ἀριστερά; ⟨Ναί.⟩ Ἴθι δὴ καὶ ἐκεῖ. ἐπειδὴ ταὐτὰ ὀνομάζων τὰ μὲν δίκαια φῂς εἶναι, τὰ δὲ ἄδικα, ἔχεις εἰπεῖν ὁπότερα τὰ δίκαια καὶ ὁπότερα τὰ ἄδικα; Ἐμοὶ μὲν τοίνυν δοκεῖ, ἐν μὲν τῷ δέοντι καιρῷ ἕκαστα τούτων γιγνόμενα δίκαια εἶναι, ἐν δὲ τῷ μὴ δέοντι ἄδικα. Καλῶς γέ σοι δοκοῦν. ὁ μὲν ἄρα ἐν τῷ δέοντι

---

1 *ἢ καὶ ἐξαπατῶντας* S M^d *ἢ καὶ ἀπατῶντας* A: *ἢ ἐξαπατῶντας* sine *καὶ* particula Tr. Plat. Gesn.[1], inde vulg. ‖ 2 *μὲν δίκαιον ἄρα* S A Plat.: *μὲν ἄρα δίκαιον* M^d ‖ 3 sq. *καὶ ψευδομένους* semel scripsit A ‖ 4 *καὶ ψευδομένους δίκ.* S Plat.: *καὶ μὴ ψευδομένους δίκ.* M^d | *δὲ* pro *ἔστιν* Tr. | *ὡς ἔοικεν* om. A | *ἔοικεν* S M^d ‖ 8 *Ταὐτὰ* Plat.: *ταῦτα* S M^d A | *δὴ* S M^d Plat.: *δὲ* (sic) A | *τὰ* om. A ‖ 9 *καὶ δίκαιον καὶ ἄδικον* Tr. ‖ 11 *καὶ μυκτῆρα* S M^d A: *μυκτῆρα* Plat. | *καὶ ἀριστερὸν καὶ χεῖρα* S M^d A: *καὶ ἀριστερόν; Πάνυ γε. Καὶ χεῖρα* Plat. ‖ 13 *ταὐτὰ* Plat. *ταυτὰ* ut videtur M^d: *ταῦτα* S A ‖ 14 *σε* S A Plat.: *γε* M^d | *ἆρ'* addidi ex Platone ‖ 15 *ἔχεις* operarius Gesn.[1] p. 118, inde vulg. | *τοῦ* Plat.: *τοῦδε* S M^d A ‖ 16 *πρὸς τοῦ* Plat.: *πρὸς* (vel *προς*) *σοῦ* S M^d A | *Ναί* tacite ex Platone addidit Gesn.[1], inde vulg. | *καὶ* om. A ‖ 17 *ταυτὰ* M^d A: *ταῦτα* S ‖ 18 *ὁπότερα* S A Plat.: *πότερα* M^d ‖ 19 *καὶ τῷ* ante *καιρῷ* quod ubique omittitur in hac ecloga, ex Platone supplere non ausus sum, vide infra p. 453, 4. 9. 12, etiam flor. 36, 5 Mein.

ἕκαστα τούτων ποιῶν δίκαια ποιεῖ, ὁ δὲ μὴ ἐν τῷ δέοντι ἄδικα; Ναί. Οὐκοῦν ὁ μὲν τὰ δίκαια ποιῶν δίκαιος, ὁ δὲ τὰ ἄδικα ἄδικος; Ἔστι ταῦτα. Τίς οὖν ὁ ἐν τῷ δέοντι καιρῷ οἷός τε τέμνειν καὶ κάειν καὶ ἰσχναίνειν; Ὁ ἰατρός. Ὅτι ἐπίσταται ἢ δι' ἄλλο τι; Ὅτι ἐπίσταται. Τίς δὲ ἐν τῷ δέοντι σκάπτειν καὶ ἀροῦν καὶ φυτεύειν οἷός τε; Ὁ γεωργός. Ὅτι ἐπίσταται ἢ ὅτι οὔ; Ὅτι ἐπίσταται. Οὐκοῦν καὶ τὰ ἄλλα οὕτως; ὁ μὲν ἐπιστάμενος οἷός τε τὰ δέοντα ποιεῖν ἐστὶ καὶ ἐν τῷ δέοντι καιρῷ, ὁ δὲ μὴ ἐπιστάμενος οὔ; Οὕτως. Καὶ ψεύδεσθαι ἄρα καὶ ἐξαπατᾶν καὶ ὠφελεῖν, [ὁ ἐπιστάμενος] ὁ μὲν ἐπιστάμενος οἷός τε ποιεῖν ἕκαστα τούτων ἐν τῷ δέοντι καιρῷ, ὁ δὲ μὴ ἐπιστάμενος οὔ; Ἀληθῆ λέγεις.

CAPVT XIII.

ΠΕΡΙ ΠΑΡΡΗΣΙΑΣ.

1 *Εὐριπίδου* (fr. 1036 N.^{2}).

Πότερα θέλεις σοι μαλθακὰ ψευδῆ λέγω
ἢ σκλήρ' ἀληθῆ; φράζε· σὴ γὰρ ἡ κρίσις.

---

3 *ἔστι* M^d A Plat.: *ἔσται* S | de articulo *ὁ* vide quae monuit Hermann Plat. vol. VI praef. p. VIII ‖ 4 *ἐν τῷ δέοντι καιρῷ* S M^d A ut libri Platonis: *ἐν τῷ δέοντι ⟨καὶ τῷ⟩ καιρῷ* Boeckhio auctore Hermann cuius videatur adnotatio | *κάειν* S M^d: *καίειν* A | *ἰσχναίνειν* M^d A Plat.: *ἰσχαίνειν* S ‖ 9 *καὶ ἐν τῷ δέοντι καὶ ἐν τῷ καιρῷ* tacite ex Platone Gesn.[1], inde vulg. ‖ 11 *ὁ μὲν ἐπιστάμενος* Platonem secutus tacite Gesn.[1], inde vulg.: *ὁ ἐπιστάμενος. ὁ μὲν ἐπιστάμενος* S M^d A ‖ 12 *ἐν τῷ δέοντι καὶ τῷ καιρῷ* Plat.

Caput tertium decimum servatur in L S M A, eclogae non nullae in Br Mac. Chrys. titulum habent ut Photius S M A Br Mac. *λο* (superscr. *γο*) *θ'* addit S *ιγ'* M A Mac. ‖ 16 ecl. cum lemm. hab. L Br S M A. in S particula folii (21) imi abscissa perierunt partes eclogarum 1—4 Mein., supplevit ea manus quae folia prima chart. scripsit ‖ 17 *μαλακὰ καὶ ψευδῆ* ci. Hilberg *princip der silbenw.* p. 231 ‖ 18 *σκληρὰ* M^d | *φράζε* libri, sed *ω* superscr. A^2 ex Tr. p. 97 ubi *φράζω* est, *φράσαι* ex corr. Br

2 (13, 8 Mein.) *Εὐριπίδου ἐκ Τημενιδῶν* (fr. 737 N.²).
Καλόν γ' ἀληθὴς κἀτενὴς παρρησία.

3 (13, 10 Mein.) *Εὐριπίδου ἐκ Τηλέφου* (fr. 706 N.²).
Ἀγάμεμνον, οὐδ' εἰ πέλεκυν ἐν χεροῖν ἔχων
μέλλοι τις εἰς τράχηλον ἐμβαλεῖν ἐμόν,
σιγήσομαι δίκαιά γ' ἀντειπεῖν ἔχων.

4 (13, 12 Mein.) *Εὐριπίδου Ἑκάβης* (1216—1217).
Φεῦ φεῦ· βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα
χρηστῶν ἀφορμὰς ἐνδίδωσ' ἀεὶ λόγων.

5 (13, 13 Mein.) *Εὐριπίδου ἐκ Δικτύος* (fr. 343 N.²).
Θάρσει· τό τοι δίκαιον ἰσχύει μέγα.

6 (13, 15 Mein.) *Εὐριπίδου* (fr. 1037 N.²).
Ἀτὰρ σιωπᾶν τά γε δίκαι' οὐ χρή ποτε.

7 (deest Mein.) *Ἐξ Ἀντιγόνης* (fr. 165 N.²).
Ἄκουσον· οὐ γὰρ οἱ κακῶς πεπραγότες
σὺν ταῖς τύχαισι τοὺς λόγους ἀπώλεσαν.

---

1 ecl. cum lemm. hab. L (post ecl. 13, 1 Mein.) S (post ecl. 13, 7 Mein.) M A (post ecl. 13, 6 Mein.); *ἀκτημενίδων* (*ἀ* rubr.) poetae nomine non iterato L *Εὐρ. τημενίσιν* S M^d A ‖ **2** *Ἡ* (rubr.) *χαλόν γ'* L | *ἀγενὴς χἀληθὲς* L *ἀτενὴς καὶ ἀληθὴς* M^d ‖ **3** ecl. cum lemm. hab. L (post ecl. 13, 8 Mein.) S M A (post ecl. 13, 9 Mein.); *ἀκτηλέφου* (*ἀ* rubr.) poetae nom. non iterato L ‖ **4** *ὁδ εἰ* M^d *ὁδ' εἰ* A | *χεροῖν* L S A: *χειροῖν* M^d Tr. p. 98, inde vulg. | *ἔχων* (sicut tacite Gesn.¹ p. 120, inde vulg.) L: *ἔχω* S M^d A; *ἑλὼν* ci. Vitelli *appunti cr.* p. 83 ‖ **5** *τις* tacite Gesn.¹ l. c., inde vulg.: *τε* L S M^d A ‖ **6** *σιγήσομεν* L | *γ'* tacite scr. Gesn.¹ l. c., inde vulg.: *τ'* L S *τε* M^d *γ* (ε superscr.) habuerat A¹ (*γ'* A²) | *γ' ἀντειπεῖν ἔχω*] veteris scripturae vestigia renovavit A² ‖ **7** ecl. hab. L S (post ecl. 13, 10 Mein.) M A (post ecl. 13, 11 Mein.), lemma S M A (*αἰκάβης* M^d), poet. n. om. S, totum lemma om. L ‖ **8** *Φ* in *Φεῦ* om. rubr. addend. L ‖ **10** ecl. cum lemm. hab. L S M A; *ἐκ Δικτύος* poetae nomine non iterato L, *εὐρ. ἐν δίκτυϊ* S M A ‖ **11** *Πάρσει* (*Π* rubr.) L ‖ **12** ecl. hab. poetae nom. non iterato L (post ecl. 13, 13 Mein.), addito lemmate S M A (post ecl. 13, 14 Mein.) ‖ **13** *Ὀτὰρ* (*Ὀ* rubr.) L | *γε* om. L | *δίκαια* S M^d ‖ **14** ecl. hab. poetae nom. non iterato L (post ecl. 13, 15 Mein.) Br (post ecl. 13, 1 Mein.), om. S M A; *Ἐξ Ἀντιγόνης* L *ἀντ̄ιγο* (addito compendio) Br ‖ **15** impugnatur Sophocles Ant. 563

8 (deest Mein.: fr. adesp. 553 N.[2])

Ἐπέχω· τὸ γὰρ πρᾶγμ' αὐτό μοι καλῶς ἔχον
καλοὺς παρασχεῖν τοὺς λόγους δυνήσεται.

9 (deest Mein.: Eur. Archel. fr. 253 N.[2])

Ἁπλοῦς ὁ μῦθος, μὴ λέγ' εὖ· τὸ γὰρ λέγειν
εὖ δεινόν ἐστιν, εἰ φέρει τινὰ βλάβην.

10 (deest Mein.: Eur. Or. 899—902)

Ὅταν γὰρ ἡδὺς τοῖς λόγοις φρονῶν κακῶς
πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν τόδε·
ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύουσ' ἀεί,
κἂν μὴ παραυτίκ', αὖθις εἰσὶ χρήσιμοι.

11 (deest Mein.: Eur. Phoen. 393)

Δούλου τάδ' εἶπας μὴ λέγειν ἃ τις φρονεῖ.

12 (13, 7 Mein.) *Εὐριπίδου Ἰνοῦς* (fr. 412 N.[2]).

Ἐμοὶ γένοιτο πτωχός, εἰ δὲ βούλεται,
πτωχοῦ κακίων, ὅστις ὢν εὔνους ἐμοὶ
φόβον παρελθὼν τἀπὸ καρδίας ἐρεῖ.

---

1 ecl. hab. poetae nom. non iterato L Br (post ecl. 13, 7 H.), om. S M A. versus ipsos quoque ad Euripidis Antigonam pertinere conieci de Stob. flor. exc. Brux. p. 36: 'fortasse Haemo facti apud Euripidem socius vel ipsa virago nobile suum facinus ostentat quod se ipsum laudet nec auctorum defensione indigeat.' ducebant me alphabetici ordinis vestigia quae in Stobaei Euripideis observavi diu ante Herculem a Wilamowitzio editam ‖ 2 *ἐπέχω· τὸ* scripsi: (?)*χω τὸ* L *ἔχω· τὸ* Br; *αὐχῶ* fortasse praeferendum videtur Nauckio ‖ 4 ecl. hab. poetae nomine non iterato, fabulae omisso L, om. S M A. recurrit flor. 34, 2 Mein. (*Εὐρ. Ἀρχελάῳ*) ‖ 5 *ἁπλοῦς* (*ἁ* rubr.) L | *λέγ' εὖ* L ut videtur *λέγε* libri flor. 34 ‖ 6 *φέροι* flor. 34 ‖ 7 ecl. hab. poetae nom. non iterato, fabulae omisso L, om. S M A. recurrit flor. 45, 5 Mein. (*Εὐριπίδου Ὀρέστῃ*) ‖ 9 *τόδε* L: *μέγα* Eur., flor. 45 ‖ 11 *κἂν* Eur., flor. 45: *κακὸν* L ‖ 12 ecl. hab. poetae nomine non iterato, fabulae omisso L, om. S M A. legitur versus intra maiorem eclogam Euripideam Plut. de exilio p. 6[?]5 F ‖ 13 *δούλου* Eur. Plut.: *Μύ δ' οὐ* (*Μ* rubr.) L | *τάδ'* L: *τόδ'* Eur. Plut. ‖ 14 ecl. cum lemm. hab. L (post 13, 11 H.) S (post ecl. 13, 6 Mein.), om. M A; fab. n. om. L. recurrit om. poetae et fab. nom. Plut. de adul. et amici discr. p. 63 A ‖ 15 *γένοιτο* gnomologus: *γὰρ εἴη* Plut. ‖ 16 *πτωχοῦ κακοῦ κακίων* L *πτωχοῦ κακίον* S

13 (deest Mein.: Eur. Phoen. 527 sq.)

Οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς.
οὐ γὰρ καλὸν τόδ', ἀλλὰ τῇ δίκῃ βαρύ.

14 (deest Mein.: trag. adesp. 515 N.[2])

Ὅστις λέγειν μὲν εὐπρεπῶς ἐπίσταται,
τὰ δ' ἔργα χείρω τῶν λόγων παρέσχετο.

15 (deest Mein.) *Σοφοκλέους* (Oed. Col. 806—809).

Γλώσσῃ σὺ δεινός· ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ
δίκαιον ὅστις ἐξ ἅπαντος εὖ λέγει.

16 (deest Mein.: trag. adesp. fr. 554 N.[2])

Ἐλευθέρα γὰρ γλῶσσα τῶν ἐλευθέρων.

17 (deest Mein.: trag. adesp. fr. 555 N.[2])

Ἐλευθερία Διὸς ὄλβιον τέκος.

18 (13, 2 Mein.) *Σοφοκλέους ἐξ Οἰδίποδος* (tyr. 354—356).

Οὕτως ἀναιδῶς ἐξεκίνησας τόδε
τὸ ῥῆμα· καὶ ποῦ τοῦτο φεύξεσθαι δοκεῖς;

---

1 ecl. hab. poetae nomine non iterato, fabulae non addito L, om. SMA ‖ 3 *τόδ'* L et Euripidis Paris. 2712: *τοῦτ'* Euripidis ceteri | *βαρύ* L: *πικρόν* libri Eur. ‖ 4 ecl. sine lemm. hab. L, om. SMA. legitur supra Stob. II p. 189, 15 Wachsm. praemissis versibus his *καὶ τῷδε δηλώσαιμ' ἄν, εἰ βούλοιο σύ, Τἀληθές, ὡς ἔγωγε καὐτὸς ἄχθομαι, Ὅστις κτἑ.* hique ipsi addendi erunt ut enuntiatum fiat integrum, nisi fortasse cum priore versiculo *οὐ γὰρ καλὸν κτἑ.* distichon copulari voluit gnomologus. Euripidis locus cum praecedat hic et supra, in Euripideis exscribendis perrexisse florilegum persuasi Nauckio. et fortasse *Φοίνικος* vel *Φοίνικι* fuit olim lemma. certe cum Phoenicis fabulae versibus coaluit ecloga supra, cum hic sit vicina Phoenissis ‖ 7 ecl. cum lemm. *Σοφίλου* hab. L, om. SMA ‖ 8 *Γ* in *Γλώσσῃ* om. rubr. addend. L ‖ 9 *ἐξάπαν* (τ supra) L ‖ 10 ecl. sine lemm. hab. L, om. SMA. Sophoclis nomen in hac et in proxima ecloga L suo more non iterasse suspicatus est Meineke com. III p. 584 ‖ 11 *'Ε* om. rubr. addend. L ‖ 12 ecl. sine lemm. hab. L, om. SMA ‖ 14 ecl. hab. L (post ecl. 13, 17 H.) SMA (post ecl. 13, 1 Mein.); *Ὃξ* (*Ὁ* rubr.) *Οἰδίποδος* poetae nom. non iterato L *Σοφοκλέους* (compend.) nec plura S m. rec. (vide ad ecl. 13, 1) *Σοφοκλέους οἰδίποδος* M[d] A ‖ 16 *Οὔ* in *Οὕτως* om. rubr. addend. L ‖ 17 *καί που* Brunck ap. Soph. | *φεύξεσθαι*] *φυλάξεσθαι* (-*ασθαι* Tr.) S m. rec.

— *Πέφευγα· τἀληθὲς γὰρ ἰσχυρὸν τρέφω.*

19 (13, 3 Mein.) *Σοφοκλέους ἐξ Αἴαντος* (1118—1119).

Οὐδ' αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ·
τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ' ᾖ, δάκνει.

20 (13, 4 Mein.) *Ἐν τῷ αὐτῷ* (1124—1125).

Ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.
— *Ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστιν φρονεῖν.*

21 (13, 5 Mein.) *Σοφοκλέους ἐκ Τηρέως* (fr. 529 N.[2]).

Θάρσει· λέγων τἀληθὲς οὐ σφαλῇ ποτε.

22 (13, 6 Mein.) *Σοφοκλέους ἐξ Ἀλεαδῶν* (fr. 77 N.[2]).

Καὶ γὰρ δικαία γλῶσσ' ἔχει κράτος μέγα.

23 (13, 11 Mein.) *Φιλήμονος Ἐπιδικαζομένου* (fr. 2 com. IV p. 9).

Πρόχειρον ἐπὶ τὴν γλῶτταν εὐλόγῳ τρέχειν.

24 (deest Mein.: com. V 1 p. CCCLXX)

Περὶ μεγάλων ⟨γὰρ⟩ πραγμάτων σκοπουμένοις
εὐνουστάτη σύμβουλος ἡ παρρησία.

---

1 *ἰσχῦον* Soph. ‖ 2 ecl. hab. L S M A (post ecl. 13, 2 Mein.) Br (post ecl. 13, 8 H.); *ἐξ Αἴαντος* nec plura L Br *σοφοκλέους αἴαντι* M^d A totum lemma om. S m. rec. (vide ad ecl. 13, 1) ‖ 3 *Ὁ δ' αὖ* (*Ὁ* rubr.) L *οὐδὰν* M^d ‖ 5 ecl. hab. L S M A (post ecl. 13, 3 Mein.) Mac. Chrys. (tamquam capitis primam); poetae et fab. n. non iteravit L *ἐν τῶ αὐτῶ* M^d A *Σοφοκλέους αἴαντι* Mac. lemma om. S m. rec. (vide ad ecl. 13, 1) ‖ 6 *ἡ γλ.* — *τρέφει* om. Mac. ‖ 7 paragraphum addidi. prior versus Menelai est, alter Teucri | *σὺν* L Mac. | *μέγα* M^d | *ἔξεστι* L S M^d Mac. ‖ 8 ecl. hab. L S M A. *Σοφοκλέους ἐκ Τηρέως* scripsi: *Ἐκ Τειρεσίου* p. nom. non iterato L *εὐ*^{π}*ρι τηρεῖ* S *σοφοκλέους τηρεῖ* M^d A ‖ 9 *Τάρσει* (*Τ* rubr.) L | *σφαλῇ* L: *σφάλλῃ* (vel *-η*) S M^d A ‖ 10 ecl. hab. L S M A. *Σοφοκλέους ἐξ Ἀλεαδῶν* scripsi: *ἐξ Ἀλεάδων* poet. n. non iterato L *σοφοκλέους ἀλεάδαι* S M^d A ‖ 12 ecl. hab. L (post ecl. 13, 6 Mein.) M A (post 13, 10 Mein.), om. S; *ιλη*^{μν} L, *Ἐπιδικαζομένου* add. M^d A ‖ 14 *εὐλόγως* compend. L; num *εὐλόγοις*? ‖ 15 ecl. sine lemm. hab. L (post ecl. 13, 11 Mein.), om. S M A; lemma omisit vel non iteravit suo more L ut ecloga Philemonis esse videri possit ‖ 16 *Σερὶ* (*Σ* rubr.) L | *γὰρ* addidit Meineke | *σκοπουμένη* L: corr. Meineke, *σκοπουμένῃ* priores non male, sc. *τῇ πόλει*

25 (deest Mein.: com. V 1 p. CCCLXX)
Παρρησίαν δὲ παντὸς ὠνοῦ χρυσίου.
26 (deest Mein.) *Νικοστράτου* (fr. 5 com. III p. 289).
Ἆρ' οἶσθ' ὅτι τῆς πενίας ὅπλον ἐστὶν ἡ
παρρησία; ταύτην ἐάν τις ἀπολέσῃ,
τὴν ἀσπίδ' ἀποβέβληκεν οὗτος τοῦ βίου.
27 (13, 9 Mein.) *Σοφοκλέους* (fr. 842 N.²).
Αἰδὼς γὰρ ἐν κακοῖσιν οὐδὲν ὠφελεῖ·
ἡ γὰρ σιωπὴ τὠγκαλοῦντι σύμμαχος.
28 (deest Mein.: Soph. Phil. 96—99)
Ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ
γλῶσσαν μὲν ἀργὸν χεῖρα δ' εἶχον ἐργάτιν·
νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοῖς
τὴν γλῶσσαν, οὐχὶ τἄργα, πάνθ' ἡγουμένην.
29 (deest Mein.) *Ἀριστοφάνους* (Thesm. 528—530).
Τὴν παροιμίαν ἐπαινῶ
τὴν παλαιάν· ὑπὸ λίθῳ γὰρ
παντί που χρὴ
μὴ δάκῃ ῥήτωρ ἀθρεῖν.
30 (13, 14 Mein.) *Μοσχίωνος* (fr. 4 p. 813 N.²).
Ὅμως τό γ' ὀρθὸν καὶ δίκαιον οὔποτε

---

1 ecl. cum priore sine lemm. coniunctam hab. L, om. SMA; an ipsa quoque Philemonis est? ‖ 3 ecl. cum lemm. hab. L (post ecl. 13, 25 H.) Br (post ecl. 13, 3 Mein.), om. SMA; *Δικοστράτου* (*Δ* rubr.) L ‖ 4 *Ἔρ'* (*Ἔ* rubr.) L | *ἆρ' οἶσθ' ὅτι Πενίας ὅπλον μέγιστον ἡ παρρησία; Ταύτην ἐάν τις ἀπολέσῃ, ⟨τί ἄλλο γ' ἢ⟩ Τὴν ἀσπ. κτἑ.* Meineke *ἆρ' οἶσθ' ὅτι τῆς πενίας ὅπλον ⟨ποτ'⟩ ἐστίν; ἡ Παρρησία· ταύτην κτἑ.* Buecheler *ἆρ' οἶσθ' ὅτι τῆς πενίας ὅπλον ⟨μέγ'⟩ ἐστίν; ἡ Παρρησία· ταύτην* ego. articulus in fine trimetri ponitur haud ita raro velut ab ipso Nicostrato Ath. XIV p. 664c ‖ 7 ecl. cum lemm. hab. L (post ecl. 13, 26 H.) SMA (post ecl. 13, 8 Mein.); *Σοφίλου* L. recurrit corp. Par. 610 Elt. (*Σοφοκλέους*) ‖ 8 *Ὑδὼς* (*Ὁ* rubr.) L ‖ 9 *τὠγκαλοῦντι* Cobet v. l.² p. 19: *τῷ λαλοῦντι* libri ‖ 10 ecl. hab. poetae nomine non iterato, fabulae omisso L, om. SMA ‖ 12 *εἶχον ἐργάτιν* Soph.: *ἐργάτιν εἶχον* L ‖ 13 *βροτοῖς* Soph.: *βροτοὺς* L ‖ 14 *ἡγουμένην* corr. ex *-ένους* L ‖ 15 ecl. cum lemm. hab. L, om. SMA ‖ 16 *δ' ἐπαινῶ* Ar. ‖ 17 *λίθῳ* Ar.: *λιθίω* L ‖ 18 *χρὴ* Ar.: *χρήνα* L ‖ 20 ecl. sine lemm. hab. L (post ecl. 13, 29 H.), addito lemmate SMA (post ecl. 13, 13 Mein.)

σιγῇ παρήσω· τὴν γὰρ ἐντεθραμμένην
ἀστοῖς Ἀθάνας τῇ τε Θησέως πόλει
καλὸν φυλάξαι γνησίως παρρησίαν.

31 (13, 16 Mein.) *Φιλοξένου.*

Φιλόξενος παραδοθεὶς ὑπὸ Διονυσίου ποτὲ εἰς τὰς λατομίας διὰ τὸ φαυλίζειν τὰ ποιήματα αὐτοῦ, καὶ ἀνακληθεὶς ἔπειτα πάλιν ἐπὶ τὴν ἀκρόασιν αὐτῶν [ἐκλήθη], μέχρι τινὸς ὑπομείνας ἀνέστη· πυθομένου δὲ τοῦ Διονυσίου 'ποῖ δὴ σύ;' 'εἰς τὰς λατομίας' εἶπεν.

32 (13, 17 Mein.) *Δημοσθένους* (fr. 21 Sauppe).

Οὐδὲν ἂν εἴη τοῖς ἐλευθέροις μεῖζον ἀτύχημα τοῦ στέρεσθαι τῆς παρρησίας.

33 (13, 41 Mein.) *Δημοσθένους Ὀλυνθιακῶν γ'* (III § 21 p. 34).

Ἀλλὰ δικαίου πολίτου κρίνω τὴν τῶν πραγμάτων σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι.

34 (deest Mein.) *Ἐκ τοῦ Περὶ στεφάνου* (XVIII § 280—81 p. 319).

Ἔστι δὲ οὐχ ὁ λόγος τοῦ ῥήτορος, Αἰσχίνη, τίμιον, οὐδ' ὁ τόνος τῆς φωνῆς, ἀλλὰ τὸ τὰ αὐτὰ αἱρεῖσθαι τοῖς πολλοῖς, καὶ τὸ τοὺς αὐτοὺς μισεῖν καὶ φιλεῖν οὕσπερ ἂν ἡ πατρίς. ὁ γὰρ οὕτως ἔχων τὴν ψυχήν,

---

2 *ἀθανᾶς* M[d] || 3 *τῇ τε* quod male iteraverat (post *φυλάξαι*) rursus delevit L || 4 ecl. cum lemm. hab. L (post ecl. 13, 14 Mein.) M A (post ecl. 13, 15 Mein.), sine lemm. S (post ecl. 13, 15 Mein.) Mac. Chrys. (post ecl. 13, 4 Mein.). rem similiter narrarunt multi, vide Wyttenbach in Plutarchi mor. p. 334 C || 7 *ἐκλήθη* secluserunt Buecheler Nauck Wachsmuth || 8 *μέχρι* reposui ex S: *μέχρι δὲ* L M[d] A Mac. | *τὲ* pro *δὲ* M[d] pr. m. || 10 ecl. cum lemm. hab. L S M A Mac. Chrys.; *Δ* in *Δημοσθ.* om. rubr. addendum L || 11 *Οὐδὲν* S Mac.: *οὐθὲν* L M[d] A sed *θ* ex *δ* fortasse L || 12 *τῆς* om. Mac. || 13 ecl. cum lemm. hab. L (post ecl. 13, 17 Mein.) S M A (post ecl. 13, 40 Mein.); *Ὀλυν* (superscr. *θι*) *γ̄* (*Ὀ* rubr.) nomine auctoris non iterato L || 15 *Ἀλλὰ* S M[d] A Demosth.: *Καλὰ* (*K* rubr.) L || 17 ecl. cum lemm. hab. nomine auctoris non iterato L, om. S M A || 19 *Ἔστι* Demosth.: *Ἔτι* (*Ἔ* rubr.) L | *Αἰσχίνη* Demosth.: *αἰσχύνη* L || 20 *τὸ τὰ αὐτὰ αἱρεῖσθαι* L: *τὸ ταὐτὰ προαιρεῖσθαι* Demosth.

οὗτος ὑπ' εὐνοίας πάντ' ἐρεῖ· ὁ δ' ἀφ' ὧν ἡ πόλις προορᾶταί τινα κίνδυνον ἑαυτῇ, τούτους θεραπεύων, οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς, οὔκουν οὐδὲ τῆς ἀσφαλείας τὴν αὐτὴν ἔχει προσδοκίαν.

35 (deest Mein.: Demosth. XIX § 184 p. 399)

Οἷς γάρ ἐστιν ἐν λόγοις ἡ πολιτεία, πῶς ἐὰν οὗτοι μὴ ἀληθεῖς ὦσιν, ἀσφαλῶς ἔστι πολιτεύεσθαι; εἰ δὲ δὴ καὶ πρὸς ἃ τοῖς ἐχθροῖς συμφέρει δῶρά τις λαμβάνων λέγει, πῶς οὐχὶ καὶ κινδυνεύσεται;

36 (deest Mein.: Thucyd. III 42, 2)

Τοὺς δὲ λόγους ὅστις διαμάχεται μὴ διδασκάλους τῶν πραγμάτων γενέσθαι, ἢ ἀξύνετός ἐστιν ἢ ἰδίᾳ τι αὐτῷ διαφέρει [ἢ χρήμασι διέφθαρται καὶ ὑπὲρ τοῦ ἰδίου κέρδους ἀγωνίζεται].

37 (13, 18 Mein.) *Ἐκ τῶν Διογένους Διατριβῶν* (Dionis Chrys. or. IX p. 289 sq. R.).

---

1 *ὑπ' εὐνοίας* L: *ἐπ' εὐνοίᾳ* Demosth. ‖ 2 *προορᾶταί τινα* Demosth.: *πρωρᾶται τινὰ* L ‖ 3 *τῆς αὐτῆς* Demosth.: *τοῖς αὐτοῖς* L Demosthenis duo Paris. | *οὔκουν* Demosth.: *οὐκοῦν* L Demosthenis aliquot libri ‖ 5 ecl. hab. auctoris nom. non iterato L, om. S M A ‖ 6 *Οἷς* Demosth.: *Ὅς* (*Ὁ* rubr.) L | *ἐστιν* L: *ἐστ'* Demosth. | *ἐὰν* L: *ἂν* Demosth. ‖ 7 *ἔστι* Demosth. (ubi *ἔνεστι* libri aliquot): *ἐστὶ* L | *εἰ* — (9) *λέγει* L: *ἂν* — *λέγῃ* Demosth. | *δὴ* ex *δεῖ* L ‖ 8 *συμφέρει* Demosth.: *συμφέρων* L ‖ 9 *κινδυνεύσεται* L Demosth. vulg.: *κινδυνεύσετε* Demosthenis S alii ‖ 10 ecl. sine lemm. hab. L, om. S M A ‖ 11 *τούς τε λ.* Thuc. | *ἅ τις* L ‖ 12 *γίγνεσθαι* Thuc. *γίνεσθαι* fortasse Stob. | *ἢ διά τι* L ‖ 13 *ἢ* — *ἀγωνίζεται* tamquam vetus scholion seclusit Buecheler qui Thucydidis verba agnoverat ‖ 15 ecl. cum lemm. hab. L (post ecl. 13, 36 H.) SMA (post ecl. 13, 17 Mein.); *Ἐ* om. rubr. addend. L. *Δίωνος* pro *διογένους* reponi iubet Rose Ar. ps. p. 613, non recte. *τῶν Διογένους διατριβῶν* nomine comprehenduntur Dionis orationes *Διογένης* inscriptae, velut nona *Διογένης ἢ Ἰσθμικός* vel proximo fragmento octava *Διογένης ἢ περὶ ἀρετῆς*, denique sexta *Διογένης ἢ περὶ τυραννίδος* flor. 49, 27 eademque significatur lemmate *Διογένους* fortasse mutilo flor. 8, 15. videri Dionis orationes ad Diogenem spectantes excerptas esse ab aliquo qui Diogenis diatribas colligeret et sic ad Stobaeum pervenisse coniecit Duemmler Antisth. p. 72 recte fortasse, nisi doctrinae ostentandae gratia solum Diogenis nomen posuit gnomologus Dionis celato

Ὥσπερ οὖν τοῦ Ποντικοῦ μέλιτος γεύσασθαι ἐπιχειροῦσιν οἱ ἄπειροι, γευσάμενοι δὲ παραχρῆμα ἐξέπτυσαν δυσχεράναντες, ὅτι πικρόν ἐστι καὶ ἀηδές, οὕτω καὶ τοῦ Διογένους ἀποπειρᾶσθαι μὲν ἤθελον διὰ πολυπραγμοσύνην, ἐλεγχόμενοι δὲ ἀπεστρέφοντο καὶ ἔφευγον. καὶ ἄλλων μὲν ἥδοντο λοιδορουμένων, αὐτοὶ δ' ἐφοβοῦντο καὶ ἀνεχώρουν. καὶ εἰ μὲν ἔσκωπτε καὶ ἔπαιζεν, ὥσπερ εἰώθει ἐνίοτε, ὑπερφυῶς ἔχαιρον· ἀνατειναμένου δὲ καὶ σπουδάσαντος οὐχ ὑπέμενον τὴν παρρησίαν.

38 (13, 19 Mein.) *Ἐν ταὐτῷ* (Dionis Chrys. or. VIII p. 275 R.).

Ἐπεὶ αὐτόν γε τὸν Ἀντισθένην παραβάλλων πρὸς τοὺς λόγους ἐνίοτε ἤλεγχεν ὡς πολὺ μαλακώτερον, καὶ ἔφη αὐτὸν εἶναι σάλπιγγα λοιδορῶν· αὐτοῦ γὰρ οὐκ ἀκούειν φθεγγομένου μέγιστον. καὶ ⟨ὁ⟩ Ἀντισθένης ἀμυνόμενος ἀντὶ τῆς σάλπιγγος ἔλεγε σφηξὶν ὅμοιον αὐτὸν εἶναι. καὶ γὰρ τῶν σφηκῶν τὸν μὲν ψόφον τῶν πτερῶν εἶναι μικρόν, τὸ δὲ κέντρον δριμύτατον. ἔχαιρεν οὖν τῇ παρρησίᾳ τοῦ Διογένους.

39 (13, 20 Mein.) *Σόλωνος.*

---

1 *ἐπιχειροῦσιν* S M^d A Dio: *ἐπιθυμοῦσιν* L ‖ 3 *δυσχεράναντες* om. A ‖ 6 *λοιδωρουμένων* M^d ubi mox *δὲ* ‖ 7 *ἔσκωπτεν* S M^d ‖ 8 *εἰώθει* S M^d A Dio: *εἴωθεν* L | *ἀνατειναμένου* Dio: *ἀνατεινομένου* L S M^d A ‖ 9 *σπουδάσαντος οὐχ ὑπέμενον* L M^d A Dio quod recepi: *σπουδάζοντος οὐχ ὑπέμειναν* S Tr. p. 98, inde vulg. ‖ 10 ecl. cum lemm. hab. L S M A ‖ 11 *ἐπεὶ* L M A Dio: *ἐπ'* S Tr., inde vulg. ‖ 13 *λοιδορῶν* A Dio: *λοιδόρων* L S M^d | *αὐτοῦ* Dio: *αὑτοῦ* libri Stob. ‖ 14 *ἀκούει* A^1 *ἀκούειν* A^2 | *ὁ* addidi ex Dione | *καὶ Ἀντισθένης ἀμυνόμενος* libri Stobaei: *καὶ ὁ Ἀντισθένης ὑπέμενεν αὐτὸν ταῦτα ἀκούων· πάνυ γὰρ ἐθαύμαζε τοῦ ἀνθρώπου τὴν φύσιν. ἔλεγεν οὖν ἀμυνόμενος* Dio ‖ 15 *ἀντὶ τῆς σάλπιγγος ἔλεγε(ν)* L S M^d A: *ἀντὶ τῆς σάλπιγγος* Dio | *σφηξὶν* S cf. Arist. Vesp. 1102. 1106: *ταῖς σφηξὶν* L M^d A; *τοῖς σφηξὶν* Dio | *αὐτὸν ὅμοιον* Dio ‖ 16 *εἶπε* pro *εἶναι* Tr., unde verbo *ἔλεγε* deleto *σφηξὶν ὅμοιον αὐτὸν εἶπε* male Gesn.^{1} p. 120, vulg. ‖ 17 *εἶναι* ante v. *τὸν μὲν* (non ut libri Stob. ante *μικρόν*) Dio ‖ 19 ecl. cum lemm. hab. L S M A (post ecl. 13, 19 Mein.) Mac. Chrys. (post ecl. 13, 17 Mein.); *Κόλωνος* (*K* rubr.) L. recurrit corp. Par. 611 Elt. (*Σόλωνος*). idem praeceptum supra inter Solonea 1, 172 p. 115, 2. Soloni tribuitur a Laertio I 60. cf. mant. proverb. cent. II 91 apud Gotting. II p. 772 (*Σόλωνος*). Brunco act. sem. phil. Erl. III p. 342

Συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ ἄριστα.

40 (13, 22 Mein.) *Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων.*

Ὅμοιον ἀψινθίου τὸ δριμὺ καὶ λόγου παρρησίαν ἐκκόψαι.

41 (13, 23 Mein.) *Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων.*

Ὥσπερ τὸ μέλι τὰ ἡλκωμένα δάκνει, τοῖς δὲ κατὰ φύσιν ἡδύ ἐστιν, οὕτω καὶ οἱ ἐκ φιλοσοφίας λόγοι.

42 (13, 24 Mein.) *Ἐκ τῶν Δίωνος Χρειῶν.*

Τὴν ἐπιτίμησιν ὁ Διογένης ἀλλότριον ἀγαθὸν ἔλεγεν εἶναι.

43 (13, 25 Mein.) *Διογένους.*

Διογένης Ἀττικοῦ τινὸς ἐγκαλοῦντος αὐτῷ διότι Λακεδαιμονίους μᾶλλον ἐπαινῶν παρ' ἐκείνοις οὐ διατρίβει 'οὐδὲ γὰρ ἰατρός' εἶπεν 'ὑγιείας ὢν ποιητικὸς ἐν τοῖς ὑγιαίνουσι τὴν διατριβὴν ποιεῖται.'

44 (13, 27 Mein.) *Διογένους.*

Ὁ Διογένης ἔλεγεν, ὅτι οἱ μὲν ἄλλοι κύνες τοὺς ἐχθροὺς δάκνουσιν, ἐγὼ δὲ τοὺς φίλους, ἵνα σώσω.

---

1 *βέλτιστα* pro *ἄριστα* p. 115, 2 ‖ **2** ecl. cum lemm. hab. LSMA; *ἐκ τ̂ ἀρίστ* (ω supra) nec plura S. recurrit Maxim. c. 31 p. 620 Combef. (sine lemmate post Stob. flor. 13, 23 Mein.) ‖ **3** *λόγου τὴν παρρ.* concinnius Max. ‖ **5** ecl. cum lemm. hab. LSMA; *Ἐκ τοῦ Ἀριστωνύμου* nec plura L. recurrit corp. Par. 612 Elt. (*Ἀριστονύμου* sic). praeter ecl. 13, 43 extr. Mein. cf. quae collegit Wyttenbach animadv. in Plut. mor. p. 59 D ‖ **6** *τὰ μὲν ἡλκ.* Wachsmuth ‖ **7** *οὕτως* LSM[d] *οὕτω* A corp. Par. | *ἐκ τῆς φιλοσοφίας* A ‖ **8** ecl. cum lemm. hab. LSMA. *Διογένους* pro *Δίωνος* rescribi iubet Rose Ar. ps. p. 612, non recte. inter Dionis Chrysostomi fragmenta recepit eclogam L. Dindorf v. II p. 312. vide quae monui III 7, 28 ‖ **11** ecl. cum lemm. hab. LMA, sine lemm. S. recurrit corp. Par. 613 Elt. (*Διογένους*). fortasse etiam haec referenda est ad chrias Dionis. ceterum confer quae collegit Sternbach gnomol. Vat. 37 ‖ **12** *Διογένους* L | *διατί* corp. Par. | *Λακεδαιμονίοις* corp. Par. ‖ **14** *ὑγιείας* A: *ὑγείας* LSM[d] corp. Par. ‖ **15** *τὴν διατριβὴν ποιεῖται* libri Stob. et corp. Par. nisi quod *διατρίβει* A ‖ **16** ecl. hab. lemmate non iterato L (post ecl. 13, 25 Mein.), sine lemm. S (post 13, 26 Mein.), addito lemmate MA (post 13, 26 Mein.). cf. gnomol. Vat. 194 ‖ **17** *Ὁ αὐτὸς* pro *Ὁ Διογ.* L | *ἄλλοι* om. S ‖ **18** v. *ἵνα σώσω* suspectat Meineke

45 (13, 37 Mein.) *Διογένους.*

Διογένης ἤρετο Πλάτωνα εἰ νόμους γράφει· ὃ δὲ ἔφη. Τί δαί; πολιτείαν ἔγραψας; Πάνυ μὲν οὖν. Τί οὖν, ἡ πολιτεία νόμους οὐκ εἶχεν; Εἶχεν. Τί οὖν ἔδει σε πάλιν νόμους γράφειν;

46 (13, 26 Mein.) *Δημοκρίτου* (fr. mor. 94 Mullach.).

Κρέσσον τὰ οἰκήια ἁμαρτήματα ἐλέγχειν ἢ τὰ ὀθνήια.

47 (13, 40 Mein.) *Δημοκρίτου* (l. c. 124).

Οἰκήιον ἐλευθερίης παρρησίη, κίνδυνος δὲ ἡ τοῦ καιροῦ διάγνωσις.

48 (13, 28 Mein.) *Ἐκ τῶν Σερήνου.*

Ἀντιπάτρῳ ἀγροῖκος ἄνθρωπος ἐπεδίδου βιβλίον ἐντυχίαν ἔχον, ὃ δὲ οὐ σχολάζειν ἔφη. ‘καὶ μὴ βασίλευε’ εἶπεν ἐκεῖνος ‘εἰ μὴ σχολὴν ἄγεις.’

49 (13, 29 Mein.) *Ἐν ταὐτῷ.*

---

1 ecl. hab. lemmate non iterato L (post ecl. 13, 27 Mein.), sine lemm. S (post ecl. 13, 36 Mein.), addito lemm. M A (post ecl. 13, 36 Mein.) ‖ 2 *ἤρετο* L M[d] A: *εἴρετο* S | *γράφει* A Tr. p. 100, inde vulg.: *γράφοι* L S M[d] ‖ 4 alterum *εἶχε* (sic) suppl. A[2] mrg ‖ 6 ecl. cum lemm. hab. L (post ecl. 13, 37 Mein.) S M A (post ecl. 13, 25 Mein.) Br (post 13, 26 H.). recurrit corp. Par. 195 Elt. (*Δημοκρίτου γνῶμαι*); Democrat. 25 ‖ 7 *κρέσσον* L Br S M[d]: *κρεῖσσον* A corp. Par. Democrat. | *οἰκήια* L Br S A: *οἰκεῖα* M[d] corp. Par. Democrat. | *ἐλέγχειν ἁμαρτήματα* corp. Par. Democrat. | *ὀθνήια* ci. Meineke: *ὀθνεῖα* libri Stob. Democrat. *ἀλλότρια* corp. Par. cf. Plat. Protag. p. 316 D *καὶ οἰκείων καὶ ὀθνείων* ‖ 8 ecl. hab. lemmate non iterato L (post ecl. 13, 26 Mein.), add. lemm. *δημοκρίτου* S M[d] A (post ecl. 13, 39 Mein.) ‖ 11 ecl. sine lemm. hab. L (post ecl. 13, 40 Mein.), addito lemmate SMA (post ecl. 13, 27 Mein.) Mac. Chrys. (post ecl. 13, 20 Mein.); *σερίνου* libri. uberius de Philippo res narratur Plut. Demetr. c. 42, inde Ps.-Plut. apophth. reg. et duc. p. 179 C ‖ 12 *Ἐντιπάτρῳ* (*Ἐ* rubr.) L | *ἀγροῖσκος* L | *ἐδίδου* Mac. | *ἐντυχίαν* Mac. (vide Wyttenbach ad Ps. Plut. l. c.) *ἐντ.* an *εὐτ.* voluerit S difficile dictu: *εὐτυχίαν* ut videtur ceteri, certe L ‖ 13 *οὐδὲ οὐ* Mac. | *σχολάζω* Tr. p. 99, inde vulg. ‖ 14 *ἄγεις* L M[d] Mac.: *ἄγῃς* S A sed inter scribendum in *ἄγεις* corr. A[1] ‖ 15 ecl. sine lemm. hab. L, addito lemm. S M A; *ἐν ταυτῷ* lineola induxit A[2]. eclogarum 29 et 30 Mein. particulae perierunt in S, suppl. m. rec. eadem res non de vetula, sed de Machaeta narratur Ps.-Plut. apophth. reg. et duc. p. 178 F. cf. Valerius Max. VI 2 ext. 1

Πρεσβῦτις δικαζομένη ἐπὶ Φιλίππου, ὡς ἑώρα νυστάζοντα ἔπειτα μέλλοντα ἀποφαίνεσθαι, ἐδεῖτο συγχωρῆσαι αὐτῇ ἐφεῖναι. ὃ δὲ 'ἐπὶ τίνα;' εἶπεν. 'ἐπὶ Φίλιππον' ἀπεκρίνατο 'ἐγρηγορότα'.

50 (13, 30 Mein.) *Δημοκράτους.*

Δημοκράτης ἰδὼν κλέπτην ὑπὸ τῶν ἕνδεκα ἀπαγόμενον 'ἄθλιε' εἶπε 'τί γὰρ τὰ μικρὰ ἔκλεπτες, ἀλλ' οὐ τὰ μεγάλα, ἵνα καὶ σὺ ἄλλους ἀπῆγες;'

51 (13, 31 Mein.) *Ἱπποκράτους.*

Ἱπποκράτην ἐπειθέ τις πρὸς Ξέρξην ἀπαίρειν χρηστὸν εἶναι φάσκων βασιλέα, ὃ δέ 'οὐ δέομαι' ἔφη 'χρηστοῦ δεσπότου'.

52 (13, 32 Mein.) *Δημοσθένους* (fr. 59 Sauppe).

Δημοσθένης πρὸς κλέπτην εἰπόντα 'οὐκ ᾔδειν ὅτι σόν ἐστιν' 'ὅτι δέ' ἔφη 'σὸν οὐκ ἔστιν ᾔδεις'.

53 (13, 33 Mein.) *Πυθαγόρου.*

1 *χρήματα ἔχοντα* (sic) S; *μὲν* post *χρήματα* tacite add. Gesn.[1] p. 132, inde vulg. *πρήγματα μὲν ἔχοντα* scripsit Meineke, sed *χρήματα* commendatur voce *χρησίμων* | *ἐς* hic et in proximis Meineke: *εἰς* S ‖ 2 *μήκοτε* S *μηκέτι* ci. Meineke | *ἀποφήνῃ* Halm: *ἀποφήνειε* S *ἀποφήναιο* Meineke ‖ 3 *φύλακα δὲ — χρημάτων* scripsit fortasse memor versiculi Euripidei *φύλακα δὲ μᾶλλον χρημάτων*, cf. ecl. 4 ‖ 4 *τοῖς* S ‖ 5 *προσήκουσιν* S | *ἐπικείμενον* ci. Buecheler ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 16, 24 Mein.) MA (post ecl. 16, 23 Mein.), sine lemm. Br (post ecl. 16, 23 Mein.); *περὶ παιδείας* praeter S (ubi *π̓* *παιδ....*) et M[d] etiam A, fallitur Gaisford ‖ 8 *εἰδείης* libri Stob. nisi quod *ἰδείης* S: *εἰδῇς* plerique libri Xen. | *ἐγὼ οὐ* (*ὁ* pro *οὐ* S) S M[d] A Br Xen.: *ἐγὼ γὰρ* Tr., *ἐγὼ γὰρ οὐ* tacite Gesn.[1] p. 132, inde etiam Gaisford et Meineke ‖ 10 *τείχη* S M[d] Br Xen.: *τύχη* A | *φ* in *φυλάττοντες* corr. M[2] | *οὕτως* M[d] A Xen.: *οὗτοι* S Br Tr., inde vulg. ‖ 11 *εὐδαιμονέστατοι* S M[d] A Xen.: *εὐδαίμονες* Br | *πόλεσιν* S M[d] ‖ 12 *ἀλλ' ὅσ* M sed spir. et acc. in ras. M[2] | *πλεῖστα κτᾶσθαί τε* libri Stob. ut Xenophontis Erlangensis: *κτᾶσθαί τε* (*τις* pro *τε* non nulli) *πλεῖστα* Xen. | *δύνηται* S A Br Xen.: *δύναται* M[d] ‖ 13 *καὶ χρῆσθαι* S M[d] A Br: *χρῆσθαί τε* Xen. ‖ 14 *κατὰ* (*κατα* M[d]) *χρήματα* libri Stob.: *καὶ τὰ χρήματα* libri Xen. aliena haec visa sunt Weiskio et Schneidero ‖ 15 ecl. cum lemm. *σωκράτους* hab. MA (post ecl. 16, 25 Mein.), om. S. revocavi igitur librorum ordinem quem inverterat Gesn.[2] p. 155, inde vulg. legitur ecloga supra III 10, 51 sine lemmate post duas *ἐκ τῶν Ἀριστωνύμου Τομαρίων* desumptas ubi vide

Ὁ τῶν φιλαργύρων βίος ἔοικε νεκροῦ δείπνῳ· πάντα γὰρ ἔχων, τὸν εὐφρανθησόμενον οὐκ ἔχει.

28 (16, 26 Mein.) *Τοῦ αὐτοῦ.*

Ὁ τῶν φιλαργύρων πλοῦτος, ὥσπερ ὁ ἥλιος καταδὺς εἰς τὴν γῆν, οὐδένα τῶν ζώντων εὐφραίνει.

29 (16, 28 Mein.) *Ἐπικούρου* (fr. 204 Vsener.).

Γεγόναμεν ἅπαξ, δὶς οὐκ ἔστι γενέσθαι· δεῖ δὲ τὸν αἰῶνα μηκέτ' εἶναι. σὺ δὲ τῆς αὔριον οὐκ ὢν κύριος ἀναβάλλῃ τὸν καιρόν· ὁ δὲ πάντων βίος μελλησμῷ παραπόλλυται καὶ διὰ τοῦτο ἕκαστος ἡμῶν ἀσχολούμενος ἀποθνήσκει.

30 (16, 29 Mein.) *Ἀντιφῶντος* (fr. 128 Blass[2]).

Ἔστι δέ τις λόγος, ὡς ἄρα ἰδὼν ἀνὴρ ἄνδρα ἕτερον ἀργύριον ἀναιρούμενον πολὺ ἐδεῖτό οἱ δανεῖσαι ἐπὶ τόκῳ, ὁ δ' οὐκ ἠθέλησεν, ἀλλ' ἦν οἷος ἀπιστεῖν τε καὶ μὴ ὠφελεῖν μηδένα, φέρων δ' ἀπέθετο ὅποι δή· καί τις καταμαθὼν τοῦτο ποιοῦντα ὑφείλετο· ὑστέρῳ δὲ χρόνῳ ἐλθὼν οὐχ εὕρισκε τὰ χρήματα ὁ καταθέμενος. περιαλγῶν οὖν τῇ συμφορᾷ τά τε ἄλλα καὶ ὅτι οὐκ ἔχρησε τῷ δεομένῳ, ὃ ἂν αὐτῷ καὶ σῷον ἦν καὶ ἕτερον προσ-

---

1 *ἔοικεν οὖν ὁ τῶν φιλαργύρων βίος* flor. 10 | *περιδείπνῳ* pro *νεκροῦ δείπνῳ* hic et supra ci. Nauck ‖ 2 *εὐφρανθησόμενον* M[d] flor. 10: *εὐφραινόμενον* hoc loco A quod non recte recepit Meineke ‖ 3 ecl. cum lemm. *σωκράτους* hab. S (post ecl. 16, 25 Mein. omissa Socratica altera), cum lemm. *τοῦ αὐτοῦ* M A (post ecl. 16, 27 Mein.). recepta est in corp. Par. 625 Elt. (*Σωκράτους*). recurrit Demophil. simil. 27; gnom. Byz. 208 p. 200 Wachsm. ‖ 4 *τῶν φιλαργύρων* S M[d] A corp. Par.: *τοῦ φιλαργύρου* Tr. p. 108, inde vulg. ‖ 5 *pro εἰς melius scripsisset ὑπό*: Meineke v. IV p. LX ‖ 6 ecl. cum lemm. hab. S M A (post ecl. 16, 26 Mein.) Br (post ecl. 16, 25 Mein.). cf. Plutarchus ne suaviter quidem vivi posse sec. Epic. p. 1104 E: '*ἅπαξ ἄνθρωποι γεγόναμεν, δὶς δὲ οὐκ ἔστι γενέσθαι· δεῖ δὲ τὸν αἰῶνα μηκέτ' εἶναι*' idem p. 1106 F '*δὶς γὰρ οὐκ ἔστι γενέσθαι· δεῖ δὲ τὸν αἰῶνα μὴ εἶναι*' κατ' *Ἐπίκουρον* ‖ 8 *τῆς* S A Br: *τὴν* M[d] ‖ 9 *μελλησμῷ* S A: *μελησμῷ* M[d] Br ‖ 12 ecl. cum lemm. hab. S M A (post ecl. 16, 28 Mein.), sine lemm. Br (post ecl. 16, 15 Mein.). verba extrema *ὅτῳ γὰρ ὁ θεὸς — ἀπεστέρησεν* iterantur infra flor. 104, 19 Mein. (*Ἀντιφῶντος*) ‖ 15 *μὴ* om. S ‖ 16 *ὅποι* Blass: *ποι* vel *ποῖ* S M[d] A Br ‖ 18 *ηὕρισκε* Blass

ἔφερεν, ἀπαντήσας δὴ τῷ ἀνδρὶ τῷ τότε δανειζομένῳ ἀπωλοφύρετο τὴν συμφοράν, ὅτι ἐξήμαρτε καὶ ὅτι οἱ μεταμέλει οὐ χαρισαμένῳ, ἀλλ' ἀχαριστήσαντι, ὡς πάντως οἱ ἀπολόμενον τὸ ἀργύριον. ὃ δ' αὐτὸν ἐκέλευε μὴ φροντίζειν, ἀλλὰ νομίζειν αὐτῷ εἶναι καὶ μὴ ἀπολωλέναι, καταθέμενον λίθον εἰς τὸ αὐτὸ χωρίον· πάντως γὰρ οὐδ' ὅτε ἦν σοι ἐχρῶ αὐτῷ, ὅθεν μηδὲ νῦν νόμιζε στέρεσθαι μηδενός. ὅτῳ γάρ τις μὴ ἐχρήσατο μηδὲ χρήσεται, ὄντος ἢ μὴ ὄντος αὐτῷ οὐδὲν οὔτε πλέον οὔτε ἔλασσον βλάπτεται. ὅταν γὰρ ὁ θεὸς μὴ παντελῶς βούληται ἀγαθὰ διδόναι ἀνδρί, χρημάτων πλοῦτον παρασχών, τοῦ φρονεῖν ⟨δὲ⟩ καλῶς πένητα ποιήσας, τὸ ἕτερον ἀφελόμενος ἑκατέρων ἀπεστέρησεν.

CAPVT XVII.

ΠΕΡΙ ΕΓΚΡΑΤΕΙΑΣ.

1 *Σοφοκλέους Ἠλέκτρας* (989).
Ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.

---

1 *δη* ci. Meineke: *δὲ* S M A Br; *δὲ* delevit Sauppe ‖ 2 *ἀπωλοφύρετο* S: *ἀνωλοφύρετο* $\mathrm{M^d}$ Br *ἀνωλοφύρετο* (π supra) A, corr. $\mathrm{A^2}$ ‖ 3 *μεταμέλει* $\mathrm{M^d}$: *μεταμέλλει* S A | *χρησαμένῳ* Br | *ὡς* Blass: *καὶ* S M A ‖ 4 *οἱ ἀπολόμενον* Gesn.² p. 155, inde vulg.: *οἱ ἀπολλόμενον* S *οι* (*οἱ* Br) *ἀπολούμενον* $\mathrm{M^d}$ Br *σοι ἀπολυόμενον* $\mathrm{A^1}$ *οἱ ἀπωλόμενον* (sic) $\mathrm{A^2}$ ‖ 5 *αὐτῷ* Sauppe: *αὐτὸ* S *αὐτῶ* $\mathrm{M^d}$ A Br ‖ 8 *ὅτω* S $\mathrm{M^d}$: *οὕτω* $\mathrm{A^1}$ | *χρήσεται*, sed ε videtur corr. ex *αι* $\mathrm{S^1}$ ‖ 9 *ἔλασσον* S $\mathrm{M^d}$: *ἔλαττον* A Br ‖ 10 *ἔχει* pro *βλάπτεται* dubitanter ci. Nauck (per litt.), *βλέπεται* Buecheler | *ὅταν — βούληται* S $\mathrm{M^d}$ A Br: *τῶ — βούλεται* flor. 104; *ὅτῳ — βούλεται* Sauppe | *ἀγαθὰ* libri hic et 104: *τἀγαθὰ* Cobet mnemos. IX p. 109 ‖ 11 *φρονεῖν δὲ καλῶς* Sauppe: *φρονεῖν καλῶς* S $\mathrm{M^d}$ A Br, *καλῶς φρονεῖν* flor. 104; nescio igitur an fuerit in archetypo *τοῦ φρονεῖν δὲ πένητα* (*καλῶς* supra) ‖ 12 *ἀμφοτέρων* flor. 104

Capitis septimi decimi eclogas offerunt S M A, non nullas Br et Mac. Chrys. eidem titulum addunt ut Photius, numerum *ιζ'* M A Mac. *ιβ'* S ‖ 16 ecl. cum lemm. hab. S M A; *ἠλέκτρα* M. recurrit corp. Par. 626 Elt. (*Σοφοκλέους*) ‖ 17 *αἰσχρῶς αἰσχρὸν* corp. Par.

2 *Σοφοκλέους Φαίδρα* (fr. 616 N.[2]).

Οὐ γὰρ δίκαιον ἄνδρα γενναῖον φρένας
τέρπειν, ὅπου γε μὴ δίκαια τέρψεται.

3 *Χάρητος* (fr. 1 p. 826 N.[2]).

Γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν·
μόνη γὰρ ὧν πέπονθεν οὐκ ἔχει χάριν,
ἀεὶ δὲ τοῦ δέοντος ἐνδεῖται πλέον.
ὅστις δὲ γαστρὸς μὴ κρατεῖν ἐπίσταται,
οὗτος τὰ πλείω τῶν κακῶν ἔχει κακά.

4 *Σοφοκλέους Οἰδίποδι* (tyr. 1410).

Ἀλλ' οὐ γὰρ αὐδᾶν ἔσθ', ἃ μηδὲ δρᾶν καλά.

5 (17, 5. 6 Mein.: trag. fr. adesp. 522 N.[2]).

Ὅσοι δὲ φιλοσοφοῦντες ἐκμοχθοῦσί τι,
ἐνταῦθ' ὑπάρχει τῷ βίῳ γαστρὸς κρατεῖν·
διδάσκαλος γὰρ [οὖσα] ἡ εὐτέλεια τῶν σοφῶν
καὶ τῶν ἀρίστων γίνεται βουλευμάτων.

---

1 ecl. cum lemm. hab. S M A; *ῑ αὖ φα ...* S *σοφοκλέους φαίδρα* M A. eundem locum servavit Orio anth. VI 7 p. 49 (*Ἐκ τῆς Φαίδρας*) ‖ 3 *ὅπου γε μὴ* Schneidewin: *ὅπου μὴ καὶ* S M[d] A *ὅπου γε* Or. | *τέρπεται* Or. ‖ 4 ecl. cum lemm. hab. S M A (post ecl. 17, 2) Mac. Chrys. (tamquam capitis primam); *Χάρωητ* (o supra scr.) sed *ω* lineola induxit m. inc. A *Κάρητος* in *Χάρητος* corr. Mac. rubr. ad Cratetem rettulit incerta coniectura Bergk p. l.[4] II p. 372. versus duo priores sine p. n. recurrunt Greg. Naz. II p. 213 C, primus Men. mon. 81 ‖ 5 *δὲ* om. Mac. ‖ 7 *δὲ*] *γὰρ* A | *τοῦ δοθέντος* scr. Nauck ‖ 8. 9 recurrunt Boiss. anecd. gr. III p. 469. abhinc novum fragmentum ordiendum esse fortasse recte suspicatur Meineke | *ὅστις δὲ γαστρὸς μὴ* M[d] A *ὅστις δὲ μὴ γαστρὸς* S Mac. Tr. p. 109, inde vulg. *γαστρὸς ὅστις μὴ* anecd. Boiss. ‖ 9 *οὗτος* om. S *οὕτως* anecd. Boiss. ‖ 10 ecl. cum lemm. hab. S, om. M A; *οἰδίπο* (δ supra scr.) S ‖ 11 *ἔστ'* S | *μηδ' ὁρᾶν* Sophocli dedit Nauck | *καλόν* Soph. ‖ 12 ecl. sine lemm. cum priore cohaerentem hab. S, om. M A. separavit Grotius dict. poet. p. 95. versum tertium respicit Philostratus vit. Apoll. Tyan. p. 110, 21 ‖ 13 post h. v. lacunam signavit Meineke non recte ‖ 15 et 16 a prioribus male separabat Grotius l. c. | *οὖσα ἡ εὐτέλεια* S: *εὐτέλεια* Grotius | *τῶν* om. Gesn.[1] p. 134, inde vulg. ‖ 16 *γίνεται* S *γίγνεται* Meineke

6 (17, 7 Mein.) *Εὐριπίδου Ἐρεχθεῖ* (fr. 362 N.²).

Ἐξουσίᾳ δὲ μή ποτ' ἐντυχών, τέκνον,
αἰσχροὺς ἔρωτας δημοτῶν διωκαθεῖν.
ὃ καὶ σίδηρον ἀγχόνας τ' ἐφέλκεται,
χρηστῶν πενήτων ἤν τις αἰσχύνῃ τέκνα.

7 (17, 8 Mein.) *Πυθαγόρου.*

Παντὸς καλοῦ κτήματος πόνος προηγεῖται ὁ κατ' ἐγκράτειαν.

8 (17, 9 Mein.) *Ἰαμβλίχου.*

Τί δαὶ τοῖς ἀνθρώποις χρωμένοις; ἐμμελῆ καὶ εὐάρμοστον ἕξιν, πρός τε τοὺς διαφέροντας τρόπους εὐκοινώνητον, ἄρχειν τε καὶ ἄρχεσθαι δυναμένην ἐν μέρει τῷ προσήκοντι· τούτοις δ' ἕπεται τὰ ἔθη καὶ τὰ ἐπιτηδεύματα περί τε ἐγκράτειαν ἡδονῶν καὶ περὶ τὴν ἀρχὴν τῶν ἐπιθυμιῶν, ἄλλα δ' εἴδη τῶν ἡδονῶν τὸ ἀκόλαστον ἐξ ἅπαντος τρόπου καὶ ἄμετρον ἐξορίζοντα.

9 (17, 10 Mein.) *Φωκίωνος.*

Φωκίωνι ὁ παῖς πλείω τῶν εἰωθότων ὄψων ἐπρίατο. ὃ δέ 'οἰμώξῃ' ἔφη 'ἐὰν τοῦ φαγεῖν πλείω ἐπιφαγεῖν παρασκευάζῃς'.

---

1 ecl. cum lemm. hab. S, om. M A. legitur supra intra amplius excerptum 3, 18 p. 198, 2 (*Εὐρ. Ἐρεχθέως*) ‖ 2 *ἐντυχὼν* tacite Gesn.¹ p. 134: *εὐτυχὼν* S *ἐντυχὼν* (voluit *ἐν*- vel *εὐ*-) Tr. *εὐτυχῶν* libri flor. 3 ‖ 3 *δημοτῶν* flor. 3: *δημωτῶν* S | *διωκάθειν* libri hic et supra ‖ 4 *ἀγχόνας* flor. 3: *ἀνοχὰς* S ‖ 5 *ἄν τις* libri flor. 3 ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 17, 7 Mein.) M A Mac. Chrys. (post ecl. 17, 3), sine lemm. Br (tamquam capitis primam). recurrit Pyth. Vind. 78 Pyth. Syr. 58 Demoph. sent. Pyth. 33. *παντὸς καλοῦ κτήματος πόνους δεῖ προηγεῖσθαι* nec plura offert Porphyrius ad Marc. 7 p. 278, 17 N.² ‖ 9 ecl. cum lemm. hab. S, om. MA ‖ 10 *χρωμένοις* S: *κτωμένοις* Valckenaer. sed graviore ut videtur corruptela locus laborat. *χρώμενος* probabile putat Buecheler ‖ 13 *ἔθη* S: *ἤθη* Valckenaer, ante Valckenaerium cod. Par. 1985 teste Gaisfordo, sed vide Iambl. vit. Pyth. p. 94, 12. 178, 11 N. ‖ 15 *ἄλλα δεῖ δὴ* libri: corr. Buecheler ‖ 16 *ἐξορίζοντα* S: *ἐξορίζειν* temere Gesn.¹ p. 134, inde vulg. non praestat *ἀλλὰ δεῖ δὴ ⟨ζῆν⟩ τῶν ἡδονῶν — ἐξορίζοντα* ‖ 17 ecl. sine lemm. hab. S, addito lemm. M A ‖ 18 *ἐπρίατο* corr. ex *ἐπριᾶτο* A ‖ 20 *παρασκευάζῃς* ex indic. modo corr. A²

10 (17, 11 Mein.) *Ἐκ τῆς Σίμωνος ἐπιστολῆς πρὸς Ἀρίστιππον* (epistologr. gr. rec. Herch. p. 618).

Μέμνησο μέντοι λιμοῦ καὶ δίψης· ταῦτα γὰρ δύναται μεγάλα τοῖς σωφροσύνην διώκουσιν.

11 (17, 12 Mein.) *Πυθαγόρου.*

Ῥώμην μεγίστην καὶ πλοῦτον τὴν ἐγκράτειαν κτῆσαι.

12 (17, 13 Mein.) *Τοῦ αὐτοῦ.*

Πυθαγόρας παρηγγύα, μὴ πυκνὰ τὸν ἄνθρωπον ἀπὸ τοῦ ἀνθρώπου, μὴ δεῖν συνεχῶς ἀφροδισιάζειν αἰνιττόμενος.

13 (17, 14 Mein.) *Ἀπολλώνιος Εἰδομένῃ* (epistologr. gr. rec. Herch. p. 126).

Ἐζηλώσαμεν τὴν αὐτάρκειαν οὐχ ὅπως τοῖς εὐτελέσι καὶ λιτοῖς πάντως χρώμεθα, ἀλλ' ὅπως θαρρῶμεν πρὸς αὐτά.

14 (17, 15 Mein.) *Ἀπολλώνιος τοῖς γνωρίμοις* (ib. p. 126).

Μηδέν με δόξητε ῥᾳδίως ἄλλοις παραινεῖν· αὐτὸς

---

1 ecl. cum lemm. hab. S M A; *τῆς* reposui ex M^d: *τ'* S *τοῦ* (*ῆς* superscr.) A. *ἐπιστολῆς* M^d: *ἐπιστο͂* S *ἐπιστολῶν* A. gnoma recurrit corp. Par. 447 Elt. (*γνῶμαι Ἀριστίππου*) ‖ 3 *λιμοῦ* libri Stob. et corp. Par.: *ἀεί μου* et ad marg. *γρ. ἀεί σου* epistologr. cod. *P* ‖ 4 *μεγάλα* libri Stob. et corp. Par.: *μέγα* epistologr. ‖ 5 ecl. cum lemm. hab. SMA. recurrit Pyth. Vind. 89 Pyth. Syr. 68 gnomol. Byz. 199 p. 199 Wachsm. (Pal. 150) cod. Vind. 199. cf. Sext. 294 Elt. ‖ 6 *καὶ πλοῦτον* om. cod. Vind. 199 | *κτῆσαι*] *κράτησαι* (*αι* corr. ex *ε*) Pal. ‖ 7 ecl. hab. lemmate non iterato S, addito *τοῦ αὐτοῦ* M A. cf. Democritus Stobaei III 6, 28 ‖ 11 ecl. cum lemm. hab. SMA; Epicuri ad Idomeneum epistulae inseri iubet Vsener Ep. fr. 135a p. 345, nam in *Εἰδομένῃ* latere *Ἰδομενεῖ* et Apollonii nomen ex proxima ecloga retractum esse. sed nescio an Apollonii nomen ita possit defendi, ut Epicurea ad Idomeneum epistula ab Apollonio vel Ps.-Apollonio commemorata fuisse credatur, obscurata posthac a gnomologo vel male intellecta. nam proximae Apollonii eclogae sententia, ut ipse vidit Vsener, est 'simillima neque indigna Epicuro'. confer etiam Apollon. epist. V p. 110 sq. Herch. ‖ 14 *λιτοῖς* e *λοιποῖς* A[1] | *πάντως* ci. Gesn.[1] p. 134 mrg, idem cod. Par. 1985 (teste Gaisfordo) fortasse ex Gesn.: *πάντων* S M^d A ‖ *πρὸς* e corr. M^d ‖ 16 ecl. cum lemm. hab. S M A; *τοῦ αὐτοῦ* pro *ἀπολλώνιος* S ‖ 17 *μηδέ με* M^d | *δόξῃς* pro *δόξητε* Tr. p. 110, inde vulg.

γὰρ ἐπὶ τῆς μάζης καὶ τῆς ἄλλης τῆς ἀκολούθου ταύτῃ διαίτης ὧν τοιαῦτα ὑμῖν παρεγγυῶ.

15 (17, 16 Mein.) *Διογένους.*

Ὁ Διογένης καθαρὸν λαβὼν ἄρτον, ἐξέβαλε τῆς πήρας τὸν αὐτόπυρον εἰπὼν

ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.

16 (17, 17 Mein.) *Σωκράτους* (Aelian. var. hist. IX 29).

Ἑορτῆς οὔσης παρὰ τοῖς Ἀθηναίοις ἐφιλοτιμήσατο ὁ Ἀλκιβιάδης δῶρα πολλὰ πέμψαι τῷ Σωκράτει. τῆς οὖν Ξανθίππης καταπλαγείσης καὶ τὸν Σωκράτην λαβεῖν αὐτὰ ἀξιούσης ἔφη ʻἀλλὰ καὶ ἡμεῖς τῇ φιλοτιμίᾳ τῇ τοῦ Ἀλκιβιάδου παραταξώμεθα, μὴ λαβεῖν τὰ πεμφθέντα ἀντιφιλοτιμησάμενοιʼ.

17 (17, 18 Mein.) *Ἀριστίππου.*

Κρατεῖ ἡδονῆς οὐχ ὁ ἀπεχόμενος, ἀλλ' ὁ χρώμενος μέν, μὴ παρεκφερόμενος δέ· ὥσπερ καὶ νεὼς καὶ ἵππου οὐχ ὁ μὴ χρώμενος, ἀλλ' ὁ μετάγων ὅποι βούλεται.

18 (17, 19 Mein.) *Περικλέους.*

---

3 ecl. sine lemm. hab. S (post ecl. 17, 15 Mein.) Mac. Chrys. (post ecl. 17, 8 Mein.), addito lemm. M A (post ecl. 17, 15 Mein.). cf. Laert. VI 55 ‖ **6** Eur. Phoen. 40 | *τυραννεῖς* M[d] | *μεθίστασο*, sed *θ* ex *τ* corr. S[1] ‖ **7** ecl. cum lemm. hab. S M A ‖ **8. 9** *Ἑορτῆς οὔσης — τῷ Σωκράτει*] *Ὅτι ἐφιλοτιμήσατο Ἀλκιβιάδης δῶρα πολλὰ πέμψαι Σωκράτει* Aeliani vulgata, quam epitomatori deberi demonstravit Hercher ed. Didot. praef. p. VI ‖ **10** post *καταπλαγείσης* add. *τὰ πεμφθέντα* libri Ael. | *καὶ τὸν Σωκράτην λαβεῖν αὐτὰ ἀξιούσης* S *καὶ ἀξιούσης τὸν Σωκράτην λαβεῖν αὐτά* M[d] A, *καὶ ἀξιούσης λαβεῖν αὐτά* libri Ael.; vide Hercher l. c. adn. 10 ‖ **11** *ὃ δὲ* ante *ἔφη* add. Ael. | *τῇ φιλοτιμίᾳ τῇ τοῦ Ἀλκιβιάδου* scripsi ex Ael.: *τῇ τοῦ ἀλκιβιάδου φιλοτιμία* S *τῇ φιλοτιμία τῇ ἀλκιβιάδου* M[d] A ‖ **12** *παραταξώμεθα* M[d] A Ael.: *παραταξόμεθα* S ‖ **14** ecl. cum lemm. hab. S M A (post ecl. 17, 17 Mein.) Br (post ecl. 17, 31 Mein.). recurrit corp. Par. 446 Elt. (*γνῶμαι Ἀριστίππου*). cf. Laert. II 75 ‖ **16** *παρεκφερόμενος* Iacobs addit. animadv. in Athen. p. 300: *προεκφερόμενος* S M[d] Br corp. Par. *προσεκφερόμενος* A ‖ **17** *ἀλλ' ὁ* S Br A[2] corp. Par.: *ἀλλὰ* M[d] A[1] ‖ **18** ecl. sine lemm. hab. S (post ecl. 17, 18 Mein.) Mac. Chrys. (post ecl. 17, 16 Mein.), addito lemm. M A (post ecl. 17, 18 Mein.). apophthegma narratur

Περικλῆς Σοφοκλέους εὐπρεπῆ παῖδα δεικνύντος αὐτῷ 'ὦ Σοφόκλεις' εἶπε 'τὸν σώφρονα στρατηγὸν οὐ μόνον τὰς χεῖρας, ἀλλὰ καὶ τὴν ὄψιν ἔχειν παρ' ἑαυτῷ δεῖ'.

19 (17, 20 Mein.) *Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου* (c. 34).

Ὅταν ἡδονῆς τινος φαντασίαν λάβῃς, ὅπερ καὶ ἐπὶ τῶν ἄλλων φαντασιῶν, φυλάσσου, μὴ συναρπάζου ταχέως, ἀλλὰ ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ μικρὰν ἀναβολὴν αὐτὸς παρὰ σαυτοῦ λάβε· εἶτα ἐπισκοπήσας τὴν φαντασίαν καθ' οὓς ἔχεις κανόνας, μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὧν ἀπολαύσας μὲν τῆς ἡδονῆς ἡττημένος μετανοήσεις καὶ λοιδορήσεις σεαυτῷ, ἀπεσχημένος δὲ χαίρεις καὶ ἐπαινεῖς αὐτὸς ἑαυτόν. ἐὰν δὲ εὔκαιρον φαίνηται ἅψασθαι τοῦ πράγματος, μέμνησο ἵνα σου μὴ κρατήσῃ τὸ προσηνὲς αὐτοῦ καὶ ἀγωγόν, ἀλλὰ πειρῶ κρατεῖν τῶν ἡνιῶν.

---

a multis, congesserunt testimonia qui de vita Sophoclis scripserunt velut O. Iahn Soph. El.[2] p. 8 sq.

1 *δεικνύντος* S M^d *δεικνύοντος* A Mac. ‖ 2 *σοφοκλῆς* M^d ‖ 4 ecl. cum lemm. hab. S M A (post ecl. 17, 19 Mein.) Br (post ecl. 17, 18 Mein.); *ἐπικτήτου* nec plura Br ‖ 5 *ὅπερ καὶ ἐπὶ τῶν ἄλλων φαντασιῶν* S M^d A: *καθάπερ ἐπὶ τῶν ἄλλων* Br Arr., *ὥσπερ ἐπὶ τῶν ἄλλων* Simpl. ‖ 6 *φυλάσσου μὴ συναρπάζου ταχέως* S M^d A: *φύλασσε σαυτὸν μὴ συναρπασθῇς ὑπ' αὐτῆς* Br Arr. ‖ 7 *ἀλλὰ* S M^d A: *ἀλλ'* Br Arr. | *καὶ μικρὰν ἀναβολὴν αὐτὸς παρὰ σαυτοῦ λάβε* S M^d A: *καὶ ἀναβολήν τινα παρὰ σεαυτοῦ λάβε* Br Arr. ‖ 8 *σαυτοῦ*] videtur voluisse *σεαυτοῦ*, deinde corr. S | *εἶτα ἐπισκοπήσας* (*ἐπισκοτήσας* S) *τὴν φαντασίαν καθ' οὓς ἔχεις κανόνας* S M^d A: *ἔπειτα* Br Arr. ‖ 10 *debuit καθ' ὅσον* (*καθόσον*) Buecheler ‖ 10—12 *καθ' ὧν ἀπολαύσας μὲν τῆς ἡδονῆς ἡττημένος* (*ἡττομένος* Tr., unde *ἡττώμενος* Gesn.[1] p. 134, vulg.) *μετανοήσεις καὶ λοιδορήσεις σεαυτῷ ἀπεσχημένος* (sic tacite corr. Gesn.[1], *ἀπεσχισμένος* S M^d, *ἀπεχόμενος* ex *ἀποσχημένος* vel *ἀπεσχημένος* corr. A[2]) *δὲ χαίρεις καὶ ἐπαινεῖς αὐτὸς ἑαυτόν* S M^d A: *καθ' ὅν τε ἀπολαύσεις τῆς ἡδονῆς καὶ καθ' ὃν ἀπολαύσας ὕστερον μετανοήσεις καὶ αὐτὸς σεαυτῷ λοιδορήσεις καὶ τούτοις ἀντίθες, ὅπως ἀποσχόμενος χαιρήσεις καὶ ἐπαινέσεις αὐτὸς σεαυτόν* Br Arr. ‖ 12—15 *ἐὰν δὲ εὔκαιρον φαίνηται ἅψασθαι τοῦ πράγματος μέμνησο ἵνα σου μη* (*ἵνα μή σου* A) *κρατήσῃ τὸ προσηνὲς αὐτοῦ καὶ ἀγωγὸν ἀλλα πειρῶ κρατεῖν τῶν ἡνιῶν* S M^d A: *ἂν δὲ εὐκαιρόν σοι φανῇ* (*ἐὰν δέ σοι κε-*

20 (17, 21 Mein.) *Δημοσθένους* (prooem. XXVIII p. 1438, 11).

Δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν.

21 (17, 22 Mein.) *Σωκράτους.*

Σωκράτης ἐρωτηθεὶς τίνι τῶν ἄλλων ἀνθρώπων διαφέρει, εἶπε 'καθόσον οἱ μὲν λοιποὶ ζῶσιν, ἵν' ἐσθίωσιν, αὐτὸς δὲ ἐσθίω, ἵνα ζῶ'.

22 (17, 23 Mein.) *Ἐπικούρου* (fr. 469 p. 300 Vsener.).

Χάρις τῇ μακαρίᾳ Φύσει, ὅτι τὰ ἀναγκαῖα ἐποίησεν εὐπόριστα, τὰ δὲ δυσπόριστα οὐκ ἀναγκαῖα.

23 (17, 24 Mein.) *Τοῦ αὐτοῦ* (fr. 135 p. 142 Vsener.).

Εἰ βούλει πλούσιόν τινα ποιῆσαι, μὴ χρημάτων προστίθει, τῆς δὲ ἐπιθυμίας ἀφαίρει.

24 (17, 25 Mein.) *Ξενοκράτους.*

Ξενοκράτης εἴ ποτε σταμνίον οἴνου ἀνοίξειεν, ἔφθανεν ὁ οἶνος τρεπόμενος πρὶν ἀναλωθῆναι· καὶ τὰ ὄψα δὲ

ρὸς φανῇ Arr.) *ἅψασθα τοῦ ἔργου πρόσεχε μὴ ἡττήσῃ σε τὸ προσηνὲς αὐτοῦ καὶ ἐπαγωγὸν* (*αὐτοῦ καὶ ἡδὺ καὶ ἐπ.* Arr.) *ἀλλ' ἀντιτίθει πόσῳ ἄμεινον τὸ συνειδῆσαι* (*συνειδέναι* Arr. plerique) *ἑαυτῷ* (*σεαυτῷ* Arr. plerique) *ταύτην τὴν νίκην νενικηκότι* Br Arr.

1 ecl. cum lemm. hab. S M A Br (post ecl. 17, 20 Mein.) Mac. Chrys. (post ecl. 17, 19 Mein.). recurrit corp. Par. 627 Elt. (*Δημοσθένους*) ‖ 2 *δεῖ*] *οὐ μὴν ἀλλὰ δεῖ* Dem. | *τῶν ἐπιθυμιῶν* post *πειρᾶσθαι* transponit Br ‖ 4 ecl. hab. S M A Mac. Chrys.; lemma om. S Mac. vide quae dixi ad III 6, 41 et 18, 37 H. ‖ 6 *ἐσθίουσιν* M[d] ‖ 7 *ἐσθίων* M[d] ‖ 8 ecl. cum lemm. hab. S M A Mac. Chrys. recurrit corp. Par. 628 Elt. (*Ἐπικούρου*) ‖ 9 *Φύσει* Bernays ad Theophr. de pietate p. 146; *φύσει* libri ‖ 11 ecl. sine lemm. hab. S, addito lemm. M A Mac. Chrys. Epicurum interpretatur Seneca epist. 21, 7. ceterum confer Teletis p. 29, 6 H. ‖ 12 *Πυθοκλέα* pro *τινα* Epicuro reddidit Vsener duce Annaeo | *χρημάτων* S M[d] A[1] Mac. *χρήματα* A[2], fallitur Gaisford. '*τοῖς χρήμασι* Seneca legebat quique Stobaeo 17, 37 auctor fuit, *χρήμασι* soloece cum Gaisfordio Meinekius' Vsener ‖ 14 ecl. sine lemm. hab. S Mac. Chrys., addito lemm. M A; *παροι*[μ] S mrg, *Παροιμία* pro lemm. Tr. p. 111 ‖ 15 *σταμνον* s. acc. S *σταμνεῖον* M[d] Mac. *σταμνίον* A; *στάμνον* Tr. p. 111, inde vulg. ‖ 16 *τερπόμενος* A, corr. A[2] (*τρε*)

πολλάκις ἕωλα ἐξέρριπτεν. ἔνθεν καὶ ἡ παροιμία, τὸ Ξενοκράτους τυρίον, ἐπὶ τῶν ἐπὶ πολὺ παραμενόντων καὶ μὴ τάχιστα ἀναλισκομένων.

25 (17, 26 Mein.) *Δημοκρίτου* (fr. mor. 29 Mullach.).

Εὐγνώμων ὁ μὴ λυπεόμενος ἐπ' οἷσιν οὐκ ἔχει, ἀλλὰ χαίρων ἐπ' οἷσιν ἔχει.

26 (17, 27 Mein.) *Πυθαγόρου.*

Τεθνάναι πολλῷ κρεῖττον ἢ δι' ἀκρασίαν τὴν ψυχὴν ἀμαυρῶσαι.

27 (17, 28 Mein.) *Σωκράτους.*

Σωκράτης ἐγκράτειαν τὸ κρατεῖν τῆς ἐν τῷ σώματι ἡδονῆς ἔφη.

28 (17, 29 Mein.) *Αἰλιανοῦ ἐκ τῆς συμμίκτου ἱστορίας* (fr. 1 ed. Teubn.).

---

1 ἕωλα] ἑῶλα ex corr. M^d | ἐξέριπτεν M^d ἐξέλιπτεν Mac. | ἔνθεν S M^d Mac. ὅθεν A || 2 ἐπὶ πολὺ S M^d Mac.: πολὺ A || 4 ecl. cum lemm. hab. SMA (post ecl. 17, 25 Mein.) Br (post ecl. 17, 21 Mein.). recurrit gnomol. Byz. 249 p. 205 Wachsm. (Pal. 153 Par. 91 [corp. Par. Elt. nescio ubi] Bar. 243); exc. Vindob. 14; flor. Schenkelii (*Wien. stud.* XI p. 18) 45. sed consulto omitto gnomologorum discrepantias || 5 λυπούμενος Br | 5. 6 ἐφ' οἷσιν libri | ἀλλὸ sed ut fere confundatur cum ἀλλὰ S ἀλλ' ὁ ex ἀλλὰ (sic) corr. A² || 7 ecl. cum lemm. hab. S (post ecl. 17, 26 Mein.) MA (post ecl. 17, 28 Mein.), sine lemm. Br (post ecl. 17, 26 Mein.). recurrit Pyth. Vind. 103 Pyth. Syr. 80 Demoph. sent. Pyth. 39 b Porphyr. ad Marc. 35; gnom. Byz. 22 p. 169 Wachsm. (Pal. 22 Bar. 14 Mon. 21 Leid. 24); Anton. I c. 39 p. 49 (post Diogenis gnomas sed ante Pyth.); Anton. I c. 58 p. 64 (*Κλειτάρχου*) Maxim. c. 36 p. 627 Combef. (*Κλειτάρχου*, add. *Πλουτάρχου* cod. Laur.) mel. Aug. c. 47 n. 10; Sext. 345 Elt., inde Clitarch. 114 Elt. || 8 *πολλῷ γὰρ κρ. τ.* Porph. *κρεῖττον ἀποθανεῖν λιμῷ* (*λιμῷ* om. Clit.) Sext. Clit. | *πολὺ* pro *πολλῷ* gnom. Byz. | *ἀκρασίαν* S M^d A Br Pyth. Vind. Porph. gnomologii Byz. cod. Leid.: *ἀκρασίας* gnomologii Byz. cod. Pal. Bar. Mon. *ἀκρασίας σώματος* Demoph. (*διὰ*) *γαστρὸς ἀκρασίαν* Sext. Clit. | *τὴν* om. Sext. Clit. || 10 ecl. sine lemm. hab. S (post ecl. 17, 27 Mein.) Br (post ecl. 17, 8 Mein.), addito lemmate MA (post ecl. 17, 26 Mein.). recurrit corp. Par. 629 Elt. (*Σωκράτους*) || 11 *ἐγκράτειαν* S Tr. p. 111, inde vulg.: *ἐρωτηθεὶς τί* (*τί ἐστιν* corp. Par.) *ἐγκράτεια ἔφη* (*εἶπεν* corp. Par.) M corp. Par. *ἐρωτηθεὶς τί ἐγκράτεια* A Br | *κατὰ σῶμα* pro *ἐν τῷ σώματι* Br || 12 *ἡδονῆς ἔφη* S Tr., inde vulg.: *ἡδονῆς* M A corp. Par. *ἡδονῆς εἴρηκεν* Br | 13 ecl. sine lemm. hab. S, addito lemm. *Αἰλιανοῦ ἐκ*

Χρύσιππος ὁ Σολεὺς ἐποιεῖτο τὸν βίον ἐκ πάνυ ὀλίγων, Κλεάνθης δὲ καὶ ἀπὸ ἐλαττόνων.

29 (17, 30 Mein.: eiusd. v. h. IV 13)

Ἐπίκουρος ὁ Γαργήττιος ἐκεκράγει λέγων ‘ᾧ ὀλίγον οὐχ ἱκανόν, τούτῳ γε οὐδὲν ἱκανόν’. ἔλεγε δὲ ἑτοίμως ἔχειν καὶ τῷ Διὶ ὑπὲρ εὐδαιμονίας διαγωνίζεσθαι μᾶζαν ἔχων καὶ ὕδωρ.

30 (17, 31 Mein.) *Σωκράτους.*

Σωκράτης ἐρωτηθεὶς πῶς ἂν γένοιτό τις πλούσιος, ‘εἰ τῶν ἐπιθυμιῶν’ ἔφη ‘εἴη πένης’.

31 (17, 32 Mein.) *Ξενοφῶντος ἐν α' Ἀπομνημονευμάτων* (I 5, 1).

τῆς συμμίκτου (*συμμικτῆς* A) *ἱστορίας* M^d A. lemma ad ecl. 30 transponendum censuit Perizonius, quem non sequi debebat Meineke: vide Hercheri ed. Didot. praef. p. VII adn. 16

3 ecl. hab. S M A (post ecl. 17, 29 Mein.) Mac. Chrys. (post ecl. 17, 25 Mein.); lemma *ἐπικούρου* addiderunt M A, addidissent rectius *τοῦ αὐτοῦ* vel *ἐν ταυτῷ*. prioris eclogae lemma etiam ad hanc pertinere voluit Stobaeus ‖ 4 Epic. fr. 473 p. 302 Vsen. | *Γαργήτιος* M^d, om. Mac. | *ἐκεκράγει* Ael.: *κέκραγεν* S *κέκραγε* M^d Tr. Mac. *ἐκέκραγη* (Γε) A | *ᾧ* (τ) *ὀλίγον κτέ.*] cf. syllogae Wotkianae (*Wien. stud.* X p. 197) n. 68 *οὐδὲν ἱκανὸν ᾧ ὀλίγον τὸ ἱκανόν* ‖ 5 *ἀλλὰ τούτῳ γε* Ael. | *τούτῳ γε* S | *ἔλεγε κτέ.* om. Mac. ‖ 6 *τῷ Διὶ ὑπὲρ εὐδ. διαγωνίζεσθαι* Ael.: *τὸ δὴ* (*δεῖ* A) *ὑπὲρ εὐδ. δεῖ ἀγωνίζεσθαι* S A *τὸ δίνπερ εὐδ. διαγωνίζεσθαι* M^d ‖ 8 ecl. sine lemmate hab. S Br, addito lemmate M A; post ecl. 28 collocat Br. idem fere dictum Socrati adscribitur flor. Mon. 242 et Leid. 229, Cleanthi a Stobaeo infra flor. 94, 28 Mein., Pythagorae gnomol. Vat. 463. permulta aliarum collectionum testimonia a Wachsmuthio congesta sunt *stud.* p. 214 adn. 1 et a Sternbachio gnomol. Vat. l. c. superaddi poterat Clemens Alex. paed. II p. 191 P. *πλοῦτος δὲ ἄριστος ἡ τῶν ἐπιθυμιῶν πενία* ‖ 9 *ἐρωτηθεὶς* S: *ἐρωτηθεὶς* (*δὲ* add. Br) *ὑπό τινος* M^d A Br | *τις* om. Br ‖ 10 *εἰ τῶν ἐπιθυμιῶν ἔφη εἴη πένης* S: *εἶπεν εἰ τῶν ἐπιθυμιῶν εἶ πένης* M^d Br *ἔφη εἰ τῶν ἐπιθυμιῶν εἶ* (sic A[1] *εἴη* A[2] *ἔφη* ex *εἴη* fecit man. inc.) *πένης* A. fortasse verum est ‘*εἰ τῶν ἐπιθυμιῶν*’ *εἶπεν* ‘*εἴη πένης*’. ceterum verba *ὑπό τινος* recepit Meineke ex A pronomine *τις* in proximis servato, non recte. aut retinenda erit lectio Vindobonensis aut scribendum duce Br: *Σωκρ. ἐρ. ὑπό τινος, πῶς ἂν γένοιτο πλούσιος, εἶπεν* ‘*εἰ τῶν ἐπιθυμιῶν εἶ* (vel *ἔσῃ*) *πένης*’ ‖ 11 ecl. cum lemm. hab. S M A (post ecl. 17, 31 Mein.) Br (post

Εἰ δὲ δὴ καὶ ἐγκράτεια καλόν τε κἀγαθὸν ἀνδρὶ κτῆμά ἐστιν, ἐπισκεψώμεθα, εἴ πη προυβίβαζε λέγων εἰς ταύτην τοιάδε· Ὦ ἄνδρες, εἰ πολέμου ἡμῖν γενομένου βουλοίμεθα ἑλέσθαι ἄνδρα, ὑφ' οὗ μάλιστ' ἂν αὐτοὶ μὲν σῴζοίμεθα, τοὺς δὲ πολεμίους χειροίμεθα, ἆρ' ὅντινα ἂν αἰσθανοίμεθα ἥττω γαστρὸς ἢ οἴνου ἢ ἀφροδισίων ἢ πόνου ἢ ὕπνου, τοῦτον ⟨ἂν⟩ αἱροίμεθα; καὶ πῶς ἂν οἰηθείημεν τὸν τοιοῦτον ἢ ἡμᾶς σῶσαι ἢ τοὺς πολεμίους κρατῆσαι; εἰ δὲ ἐπὶ τελευτῇ τοῦ βίου γενόμενοι βουλοίμεθά τῳ ἐπιτρέψαι ἢ παῖδας ἄρρενας παιδεῦσαι ἢ θυγατέρας παρθένους διαφυλάξαι ἢ χρήματα διασῶσαι, ἆρ' ἀξιόπιστον εἰς ταῦτα ἡγησαίμεθ' ἂν τὸν ἀκρατῆ; δούλῳ δ' ἀκρατεῖ ἐπιτρέψαιμεν ἂν ἢ βοσκήματα ἢ ταμιεῖα ἢ ἔργων ἐπιστασίαν; διάκονον δὲ καὶ ἀγοραστὴν τὸν τοιοῦτον ἐθελήσαιμεν ἂν προῖκα λαβεῖν; ἀλλὰ μὴν εἴ γε μηδὲ δοῦλον ἀκρατῆ δεξαίμεθ' ἄν, πῶς οὐκ ἄξιον αὐτόν

---

ecl. 17, 27 Mein.); *ξενοφων̃ ἐν α' ἀπομνημ̊* (τ supra ων, ο supra μ) S quod recepi: *τῶν* ante *ἀπομν.* addit M^d *τῶν* ante *ἀπομν.* et *τῷ* ante *ἀ^π* (sic pro *ᾱ* A) A nihil nisi *ξενοφῶντος* habet Br (ut Tr.) sed plenius *ξενοφῶντος ἐν α' ἀπομνημονεύματι* Br altero loco f. 62^r ubi magis integra legitur ecloga, cum priore loco haec solum modo verba excerpta sint *ἆρά γε — καὶ τὴν ψυχήν* (p. 499, 10—15)

1 *δὴ* S A Br Xen.: *δεῖ* M^d | *καὶ ἀγαθὸν* A Br ‖ **2** *πη* S M^d A Br: *τι* libri Xen. | *προβίβαζε* A^1 | *εἰς ταύτην λέγων* L. Dindorf recte, sed spurium esse totum enuntiatum perspexit Krohn *Sokr. und Xen.* p. 98 ‖ **4** *ἑλεσθαι* sine acc. S | *μάλιστ' ἂν* tacite e Xenophonte Meineke: *μάλιστα* S M^d A Br ‖ **5** *ὅντινα ἂν* S M^d A Br et sic aut *ὅντιν' ἂν* libri Xen.: *ἂν* recte delent editores Xenophontis ‖ **7** *ἂν αἱροίμεθα* scripsi e Xen.: *αἱροίμεθα* SABr *αἱρούμεθα* M^d | *οἰηθεῖμεν* L. Dindorf ‖ **8** *σώσειν* et **9** *κρατήσειν* ci. Cobet n. l. p. 689 ‖ **9** *δ'* M^d ‖ **10** *ἄρσενας* Br ‖ **12** *ἡγησαίμεθ' ἂν* S M^d A Br: *ἡγησόμεθα* libri Xen. | *ἀκροατὴν* (ατῆ supra) corr. A^2, fallitur Gaisford ‖ **13** *ἀκρατεῖ* S A Br Xen.: *ἀκρατῆ* M^d | *ταμιεῖα* Xen. inde Gesn.[1] p. 136, vulg.: *ταμίαν* S M^d Br *ταμεῖα* A; Stobaeus fort. *ταμιείαν*, quod in *ταμίαν* latere vidit Buecheler ‖ **14** *ἐπιστασίαν* S M^d A Br: *ἐπίστασιν* Xen. | *διάκονον δ' ἂν καὶ ἀγοραστὴν τὸν τοιοῦτον ἐθέλοιμεν προῖκα λαβεῖν* Athen. IV p. 171 a | *τὸν* om. Xen. ‖ **15** *ἐθελήσαμεν* (αι supra) A corr. A^2 ‖ **16** *αὐτόν* S M^d A Xen. *αὐτόν* in *αὑτόν* corr. Br; *αὑτόν* Meineke

γε φυλάξασθαι τοιοῦτον γενέσθαι; καὶ γὰρ οὐχ ὥσπερ οἱ πλεονέκται τῶν ἄλλων ἀφαιρούμενοι χρήματα ἑαυτοὺς δοκοῦσι πλουτίζειν, οὕτως ὁ ἀκρατὴς τοῖς μὲν ἄλλοις βλαβερός, ἑαυτῷ δ' ὠφέλιμος, ἀλλὰ κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ πολὺ κακουργότερος, εἴ γε κακουργότατόν ἐστι μὴ μόνον τὸν οἶκον τὸν ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. ἐν συνουσίᾳ δὲ τίς ἂν ἡσθείη τῷ τοιούτῳ, ὃν εἰδείη τῷ ὄψῳ καὶ τῷ οἴνῳ χαίροντα μᾶλλον ἢ τοῖς φίλοις καὶ τὰς πόρνας ἀγαπῶντα μᾶλλον ἢ τοὺς ἑταίρους; ἆρά γε οὐ χρὴ πάντα ἄνδρα ἡγησάμενον τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρώτην ἐν τῇ ψυχῇ κατασκευάσασθαι; τίς γὰρ ⟨ἂν⟩ ἄνευ ταύτης ἢ μάθοι τι ἀγαθὸν ἢ μελετήσειεν ἀξιολόγως; ἢ τίς οὐκ ἂν ταῖς ἡδοναῖς δουλεύων αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν ψυχήν; ἐμοὶ μὲν δοκεῖ, νὴ τὴν Ἥραν, ἐλευθέρῳ μὲν ἀνδρὶ εὐκτὸν εἶναι μὴ τυχεῖν δούλου τοιούτου, δουλεύοντι δὲ ταῖς τοιαύταις ἡδοναῖς ἱκετευτέον τοὺς θεοὺς δεσποτῶν ἀγαθῶν τυχεῖν· οὕτω γὰρ ἂν μόνως ὁ τοιοῦτος σωθείη.

---

1 *οὐχ* om. operarius Gesn.^{2} p. 158, inde vulg. ‖ **2** *τὰ* ante *τῶν* addit Br ‖ **3** *ἀκρ|||ατής* una litt. (*ο*?) in ras. S ‖ **4** *ἑαυτῷ* A Xen.: *αὑτῶ* S M^d *αὐτῶ* Br Tr., inde Gesn.^{1}, vulg. | *δὲ* A ‖ **5** *κακουργότατον* S M^d Br Xen.: *κακουργότερον* A ‖ **6** post *καὶ τὸ σῶμα καὶ τὴν ψυχήν* praecipit v. *ἐμοὶ μὲν — δούλου τοιούτου* (15—16) homoeoteleuto deceptus M^d. maiores turbas offert Br ubi post *καὶ τὸ σῶμα καὶ τὴν ψυχήν* praecipiuntur v. *δουλεύοντι — σωθείη* (16—18) dein *ἐμοὶ μὲν — δούλου τοιούτου* (15—16) denique adduntur *ἐν οὐσίᾳ δὲ τίς — τοὺς ἑταίρους* (7—10) omissis eis quae in capite septimo decimo excerpta esse *ἆρά γε — τὴν ψυχήν* (10—15) supra monui ‖ **7** *ἐν συνουσίᾳ* S A Xen.: *ἐν οὐσίᾳ* M^d Br ‖ **8** *ὃν εἰδείη* e Xenophonte Meineke: *ὀνείδει ἢ* S A *ὃν ἤδει ἢ* M^d *ὃν ᾔδει* (sed *ει* in ras. corr. Br^1) Br | *ὄψῳ τε καὶ* libri Xen. ‖ **10** *τὴν ἐγκράτειαν* — **11** *κρηπῖδα* respicit Iamblichus Stobaei III 5. 48 p. 271, 17 cf. etiam Schenkl ad Pyth. Vind. 51 ‖ **11** *πρώτην* S M^d A Br: *πρῶτον* libri Xen. ‖ **12** *τίς* S M^d Br Xen. *τις* A: *τί* Tr. p. 112, inde vulg. | *ἂν* addidit Cobet n. l. p. 690 ‖ **13** *τι* (*τί* M^d) libri Stobaei Xen.: *τις* A^2 adhibita fortasse Gesneri ed. prima | *ἀξιολόγως* S M^d A Xen.: *ἀξιόλογον* Br ‖ **16** *δουλεύοντι* S M^d A Br et Xenophontis Paris. 1740: *δουλεύοντα* cet. Xen. ‖ **17** *ἱκετευτέον* S M^d A Br: *ἱκέτευ* cum eraso compendio Xenophontis Paris. 1302 m. pr. *ἱκετεῦον* idem m. sec.

32 (17, 33 Mein.) *Ξενοφῶντος ἐν α´ Ἀπομνημονευμάτων* (I 6, 5).

Οὐκ οἶσθ᾽ ὅτι ὁ μὲν ἥδιστα ἐσθίων ἥκιστα ὄψου δεῖται, ὁ δὲ ἥδιστα πίνων ἥκιστα τοῦ μὴ παρόντος ἐπιθυμεῖ ποτοῦ; τά γε μὴν ἱμάτια οἶσθ᾽ ὅτι οἱ μεταβαλλόμενοι ψύχους καὶ θάλπους ἕνεκα μεταβάλλονται, καὶ ὑποδήματα ὑποδοῦνται, ὅπως μὴ διὰ τὰ λυποῦντα τοὺς πόδας κωλύωνται πορεύεσθαι ... οὐκ οἶσθ᾽ ὅτι οἱ φύσει ἀσθενέστατοι τῷ σώματι μελετήσαντες τῶν ἰσχυροτάτων ἀμελησάντων κρείττους τε γίνονται πρὸς ἃ ἂν μελετήσωσι καὶ ῥᾷον αὐτὰ φέρουσιν; ... ἐὰν δὲ δὴ φίλους ἢ πόλιν

ἱκέτευ″ Paris. 1740 *ἱκετεύειν* cet. ‖ 18 *μόνως* Mᵈ A Br Xen.: *μόνος* S Tr., inde vulg., Xenophontis Paris. 1302

1 ecl. hab. SMᵈA Br (post ecl. 17, 32 Mein.) Mac. Chrys. (post ecl. 17, 30 Mein.); *ἐν τ̄ αυ^τ* pro lemm. S *ξενοφῶντος ἐν ᾱ* (*ἐν τῷ ἀπὸ* A *ἐν τῶ α´ τῶν* Mac.) *ἀπομνημονευμάτων* MᵈA Mac. lemmate caret Br priore loco *τοῦ αὐτοῦ* Br altero loco f. 63ʳ ‖ 3 *οὐκ οἶσθ᾽ ὅτι* — (p. 501, 6) *ἀρκούντως χρώμενος* om. Br priore loco, *οὐκ οἶσθ᾽ ὅτι* — (p. 501, 8) *πολυτέλειαν εἶναι* om. Mac. | *ὁ μὲν ⟨πεινῶν⟩ ἥδιστα* — *ὁ δὲ ⟨διψῶν⟩ ἥδιστα* ci. Cobet n. l. p. 704 duce Telete, tu vide supra p. 39 adn. 10 ‖ 5 *πωτοῦ* S ‖ 8 *πορεύεσθαι* S A Xen.: *τοῦ πορεύεσθαι* Mᵈ Br | post *πορεύεσθαι* indicavi hiatum: *ἤδη οὖν ποτε ᾔσθου ἐμὲ ἢ διὰ ψῦχος μᾶλλόν του ἔνδον μένοντα ἢ διὰ θάλπος μαχόμενόν τῳ περὶ σκιᾶς ἢ διὰ τὸ ἀλγεῖν τοὺς πόδας οὐ βαδίζοντα ὅπου ἂν βούλωμαι;* tacite e Xenophonte addidit Gesn.[1] p. 136, inde vulg. ‖ 10 *κρείττους τε* S Br Xen.: *κρείττους γε* Mᵈ *κρείττους* A | *μελετήσωσι* (-*σιν* S Mᵈ) S Mᵈ Br: *μελετήσουσι* A *μελετῶσι* libri Xen. ‖ 11 post *φέρουσιν* signavi lacunam. habet Xenopho *ἐμοὶ δὲ* (*ἐμὲ δὲ* ed. Stephani) *ἆρα οὐκ οἴει τῷ σώματι ἀεὶ τὰ συντυγχάνοντα μελετῶντα καρτερεῖν πάντα ῥᾷον φέρειν σοῦ μὴ μελετῶντος; τοῦ δὲ μὴ δουλεύειν γαστρὶ μηδ᾽ ὕπνῳ καὶ λαγνείᾳ οἴει τι ἄλλο αἰτιώτερον εἶναι ἢ τὸ ἕτερα ἔχειν τούτων ἡδίω, ἃ οὐ μόνον ἐν χρείᾳ ὄντα εὐφραίνει, ἀλλὰ καὶ ἐλπίδας παρέχοντα ὠφελήσειν ἀεί; καὶ μὴν τοῦτό γε οἶσθα, ὅτι οἱ μὲν οἰόμενοι μηδὲν εὖ πράττειν οὐκ εὐφραίνονται, οἱ δ᾽ ἡγούμενοι καλῶς προχωρεῖν ἑαυτοῖς ἢ γεωργίαν ἢ ναυκληρίαν ἢ ἄλλ᾽ ὅτι ἂν τυγχάνωσιν ἐργαζόμενοι ὡς εὖ πράττοντες εὐφραίνονται. οἴει οὖν ἀπὸ πάντων τούτων τοσαύτην ἡδονὴν εἶναι ὅσην ἀπὸ τοῦ ἑαυτόν τε ἡγεῖσθαι βελτίω γίγνεσθαι καὶ φίλους ἀμείνους κτᾶσθαι; ἐγὼ τοίνυν διατελῶ ταῦτα*

ὠφελεῖν δέῃ, ποτέρῳ πλείων σχολὴ τούτων ἐπιμελεῖσθαι, τῷ ὡς ἐγὼ νῦν ἢ τῷ ὡς σὺ μακαρίζεις διαιτωμένῳ; στρατεύοιτο δὲ πότερος ἂν ῥᾷον, ὁ μὴ δυνάμενος ἄνευ πολυτελοῦς διαίτης ζῆν ἢ ᾧ τὸ παρὸν ἀρκοίη; ἐκπολιορκηθείη δὲ πότερος ἂν θᾶττον, ὁ τῶν χαλεπωτάτων εὑρεῖν δεόμενος, ἢ ὁ τοῖς ῥάστοις ἐντυγχάνειν ἀρκούντως χρώμενος; ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι· ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δέεσθαι θεῖον εἶναι, τὸ δὲ ὡς ἐλαχίστων ἐγγυτάτω τοῦ θείου, καὶ τὸ μὲν θεῖον κράτιστον, τὸ δ' ἐγγυτάτω τοῦ θείου ἐγγυτάτω τοῦ κρατίστου.

33 (17, 34 Mein.) *Ἐπικούρου* (fr. 181 p. 156 Vsener.).

Βρυάζω τῷ κατὰ τὸ σωμάτιον ἡδεῖ, ὕδατι καὶ ἄρτῳ χρώμενος, καὶ προσπτύω ταῖς ἐκ πολυτελείας ἡδοναῖς οὐ δι' αὐτάς, ἀλλὰ διὰ τὰ ἐξακολουθοῦντα αὐταῖς δυσχερῆ.

34 (17, 35 Mein.) *Τοῦ αὐτοῦ* (fr. 422 p. 283 Vsener.).

Τότε χρείαν ἔχομεν τῆς ἡδονῆς, ὅταν ἐκ τοῦ μὴ παρεῖναι αὐτὴν ἀλγῶμεν· ὅταν δὲ τοῦτο μὴ πάσχωμεν, ἐν αἰσθήσει καθεστῶτες, τότε οὐδεμία χρεία τῆς ἡδονῆς· οὐ γὰρ ἡ τῆς φύσεως ἔνδεια τὴν ἀδικίαν ποιεῖ ἔξωθεν, ἀλλ' ἡ περὶ τὰς κενὰς δόξας ὄρεξις.

35 (17, 36 Mein.) *Πλάτωνος.*

νομίζων. interciderunt haec fortasse propter verba *ἐμὲ δὲ* et *ἐὰν δὲ* (p. 500, 11) homoeoarcti similia | *δη* S M[d] Br Xen.: *μ*^*η*^ (*δὴ* supra), supra scr. A[2] *μη* Xenophontis Paris. 1740 m. pr.

1 *πλείων* Br: *πλέον* S M[d] A *ἡ* (vel *ἠ* vel *ἢ*) *πλείων* Xen. ‖ 2 *ῥᾷον* supra lin. addidit A[2] ‖ 4 *ἢ ὡς* Tr., inde male *ἢ ὃς* Gesn.[1], vulg. ‖ 6 *δεόμενος* S M[d] A Xen.: *δυνάμενος* Br | post *ῥάστοις* addunt *ῥάστως* libri Xen. (praeter Vindob.), inde Gesn.[1], vulg. ‖ 7 *ἔοικας* — 11 *τοῦ κρατίστου* om. Br loco posteriore ‖ 8 cf. supra III 5, 33 p. 266, 1 | *δὲ* om. Mac. ‖ 9 *δέεσθαι* libri Stobaei et plurimi Xenophontis: *δεῖσθαι* aliquot Xen. | *ἐλαχίστων* S M[d] Mac. Xen.: *ἐλάχιστον* A *ἐλαχίστω* Br ‖ 10 *καὶ* — *κρατίστου*] respicit haec ni fallor Ps.-Crates ep. 11. moneo propter Gilbertum ‖ 12 ecl. cum lemm. hab. SMA. cf. etiam Vseneri Epicur. p. 346, 19 ‖ 13 *βράζω*, ῠ add. A[2] | *τῷ* SA: *τὸ* M[d] ‖ 16 ecl. cum lemm. hab. SMA ‖ 20 *ἔνδεια* Vsener: *ἡδονὴ* S M[d] A ‖ 22 ecl. hab. SMA (post ecl. 17, 35 Mein.) Br (post ecl

[redacted]

Πλάτων πολλάκις διψῶν ἐκ τοῦ φρέατος ἀνιμᾶτο ⟨τὸ⟩ ὕδωρ, καὶ ἐξέχει, κολάζων τὴν ἐπιθυμίαν.

36 (17, 37 Mein.) *Ἐπικούρου.*

Ἐπίκουρος ἐρωτηθεὶς πῶς ἄν τις πλουτήσειεν, ʻοὐ τοῖς οὖσι προστιθεὶς' ἔφη ʻτῆς δὲ χρείας τὰ πολλὰ περιτέμνων'.

37 (17, 38 Mein.) *Δημοκρίτου* (fr. mor. 34 Mullach.).

Τῶν ἡδέων τὰ σπανιώτατα γινόμενα μάλιστα τέρπει.

38 (17, 39 Mein.) *Τοῦ αὐτοῦ* (fr. mor. 37 Mullach.).

Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γίνοιτο.

39 (17, 40 Mein.) *Τοῦ αὐτοῦ* (fr. mor. 76 Mullach.).

Ἀνδρήιος οὐχ ὁ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονέων κρέσσων.

17, 41 Mein.) Mac. Chrys. (post ecl. 17, 33 Mein.), lemma om. S Br Mac. Platoni adsignatur sed paulo aliter concepta gnomol. Vat. 435, ubi vide quae attulit Sternbach, Pythagorae flor. Mon. 231

1 *ἀνιμᾶτο τὸ* tacite Gesn.^{2} p. 159, inde vulg., et sic gnomol. Vat.: *ἀνιμᾶτο* SA Br Mac. *ἀνιμᾶ τὸ* M^d ‖ 3 ecl. sine lemm. hab. S, addito lemm. MA. cf. ecl. 23; Epicuri fr. 135 p. 142 Vsener ‖ 5 *οὖσί τι* ci. Wachsmuth ‖ 7 ecl. cum lemm. hab. SMA. haec et proxima supra Epicteto tribui videtur III 6, 59. 60 p. 301, 10 ubi videsis ‖ 8 *γινόμενα* supra L: *γενόμενα* S *γιγνόμενα* utrobique MA ‖ 9 ecl. cum lemm. hab. SA, om. M. vide ad ecl. priorem ‖ 10 *ὑπερβάλλοι* libri. cf. p. 301, 13 adn. ‖ 11 *ἂν* (β) *γίγν.* (α) *ἀτερπ.* A corr. A^2 | *γίνοιτο* Burchard: *γίγνοιτο* SA et sic L M^d supra III 6, 60 ubi *γένοιτο* A ‖ 12 ecl. cum lemm. hab. SMA. recurrit corp. Par. 200 Elt. (*Δημοκρίτου γνῶμαι*), altero enuntiato aucta supra Stob. III 7, 25 ‖ 13 *ἀνδρήιος* Mullach: *ἀνδρεῖος* libri Stob. corp. Par. | *οὐχ ὁ τῶν πολεμίων κρατῶν μόνον* flor. 7, corp. Par. | *ἀλλὰ καὶ ὁ* S M^d, flor. 7, corp. Par.: *ἀλλὰ καὶ* A^1 nec aliter A in flor. 7 *ἀλλ' ὁ καὶ* A^2 ‖ 14 *ἡδονέων* Mullach: *ἡδονῶν* libri | *κρέσσων* S *κρατῶν* M^d *κρείσσων* A, flor. 7, corp. Par. | post ecl. 40 Mein. quae habet Voss.^{3} f. 96^r in margine superiore et quae ante ecl. 40 Frob. p. 223 *Ἀνδρειότερος εἶναί μοι δοκεῖ ὁ τῶν ἐπιθυμιῶν ἢ τῶν πολεμίων κρατῶν· καὶ γὰρ χαλεπώτατόν ἐστι τὸ ἑαυτὸν νικῆσαι: ἀριστοτέλους* (cf. Rose Ar. ps. p. 607) in Stobaei contextum recipere dubitavi. potest adscripta esse propter prioris similitudinem ex corp. Par. 100 Elt. (*Ἀριστοτέλους* cod. Par. suppl. 690)

40 (17, 41 Mein.) *Εὐσεβίου* (fr. 25 phil. graec. III p. 11 Mullach.).

Γνώμης ἀνδρὸς ἀρίστου ἀπόδεξις ἥδε· μὴ ἐπὶ τῷ σιτέεσθαι ἑωυτὸν νομίζειν γεγονέναι μηδὲ ἐν τούτῳ τὴν ζωὴν ἡγέεσθαι, μοῦνον δὲ αὐτοῦ τοῦ ζώειν ἕνεκα ἀνθρώποισι τροφὴν νομίζειν εὑρῆσθαι.

41 (17, 42 Mein.) *Τοῦ αὐτοῦ* (fr. 26 Mullach.).

Ἐγκράτεια καὶ σώματι ἀγαθόν, πρὸς γὰρ ὑγιείην αὐτῷ ξυμμάχεται καὶ σωφροσύνην ἐν ψυχῇ τίκτει· σωφροσύνη δὲ ἀστασίαστον καὶ εὔδιον, καὶ βίον εἰρηναῖον ψυχῇ παρασκευάζει.

42 (17, 43 Mein.) *Μουσωνίου ἐκ τοῦ Περὶ τροφῆς* (rel. p. 189 Peerlk.).

Περὶ δὲ τροφῆς εἰώθει μὲν πολλάκις λέγειν καὶ πάνυ ἐντεταμένως ὡς οὐ περὶ μικροῦ πράγματος οὐδ' εἰς μικρὰ διαφέροντος· ᾤετο γὰρ ἀρχὴν καὶ ὑποβολὴν τοῦ σωφρονεῖν εἶναι τὴν ἐν σίτοις καὶ ποτοῖς ἐγκράτειαν. ἅπαξ δέ ποτε τῶν ἄλλων ἀφέμενος λόγων, οὓς ἑκάστοτε διεξῄει, τοιάδε τινὰ εἶπεν· ὡς χρὴ καθάπερ τὴν εὐτελῆ τῆς πολυτελοῦς τροφὴν προτιμᾶν καὶ τὴν εὐπόριστον τῆς δυσ-

---

1 ecl. cum lemm. hab. S M A (post ecl. 17, 40 Mein.), sine lemm. Br (post ecl. 17, 45 Mein.) ‖ 3 *γνώμη* M[d] | *ἀπόδεξις* A: *ἀπόδειξις* S M[d] Br | *ὥς* post *ἥδε* male Br ‖ 4 *σιτεύεσθαι* M[d] | *ἑαυτὸν* M[d] ‖ 5 *μόνον* A | *τοῦ ζώειν* (*ζῆν* Br) tamquam glossema eici voluit Gaisford non recte | *ἕνεκα* libri: *εἵνεκα* Mullach. cf. supra p. 53, 15 adn. 54, 4. 486, 11 | *ἀνθρώποις* libri: corr. Mullach ‖ 6 *εὑρῆσθαι* sed *ῆ* in ras. M[2] ‖ 7 ecl. cum lemm. hab. SMA ‖ 8 *ὑγιείην* tacite Meineke: *ὑγείην* libri ‖ 12 ecl. cum lemm. hab. S M A (post ecl. 17, 42 Mein.) Br (in excerptorum parte altera corollarii instar addita f. 64[v] post ecl. 17, 45 Mein.) aliquot particulas suo loco signatas etiam Mac. Chrys. (post ecl. 17, 36 Mein.); *μουσωνίου* (in ras. Br) nihil amplius Br Mac. *τρυφῆς* compend. S sed saepius *ο* non clausas pingit S ‖ 16 *ὑποβολὴν*] variatur Socraticum illud (Xen. apomn. I 5, 4) *τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα* ‖ 17 *σίτοις* scripsi: *σιτίοις* libri. sed rectius *σίτων καὶ ποτῶν* et *σῖτα καὶ ποτά* libri flor. 18, 38 Mein. cf. L. Dindorf in Xen. anab. VII 1, 35 Cyrop. II 4, 32 ‖ 19 *ὡς χρὴ* — 504, 1 *τῆς μὴ τοιαύτης*] cf. Epicuri fr. 459 p. 297 Vsener

πορίστου, οὕτω καὶ τὴν σύμφυλον ἀνθρώπῳ τῆς μὴ τοιαύτης· εἶναι δὲ σύμφυλον ἡμῖν τὴν ἐκ τῶν φυομένων ἐκ γῆς, ὅσα τε σιτώδη ὄντα καὶ ὅσα μὴ τοιαῦτα ὄντα δύναται τρέφειν οὐ κακῶς τὸν ἄνθρωπον· καὶ τὴν ἀπὸ τῶν ζῴων οὐκ ἀναιρουμένων, ἄλλως δὲ χρησιμευόντων. τούτων δὲ τῶν βρωμάτων ἐπιτηδειότατα μὲν οἷς αὐτόθεν χρῆσθαι ὑπάρχει δίχα πυρός, ἐπεὶ καὶ ἑτοιμότατα· οἷα δὴ τά τε ὡραῖα καὶ τῶν λαχάνων ἔνια καὶ γάλα καὶ τυρὸς καὶ κηρία. καὶ ὅσα μέντοι δεῖται πυρὸς ἢ σιτώδη ἢ λαχανώδη ὄντα, καὶ ταῦτ' οὐκ ἀνεπιτήδεια, ἀλλὰ σύμφυλα ἀνθρώπῳ πάντα. τὴν μέντοι κρεώδη τροφὴν θηριωδεστέραν ἀπέφηνε καὶ τοῖς ἀγρίοις ζῴοις προσφορωτέραν. εἶναι δὲ ταύτην ἔλεγε καὶ βαρυτέραν καὶ τῷ νοεῖν τι καὶ φρονεῖν ἐμπόδιον· τὴν γὰρ ἀναθυμίασιν τὴν ἀπ' αὐτῆς θολωδεστέραν οὖσαν ἐπισκοτεῖν τῇ ψυχῇ· παρὸ καὶ βραδυτέρους φαίνεσθαι τὴν διάνοιαν τοὺς πλείονι ταύτῃ χρωμένους. δεῖν δὲ τὸν ἄνθρωπον, ὥσπερ συγ-

---

1 *οὕτω* S Br *οὕτως* M[d] A | *τῆς μὴ τοιαύτης· εἶναι δὲ* (sic ut coniecit Gaisford) Br, vide Beving *rem. crit.* p. 20: *τῆς τοιαύτης εἶναι* S A, v. *σύμφυλον ἀνθρ.* — *εἶναι δὲ* propter homoeoteleuton om. M[d]; *ἀνθρώπω· τοιαύτην δὲ εἶναι σύμφυλον* temere Gesn.[1] p. 138, inde vulg. || 2 *ἡμῖν* supra versum A || 4 *δύνανται* M[d] | *οὐ κακῶς* S M[d] A Br; *οὐ καλῶς* Tr. p. 113, inde *καλῶς* Gesn.[1], vulg. | *τῶν* pro *τὴν* Tr., inde vulg. || 6 *τούτων κτέ.*] cf. Clemens Alex. paed. II 1, 15 p. 174 P. *τῶν γάρ τοι βρωμάτων ἐπιτηδειότατα οἷς αὐτόθεν χρῆσθαι ὑπάρχει δίχα πυρός, ἐπεὶ καὶ ἑτοιμότερα* || 7 *ὑπάρχοι* Tr., inde vulg. | *ἐπεὶ καὶ*] *ἔπειτα καὶ* Br || 8 *τά τε ὡραῖα κτέ.*] Clemens Alex. l. c. 15 init.: *βολβοί, ἐλαῖαι, λαχάνων ἔνια, γάλα, τυρὸς τά τε ὡραῖα ἑψήματά τε παντοδαπὰ ζωμῶν ἄνευ* | *ὡραια* sine acc. S | *τυρὸς* Br, Clem.: *πυρὸς* S M[d] A; *τυρὸν* Tr., inde vulg. || 12 *ἀπέφηνεν* S M[d] || 13 *τῷ* vel *τῶ* S Br: *τὸ* M[d] A[1] || 14 *ἐμπόδιον* libri nisi quod *ἐφόδιον* S | v. *τὴν ἀπ' αὐτῆς* usque ad fin. om. Br ubi periit unum folium post f. 64[v] | cf. Clemens Alex. l. c. c. 11 init. p. 170 P.: *ἡ ἀπ' αὐτῶν* (id est *θηρίων*) *ἀναθυμίασις θολωδεστέρα οὖσα ἐπισκοτεῖ τῇ ψυχῇ.* si minus ipsum Musonium certe Musoniani persimilem fontem adiit Plutarchus de carnium esu p. 995 F sq. || 15 *θολοδεστέραν* M[d] || 17 *Δεῖ τὸν ἄνθρωπον* (sic) — 505, 2 *τρέφεσθαι τοῖς θεοῖς* offert Mac. Chrys.

γενέστατον τοῖς θεοῖς τῶν ἐπιγείων ἐστίν, οὕτω καὶ ὁμοιότατα τρέφεσθαι τοῖς θεοῖς. ἐκείνοις μὲν οὖν ἀρκεῖν τοὺς ἀπὸ γῆς καὶ ὕδατος ἀναφερομένους ἀτμούς, ἡμᾶς δ' ὁμοιοτάτην ταύτῃ προσφέρεσθαι τροφὴν ἂν εἶπεν τὴν κουφοτάτην καὶ καθαρωτάτην· οὕτω δ' ἂν καὶ τὴν ψυχὴν ἡμῶν ὑπάρχειν καθαράν τε καὶ ξηράν, ὁποία οὖσα ἀρίστη καὶ σοφωτάτη εἴη ἄν, καθάπερ Ἡρακλείτῳ δοκεῖ λέγοντι οὕτως 'αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη καὶ ἀρίστη'· νῦν δέ, ἔφη, πολὺ χεῖρον ἡμεῖς τῶν ἀλόγων ζῴων τρεφόμεθα. τὰ μὲν γάρ, εἰ καὶ σφόδρα τῇ ἐπιθυμίᾳ ὥσπερ μάστιγί τινι ἐλαυνόμενα φέρεται πρὸς τὴν τροφήν, ὅμως τοῦ γε πανουργεῖν περὶ τὰ βρώματα καὶ τοῦ τεχνιτεύειν ἀπήλλακται, ἀρκούμενα τοῖς παραπεσοῦσι καὶ πλησμονὴν θηρώμενα μόνον, προσωτέρω δ' οὐδέν. ἡμεῖς δὲ τέχνας καὶ μηχανὰς ποικίλας ἐπινοοῦμεν, ὥστε τὴν ἐδωδὴν τῆς τροφῆς ἐφηδύνειν καὶ τὴν κατάποσιν κολακεύειν μειζόνως. εἰς τοῦτο δὲ προεληλύθαμεν λιχνείας καὶ ὀψο-

---

1 *τοῖς θεοῖς* M^d inde Gesn.^{2} p. 160: *θεοῖς* S A Mac. an fallitur de M Dindorfii collator? tunc de suo supplevisse articulum censendus erit Gesner | *οὕτω* S Mac. *οὕτως* M^d A ‖ 2 sqq. cf. Menagius in Laert. VII 145 Zeller *phil.*^{3} III 1 p. 731 adn. 4 et 5 ‖ 4 *εἶπεν* scripsi: *εἴη* S *εἴη εἰ* M^d A; *ἔφη, εἰ* Halm lect. Stob. p. 2. illud praetuli comparans corruptelam versus 7 ‖ 5 *προσφεροίμεθα* post *καθαρ.* add. M^d A, inde vulg., om. S interpretis opinor emblema. Halmio obsequitur Meineke | *οὕτω* S *οὕτως* M^d A ‖ 7 *εἴη ἂν* Gataker: *εἰ πᾶν* S *εἰ πάν* M^d *εἰ* ^{πᾶν} A; *εἰς πᾶν* Gesn.^{1}, inde vulg. ‖ 8 *αὔγη ξηρη* (sic) *ψυχὴ* S *αὐγη ξηρῆ ψυχῆ* M^d *αὐγὴ* (sed *γ* delevit accentum corr. A^2) *ξηρὴ ψυχὴ* A^1. lectio depravata *αὐγὴ ξηρὴ ψυχὴ κτἑ.* servanda est. multis eam imposuisse cum ego supra monui ad III 5, 8 p. 257, 10 tum Bywater testimoniis collectis ad Heraclit. fr. LXXIV—LXXVI. cf. quae composuit Iwanus Mueller in Galeni scr. min. v. II p. XLIII sq. et scripsisse Clementem Alex. paed. II 2, 29 p. 184 P. *αὐγὴ δὲ ψυχὴ ξηρὰ κτἑ.* propter praecedens *φωτοειδής* paene certum esse vidit Schleiermacher *sämmtl. werke* II p. 130 ‖ 10 *σφοδρᾷ* A ‖ 12 *τεχνιτεύειν* M *τεχνίτου ἵν'* S A *ἴσως τεχνιτεύειν* A^3 mrg ‖ 13 *παρπεσοῖσι* A ‖ 15 *ἐδωδὴν* scripsi: *ἡδονὴν* libri ‖ 16 *ἐφῃδύνειν* S | cf. Clemens Alex. paed. II 1, 9 *μόνην κολακεύοντες τὴν κατάποσιν* Maximus Tyr. 31, 5 *κολακεύματα γαστρός* ‖ 17 *καὶ ὀψοφαγίας*] *καμψοφαγίας* M^d

[redacted]

φαγίας, ὥστε καθάπερ μουσικὰ καὶ ἰατρικὰ οὕτω καὶ μαγειρικὰ πεποίηνται τινὲς συγγράμματα, ἃ τὴν μὲν ἡδονὴν καὶ πάνυ αὔξει τὴν ἐν τῷ φάρυγι, τὴν δ᾽ ὑγίειαν διαφθείρει. πολὺ γοῦν κάκιον διακειμένους ὁρᾶν ἔστι τὰ σώματα τοὺς περὶ τὰ βρώματα τρυφῶντας, ὧν εἰσιν ἔνιοι παραπλήσιοι ταῖς κιττώσαις γυναιξίν· καὶ γὰρ οὗτοι, καθάπερ ἐκεῖναι, τὰ συνηθέστατα τῶν βρωμάτων δυσχεραίνουσι, καὶ τοὺς στομάχους διεφθαρμένους ἔχουσιν. ὅθεν ὥσπερ ὁ ἀχρεῖος σίδηρος συνεχῶς δεῖται στομώσεως, οὕτω καὶ οἱ ἐκείνων στόμαχοι ἐν τῷ ἐσθίειν συνεχὲς στομοῦσθαι θέλουσιν ἢ ὑπὸ ἀκράτου ἢ ὑπὸ ὄξους ἢ ὑπὸ βρώματός τινος στρυφνοῦ. ἀλλ᾽ οὐχὶ ὁ Λάκων τοιοῦτος, ὃς ἰδών τινα, παρακειμένου αὐτῷ ὀρνιθίου τῶν πιόνων καὶ πολυτελῶν, ὑπὸ τρυφῆς ἀναινόμενον φαγεῖν αὐτὸ καὶ φάσκοντα μὴ δύνασθαι, ʻἀλλ᾽ ἐγώ᾽ ἔφη ʻκαὶ γυπὸς δύναμαι καὶ τόργου᾽. Ζήνων δέ γε ὁ Κιτιεὺς οὐδὲ νοσῶν ᾤετο δεῖν τροφὴν προσφέρεσθαι τρυφερωτέραν, ἀλλ᾽ ἐπεὶ ὁ θεραπεύων ἰατρὸς ἐκέλευεν αὐτὸν φαγεῖν νεοττὸν περιστερᾶς, οὐκ ἀνασχόμενος ʻὡς Μάνην᾽ ἔφη ʻμε θεράπευε᾽.

---

1 *οὕτω* S *οὕτως* Md A ‖ 3 *καὶ πάνυ* in Musonianis alibi me legere non memini. non pertinet huc III 1, 209 p. 175, 12 *ἐνίων καὶ πάνυ πόρρωθεν ἡγμένων* [*λίθων*] *καὶ δι᾽ ἀναλωμάτων πλείστων* | *φάρυγι* S *φάρυγγι* Md A ‖ 5 *Τῶν* (*T* rubr.) *περὶ τὰ βρώματα τρυφώντων ἔνιοι παραπλήσιοι ταῖς κιττώσαις εἰσὶ γυναιξί· καὶ γὰρ* — 12 *τινος στρυφνοῦ* tamquam novam eclogam lemmate *μουσωνίου* non iterato habet Mac. Chrys. ‖ 6 *ταῖς κιττώσαις γυναιξίν*] cf. Arr. diss. Epict. IV 8, 35 ‖ 9 an *συνεχοῦς*? ‖ 10 *οὕτως* Md A ‖ 13 *ὀρνιθείου* Gesn.² p. 161, inde vulg. | *πλειόνων* S Md *πλειόνων* (*πι* suprascr.) A, corr. A m. rec.; *πιόνων* proposuit etiam Schaefer ad Bosii de ellipsi librum p. 233 ‖ 14 *αὐτὸ* S A *αὐτῷ* Md ‖ 15 *φάσκοντα* ex *φασκόντων* corr. S¹ | *δύναμαι καὶ τόργου* Buecheler: *δύναμαι καὶ τράγου* libri; *δυναίμαν κα τραγεῖν* Hirschig ʻingeniose et vere᾽ ut videtur Meinekio. sed Doridos vestigia in his dissertationibus alibi nulla. tamen Bionem apophthegma redolet, lepide non tam laudatur Laconis frugalitas quam ridetur rusticitas, vide quae monui mus. Rh. XLVII p. 238 ‖ 16 *γε* om. A | *κιτιεὺς* S *κιττιεὺς* Md A | *οὐδὲ νοσῶν* S Md *οὐδενὸς ὢν* A¹ *δὲ νοσῶν* A m. rec. mrg ‖ 18 *αὐτὸν* S Md: *αὐτῷ* A ‖ 19 *ὡς Μάνην*] cf. Arr. Epict. diss. III 26, 37 | *μανην* S, acc. add. S² *μανικα* sine acc. Md *μάνην* A

ἠξίου γὰρ οἶμαι μηδὲν μαλακώτερον ἐν τῇ θεραπείᾳ γίνεσθαι αὐτῷ ἢ τῶν δούλων τινὶ νοσοῦντι· ὡς γὰρ ἐκεῖνοι θεραπεύεσθαι δύνανται δίχα τοῦ τροφὴν λαμβάνειν πολυτελεστέραν, δύνασθαι ἂν καὶ ἡμᾶς. δεῖ γὰρ μηδαμῶς τὸν ἀγαθὸν ἄνδρα δούλου μηδενὸς εἶναι μαλακώτερον. διόπερ ὁ Ζήνων εἰκότως ἠξίου εὐλαβεῖσθαι τὴν πολυτέλειαν ἐν τῇ τροφῇ καὶ μηδ᾽ ἐπ᾽ ὀλίγον ἐνδιδόναι πρὸς τὸ τοιοῦτον· ἐπείπερ ὁ ἐνδοὺς ἅπαξ προέλθοι ἂν ἐπὶ πλεῖστον, ἅτε τῆς ἡδονῆς πολλὴν ἐχούσης αὔξησιν ἔν τε πόμασι καὶ βρώμασι. ταῦτα μὲν τότε καινότερα ἔδοξεν ἡμῖν εἰπεῖν περὶ τροφῆς, ὧν εἰώθει λέγειν ἑκάστοτε.

43 (17, 44 Mein.) *Ξενοφῶντος ἐν α' Ἀπομνημονευμάτων* (I 3, 5).

Διαίτῃ δὲ τήν τε ψυχὴν ἐπαίδευσε καὶ τὸ σῶμα ᾗ χρώμενος ἄν τις, εἰ μή τι δαιμόνιον εἴη, θαρραλέως καὶ ἀσφαλῶς διάγοι καὶ οὐκ ἂν ἀπορήσειε τοσαύτης δαπάνης. οὕτω γὰρ εὐτελὴς ἦν, ὥστ᾽ οὐκ οἶδ᾽ εἴ τις οὕτως ἂν ὀλίγα ἐργάζοιτο ὥστε μὴ λαμβάνειν τὰ Σωκράτει ἀρκοῦντα. σίτῳ μὲν γὰρ τοσούτῳ ἐχρῆτο, ὅσον ἡδέως ἤσθιε, καὶ ἐπὶ τούτῳ οὕτω παρεσκευασμένος ᾔει ὥστε τὴν ἐπιθυμίαν τοῦ σίτου ὄψον αὐτῷ εἶναι· ποτὸν δὲ πᾶν

---

2 *τινὶ*] *αὐτῶ*, sed *αὐτῶ* lineola del. et *τινὶ* suprascr. S^1 | *ὡς γὰρ* Buecheler: *καὶ γὰρ* S M^d *καὶ γὰρ εἰ* A || 4 *γὰρ* reposui ex S M^d A (sic); *δὲ* temere Gesn.[1] p. 140, inde vulg. || 10 *πόμασι* S M^d A: *πώ-* Meineke || 11 *λέγειν* ex *λέγων* corr. S^1 || 12 ecl. cum lemm. hab. S M A Br; *ξενοφ^ω* (infra *ω* compend.) *ἐν α' ἀ^π μνημ, ἐνοφ^ω* in ras. S, non discrepant M A nam *τῷ* quod ante *α'* addidit Gaisford abest ab utroque, *τοῦ αὐτοῦ* nec plura praemittit Br ubi legitur ecloga f. 63^v post ecl. 17, 33 Mein. || 14 *ἐπαίδευε* sed *-ε* ex *-σε* corr. A^1 || 15 *θαρραλέως* S A Xen.: *θαρσαλέως* M^d Br || 16 *διάγοι* e *διάγει* corr. A^1 | *ἀπορήσειεν* S M^d || 17 *ὥστ᾽ οὐκ οἶδ᾽ ἂν εἴ τις οὕτως ὀλίγα* Cobet n. l. p. 587 || 18 post *μὴ* aberrans scr. *δαπάνης* dein ipse del. A || 19 *τοσούτῳ* M^d A Br Xen.: *τοσοῦτο* S *-τον* Tr. p. 115 || 20 *ἤσθιεν* S M^d | *τούτῳ* (vel *-ω*) S M^d Br ex *τούτοις* corr. A *τούτῳ* Xenophontis Paris. 1302 et 1740 al.: *τοῦτο* Xenophontis non nulli | *οὕτως* M^d Br | *παρεσκευασμένος* S A Br Xen.: *παρασκευασμένος* M^d | *ᾔει* Br A^2 (eadem correctio in marg. A), Xen. inde Gesn.[1], vulg.: *εἴη* S A^1 *ἴει* M^d

[redacted]

ἡδὺ ἦν αὐτῷ διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψῴη. εἰ δέ ποτε κληθεὶς ἐθελήσειεν ἐλθεῖν ἐπὶ δεῖπνον, ὃ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν, ὥστε φυλάξασθαι τὸ ὑπὲρ τὸν καιρὸν ἐμπίμπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο. τοῖς δὲ μὴ δυναμένοις τοῦτο ποιεῖν συνεβούλευε φυλάττεσθαι τὰ ἀναπείθοντα μὴ πεινῶντας ἐσθίειν μηδὲ διψῶντας πίνειν· καὶ γὰρ τὰ λυμαινόμενα γαστέρας καὶ κεφαλὰς καὶ ψυχὰς ταῦτα ἔφη εἶναι. οἴεσθαι δ' ἔφη ἐπισκώπτων καὶ τὴν Κίρκην ὗς ποιεῖν τοιούτοις πολλοῖς δειπνίζουσαν· τὸν δὲ Ὀδυσσέα Ἑρμοῦ τε ὑποθημοσύνῃ καὶ αὐτὸν ἐγκρατῆ ὄντα καὶ ἀποσχόμενον τοῦ ὑπὲρ τὸν καιρὸν τῶν τοιούτων ἅπτεσθαι, διὰ ταῦτα οὐ γενέσθαι ὗν. τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν ἅμα σπουδάζων. ἀφροδισίων δὲ παρῄνει τῶν καλῶν ἰσχυρῶς ἀπέχεσθαι· οὐ γὰρ ἔφη ῥᾴδιον εἶναι τῶν τοιούτων ἁπτόμενον σωφρονεῖν.

1 post lemma *Διον. Ἁλ.* cui eclogam *Ὅτι μεγάλου κτέ.* subiciunt SMA signavi lacunam. interciderunt verba Dionysii una cum lemmate *Πλουτάρχου* ‖ 4 ab *Ὅτι* nescio an exorsum sit excerptum Dionysii: *ἐπεὶ δὲ μεγάλου δοκοῦντος εἶναι καὶ ὄντος τοῦ κρατεῖν ὀργῆς μεῖζόν ἐστιν ἡ φυλακὴ καὶ ἡ πρόνοια τοῦ μὴ περιπεσεῖν ὀργῇ μηδ' ἁλῶναι, καὶ ταῦτα δεῖ κτέ.* Plut. | *καὶ* ante *δοκοῦντος* dignum fortasse quod inseratur Plutarcho ‖ 5 *ἡ φυλακὴ* Mᵈ Plut.: *φυλακὴ* SA ‖ 6 *μεῖζον* Meineke ex Plutarcho: *μείζων* SMᵈ *μείζω* A ‖ 7 ecl. cum lemm. hab. SMA. recurrit Maxim. c. 19 p. 594 Combef. (*Σωτίων ἐκ τοῦ περὶ ὀργῆς*) Mel. Aug. c. 34 n. 15. respicit Seneca de ira II 10, 5. idem igitur Sotio qui de ira scripsit ac Senecae praeceptor (Nietzsche mus. Rh. XXIII p. 639 Diels dox. p. 256). cf. Iuvenalis X 28 sqq. ‖ 8 *δὲ* om. Max. ‖ 10 ecl. hab. lemmate non iterato S, M (ubi cohaeret ecl. cum anteced.), A et sic Maxim. c. 19 p. 594 Combef. ‖ 11 *δὲ* om. Max. | *γενναῖα* om. S ‖ 12 *ἄνθρωπον* Mᵈ ‖ 15 *ὑποκριταῖς* — 17 *σχήματι* sine lemm. cum prioribus iungunt SMA, om. Max.; ante haec verba aut non nihil intercidisse probabile est aut novum tmema ordiendum, hoc praetuli; cf. Seneca de ira II 17, 1. disserebant de hoc loco Guil. Allers de L. A. Senecae librorum de ira fontibus p. 11. 58 Car. Buresch *Leipz. stud.* IX p. 129 | *ὑποκριναμένοις* S: *ὑποκρινομένοις* Mᵈ A ‖ 16 *συνενήνεγκεν* S | *οὐδ' ἐὰν* S *οὐδὲ ἂν* Mᵈ A ‖ 17 *τοιούτῳ* ci. Buecheler *τούτῳ* Wachsmuth ‖ 18 ecl. cum lemm. hab.

Ὥσπερ ὁ καπνὸς ἐπιδάκνων τὰς ὄψεις οὐκ ἐᾷ βλέπειν τὸ κείμενον ἐν τοῖς ποσίν· οὕτως ὁ θυμὸς ἐπαιρόμενος τῷ λογισμῷ ἐπισκοτεῖ καὶ τὸ συμβησόμενον ἐξ αὐτοῦ ἄτοπον οὐκ ἐφίησι τῇ διανοίᾳ προλαβεῖν.

56 *Δημοκρίτου* (fr. mor. 77 Mullach.).

Θυμῷ μάχεσθαι μὲν χαλεπόν· ἀνδρὸς δὲ τὸ κρατέειν εὐλογίστου.

57

Πλάτων ὀργιζόμενός ποτε τῷ οἰκέτῃ ἐπιστάντος Ξενοκράτους ʻλαβὼν᾽ ἔφη ʻτοῦτον μαστίγωσον· ἐγὼ γὰρ ὀργίζομαι᾽.

58 *Πλουτάρχου* (de cohib. ira p. 458 F).

Ἀριστοτέλης φησὶ Σατύρου τοῦ Σαμίου τοὺς φίλους φράξαι τὰ ὦτα κηρῷ δίκην ἔχοντος, ὅπως μὴ συγχέῃ τὸ πρᾶγμα διὰ θυμὸν ὑπὸ τῶν ἐχθρῶν λοιδορούμενος.

59 *Πλουτάρχου ἐκ τοῦ Περὶ διαβολῆς* (fr. XXIII 1 Wyttenb.).

S M A (post ecl. 20, 54 Mein.) Br (post ecl. 20, 50 Mein.). recurrit corp. Par. 111 Elt. (*Ἀριστοτέλους* praefigit cod. Par. suppl. 690). cf. Rose Ar. ps. p. 115 et 609

1 *βλέπειν* libri Stob.: *προβλέπειν* corp. Par. ‖ 4 *ἄτοπον* Br corp. Par. idque suspicatus erat Gaisford: *ἄτονον* M[d] *ἄπονον* SA | *ἐφίησι* Meineke: *ἀφίησι* libri Stob. corp. Par. | *προλαβεῖν* M[d] Br: *προσλαβεῖν* S A *προβλέπειν* corp. Par. ‖ 5 ecl. cum lemm. hab. S M A. iteratur Maxim. c. 19 p. 594 Combef. (*Δημοκρίτ.*). verba *θυμῷ μάχεσθαι χαλεπόν* Heraclito tribuit Aristoteles, alii quorum locos collegit Bywater fr. CV p. 41 ‖ 8 ecl. sine lemm. hab. S M Br Mac. Chrys., addito *Πλάτωνος* lemm. A. post ecl. 20, 56 ponunt S M A, post ecl. 20, 62 ipsam quoque Democriti Br, post ecl. 20, 42 Mein. Mac. recurrit Anton. II c. 53 p. 121 (*Πλάτωνος*) Maxim. c. 19 p. 594 Combef. (*Πλάτωνος*). flor. Mon. 234 init. cf. supra ecl. 42 ‖ 9 *Πλάτων* om. A Max., sed lemma *πλάτων*: in *πλάτων* corr. A[2], *ὁ αὐτὸς* (post Plat.) flor. Mon. | *ποτε* om. flor. Mon., ubi post *οἰκέτῃ* adduntur v. *καὶ μέλλων αὐτὸν μαστιγοῦν* | *ἐπισταντοῦντος* flor. Mon. ‖ 10 *λαβὼν ἔφη τοῦτον* S M[d] A Mac. Ant.: *λαβὼν τοῦτον ἔφη* Max., *ἔφη λαβὼν τοῦτον* Mon. ‖ 12 ecl. cum lemm. hab. S, om. M A ‖ 13 *Ἀριστοτέλης δ᾽ ἱστορεῖ Σατύρου τοὺς φίλους ἐμφράξαι* Plut. ‖ 16 ecl. cum lemm. hab. S (post ecl. 20, 58) M A Br (post ecl. 20, 57); *τοῦ αὐτοῦ* S *πλõν*[τ] Br libri indiculo uterque omisso. cf.

Οἱ νεώνητοι δοῦλοι πυνθάνονται οὐκ εἰ δεισιδαίμων ἢ φθονερὸς ὁ δεσπότης, ἀλλ' εἰ ὀργίλος.

60 *Ῥούφου ἐκ τοῦ Ἐπικτήτου Περὶ φιλίας* (fr. 69 III p. 89 Schweigh.).

Ἀλλὰ παντὸς μᾶλλον τῆς μὲν φύσεως ἐκεῖνο τὸ ἔργον, συνδῆσαι καὶ συναρμόσαι τὴν ὁρμὴν τῇ τοῦ προσήκοντος καὶ ὠφελίμου φαντασίᾳ.

61 *Τοῦ αὐτοῦ* (fr. 70 l. c.).

Τὸ δὲ οἴεσθαι εὐκαταφρονήτους τοῖς ἄλλοις ἔσεσθαι, ἐὰν μὴ τοὺς πρώτους ἐχθροὺς παντὶ τρόπῳ βλάψωμεν, σφόδρα ἀγεννῶν καὶ ἀνοήτων ἀνθρώπων. φαμὲν γὰρ τὸν εὐκαταφρόνητον νοεῖσθαι μὲν καὶ κατὰ τὸ ἀδύνατον εἶναι βλάψαι· ἀλλὰ πολὺ μᾶλλον νοεῖται κατὰ τὸ ἀδύνατον εἶναι ὠφελεῖν.

62 *Δημοκρίτου* (fr. mor. 147 Mullach.).

Φιλονεικίη πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενέος βλαβερὸν θεωρεῦσα τὸ ἴδιον συμφέρον οὐ βλέπει.

63 *Ἀριστίππου.*

Plut. de cohib. ira p. 462 A: *δρῶμεν δὲ καὶ δούλους νεωνήτους περὶ τοῦ πριαμένου πυνθανομένους οὐκ εἰ δεισιδαίμων οὐδ' εἰ φθονερός, ἀλλ' εἰ θυμώδης*

1 *πυνθάνονται οὐκ εἰ* M A Br: *οὐκ εἰ* S qui *πυνθάνονται* ponit post *φθονερὸς* sicut Tr. p. 130, inde vulg.; *οὐ πυνθάνονται εἰ* temere Gaisford | *δεισιδαίμων* ex *δησιδ.* inter scribendum corr. M¹ ‖ **2** *ὁ* supra lin. S | *δεσπο* ex corr. S¹ ‖ **3** ecl. cum lemm. hab. S M A; *ἐκ* ^τ^ S *ἐκ τῶν* cum Tr. p. 130 Meineke ‖ **6** *τῆς — φαντασίας* libri: corr. Buecheler ‖ **8** ecl. cum lemm. hab. S M A ‖ **11** *ἀγενων* sine acc. M^d^ | *τὸ* mavult Wachsmuth ‖ **12** *ἀδύνατον* (sic ut corr. Schweighaeuser p. 196) hic et 13 A: *δυνατὸν* utroque loco S M^d^ ‖ **15** ecl. cum lemm. hab. S M A (post ecl. 20, 61) Br (post ecl. 20, 55). legitur inter Stobaeana codicis Vaticani gr. 1144 f. 209^v^ n. 16 (*Δημοκρίτου*) ex capite *περὶ ἔχθρας* (II 40) nunc deperdito excerpta, si vera est Elteri suspicio mus. Rh. XLVII p. 136. etiam eclogam 61 capiti *περὶ ἔχθρας* accomodatiorem esse quam *περὶ ὀργῆς* putat Wachsmuth ‖ **16** *δυσμενέος* Vatic.: *-οῦς* S M^d^ A Br ‖ **17** *θεωρεῦσα* S *-ῆσαι* M^d^ *-οῦσα* A Br Vatic. ‖ **18** ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemm. M A. collocant post ecl. 20, 62 S M A, post ecl. 20, 59 Br, post 20, 57 Mac. recurrit corp. Par. 647 Elt. (*Ἀριστίππου*). paululum immutata inter alias Aristippeas chria legitur gnomol. Vatic. 38 (*ὁ αὐτὸς θεασάμενός τινα κτέ.*)

Ἀρίστιππος ὁ Κυρηναῖος φιλόσοφος θεασάμενός τινα ὀργιζόμενον καὶ διὰ τῶν λόγων χαλεπαίνοντα ἔφη ʻμὴ τοὺς λόγους δι᾽ ὀργῆς ἄγωμεν, ἀλλὰ τὴν ὀργὴν διὰ τῶν λόγων καταπαύωμεν᾽.

64 *Ναυκράτους.*

Ναυκράτης ὁ σοφὸς τοὺς ὀξυθύμους ἔφη παραπλήσιον τοῖς λύχνοις πάσχειν· καὶ γὰρ τούτους πλείονι ἐλαίῳ ἐκκαίεσθαι.

65 *Ἀριστοτέλους.*

Ὁ θυμός ἐστι πάθος θηριῶδες μὲν τῇ διαθέσει, συνεχὲς ⟨δὲ⟩ τῇ λήψει, σκληρὸν δὲ καὶ βίαιον τῇ δυνάμει, φόνων αἴτιον, συμφορᾶς σύμμαχον, βλάβης συνεργόν, ἀτιμίας καὶ χρημάτων ἀπωλείας ἔτι δὲ καὶ φθορᾶς ἀρχηγόν.

66 *Ἀντιφῶντος* (fr. 129 Blass.²).

Ὅστις δὲ ἰὼν ἐπὶ τὸν πλησίον κακῶς ποιήσων δειμαίνει, μὴ ἃ θέλει ποιῆσαι, ἁμαρτὼν τούτων, ἃ μὴ θέλει ἀπενέγκηται, σωφρονέστερος. ἐν ᾧ γὰρ δειμαίνει, μέλλει· ἐν ᾧ δὲ μέλλει, πολλάκις ὁ διὰ μέσου χρόνος ἀπέστρεψε τὸν νοῦν τῶν θελημάτων· καὶ ἐν μὲν τῷ γεγενῆσθαι

---

1 *ὁ κυρηναῖος* A Br Mac. corp. Par.: *κυρηναῖος* S M[d] ‖ 2 *ἐργαζόμενον* A[1] corr. ni fallor A[2] | *τῶν λόγων* S M[d] Mac. corp. Par. gnomol. Vat. *τὸν λόγον* A Br | pro *χαλεπαίνοντα* habet *σφοδρῶς χαλεπαίνοντα ὑποτυχὼν* gnomol. Vatic. ‖ 4 *καταλύωμεν* gnomol. Vatic. ‖ 5 ecl. sine lemm. hab. S, addito lemm. *ναυκράτουσ* (*ναυκρα*$^{\tau}$ A, unde *Ναυκράτου* Gaisford et Meineke) M A. recurrit Maxim. c. 19 p. 594 (*Ναυκράτ.*), mel. Aug. c. 34, 16 ‖ 7 *τούτοις* M[d] ‖ *ἐκχέεσθαι* M[d] ‖ 9 ecl. cum lemm. hab. S M A. recurrit ecloga corp. Par. 649 Elt. ubi lemma non iteratur post 648 (Stob. flor. 20, 47 Mein.) ipsam quoque Aristoteliam. inter dubia fragmentum rettulit Rose Ar. ps. p. 609 ut nimis redolens rhetorem (ib. p. 115) ‖ 10 *μὲν ἐν τῇ* Tr. p. 131 qui omittit mox *συνεχὲς τῇ λήψει* ‖ 11 *συνεχὲς δὲ* Frob. p. 180, inde Gesn.[1] p. 160, vulg.: *συνεχὲς* S (Voss. f. 27[v]) M[d] A corp. Par. | *δὲ καὶ* S M[d] corp. Par.: *τε καὶ* A; *καὶ* Frob. (Voss.), inde vulg. ‖ 12 *διαφορᾶς* ci. Meineke v. IV p. LX probabiliter | *ἀτιμίας καὶ* S (Voss.) M[d] A corp. Par.: *καὶ ἀτιμίας* Frob., inde vulg. fortasse delenda esse v. *ἀτιμίας καὶ* putat Meineke (v. IV p. LX) frustra: ter terna membra ‖ 13 *ἀπώλεια* libri: corr. Buecheler ʻinfamiae et penuriae et exitii principium᾽ ‖ 14 ecl. cum lemm. hab. S: om. M A ‖ 19 *νοῦν* Sauppe: *νόων* S *νόον* Tr.

οὐκ ἔνεστιν, ἐν δὲ τῷ μέλλειν ἐνδέχεται ⟨μὴ⟩ γενέσθαι. ὅστις δὲ δράσειν μὲν οἴεται τοὺς πέλας κακῶς, πείσεσθαι δ' οὔ, ⟨οὐ⟩ σωφρονεῖ. ἐλπίδες δ' οὐ πανταχοῦ ἀγαθόν· πολλοὺς γὰρ τοιαῦται ἐλπίδες κατέβαλον εἰς ἀνηκέστους συμφοράς, ἃ δ' ἐδόκουν τοὺς πέλας ποιήσειν, παθόντες ταῦτα ἀνεφάνησαν αὐτοί. σωφροσύνην δὲ ἀνδρὸς οὐκ ἂν ἄλλος ὀρθότερόν τις κρίνειεν, ἢ ὅστις τοῦ θυμοῦ ταῖς παραχρῆμα ἡδοναῖς ἐμφράσσει αὐτὸς ἑαυτὸν κρατεῖν τε καὶ νικᾶν ἠδυνήθη αὐτὸς ἑαυτόν. ὃς δὲ θέλει χαρίσασθαι τῷ θυμῷ, παραχρῆμα θέλει τὰ κακίω ἀντὶ τῶν ἀμεινόνων.

67 *Ἐπικτήτου* (fr. 71 III p. 90 Schweigh.).

Ὅτῳ μετὰ ἀνατάσεως καὶ ἀπειλῆς ἐπιχειρεῖς, μέμνησο προλέγειν, ὅτι ἥμερος εἶ· καὶ οὐδὲν ἄγριον δράσας ἀμετανόητος καὶ ἀνεύθυνος διαγενήσῃ.

68 *Κάτωνος πρεσβυτέρου* (Ps.-Plut. apophth. reg. et duc. p. 199 A).

Τὸν ὀργιζόμενον ἐνόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν.

69 *Ἀρίστωνος.*

Τὴν κακολογίαν ἡ ὀργὴ φαίνεται ἀπογεννῶσα ὥστε † ἡ μήτηρ οὐκ ἀστεῖα.

---

1 *μὴ* addidit Buecheler ‖ 2 *πείσεσθαι δὲ οὔ, οὐ* Iacobs in anthol. XI p. 156: *πείσεσθαι δ' οὔ* (sic) S, *πείσεσθαι δι' ἃ οὐ* Tr.; *π. δὲ μή, οὐ* Gaisford ‖ 5 *τοὺς* Meineke: *τοῖς* S ‖ 7 *ἄλλος* S: *ἄλλο* Sauppe *ἄλλως* Buecheler | *τὰς παραχρῆμα ἡδονὰς ἐμφράσσων* [*αὐτὸς ἑαυτὸν*] *κρατεῖν* nunc Sauppe ‖ 10 *τῷ θυμῷ παραχρῆμα, θέλει* distinxit Blass, qui praeterea mavult *τῷ παραχρῆμα θυμῷ*. mihi delendum videtur *παραχρῆμα* quod ipsa sedes arguit glossema ‖ 12 ecl. cum lemm. hab. S M A. vide quae adnotavit Schenkl ad Arr. diss. Epict. IV 5, 10 ‖ 13 *ἀνατάσεως* M[d] A: *ἀναστάσεως* S ‖ 16 ecl. cum lemm. hab. S M A (post ecl. 20, 67), sine lemm. Br (post ecl. 20, 63) ‖ 18 *Κάτων τὸν ὀργιζ.* Br, tu vide p. 302, 4 adn. | *Τὸν δὲ ὀργιζ.* suo more Ps.-Plut. | *νόμιζε* Tr. p. 131, inde vulg. | *χρ. διαφ.*] cf. p. 296, 2 ‖ 20 ecl. cum lemm. hab. S M A ‖ 21 *ὥστε ἡ* S M[d] A: *ὡσπερεὶ* ci. Meineke, *ὡς τέκνα* Buecheler quod verum videtur ‖ 22 *ἀστεῖα* libri, nisi quod *ἀστεία* A[2]

70 *Πλουτάρχου ἐκ τοῦ Περὶ ὀργῆς* (fr. XXVII Wyttenb.).

Ὅσα δὲ ὀργῇ χρώμενοι πράττουσιν ἄνθρωποι, ταῦτα ἀνάγκη τυφλὰ εἶναι καὶ ἀνόητα καὶ τοῦ παντὸς ἁμαρτάνειν. οὐ γὰρ οἷόν τε ὀργῇ χρώμενον λογισμῷ χρῆσθαι· τὸ δὲ ἄνευ λογισμοῦ ποιούμενον πᾶν ἄτεχνόν τε καὶ διεστραμμένον. λόγον οὖν ἡγεμόνα χρὴ ποιησάμενον οὕτως ἐπιχειρεῖν τοῖς κατὰ τὸν βίον ἔργοις τὰς ἑκάστοτε προσπιπτούσας ὀργὰς διωθούμενον καὶ διανέοντα ὥσπερ οἱ κυβερνῆται τὰ κύματα προσφερόμενα. ἔστι γοῦν οὐκ ἔλαττον τὸ δέος ὀργῆς ἀντιπρῴρου κυλινδομένης, αὑτόν τε καὶ σύμπαντα οἶκον ἔστιν ἄρδην ἀπολέσαι καὶ ἀνατρέψαι μὴ διαπλεύσαντα δεξιῶς. οὐ μὴν ἀλλ' ἐπιμελείας εἰς αὐτὰ δεῖ καὶ μελέτης. ᾗ καὶ μάλιστα ἁλίσκονται κατ' ἄκρας οἱ παραδεξάμενοι τὸν θυμὸν ὡς σύμμαχον ἀρετῆς, ἀπολαύοντες ὅσον αὐτοῦ χρήσιμόν ἐστιν ἔν τε πολέμῳ καὶ νὴ Δία ἐν πολιτείαις, τὸ πολὺ δὲ αὐτοῦ καὶ τὸ ἐπιπόλαιον ἐκκρίνειν καὶ ἐκβάλλειν τῆς ψυχῆς, ὅπερ ὀργή τε καὶ πικρία δι' ὀξυθυμίαν λέγεται, νομίσματα ἥκιστα ταῖς ἀνδρείαις ψυχαῖς πρέποντα. τίς οὖν ἐν ἡλικίᾳ τούτων γίγνεται μελέτη; ἐμοὶ μὲν δοκεῖ μάλιστ' ἂν ὧδε γίγνεσθαι πόρρωθεν ἡμῶν προμελετώντων καὶ

---

1 ecl. cum lemm. hab. S M A (post ecl. 20, 69) Mac. Chrys. (post ecl. 20, 63) ‖ 2 *δὲ* et mox *χρώμενοι* om. Mac. | *ἄνθρωποι* S M[d] Mac.: *οἱ ἄνθρ.* A, immerito recepit Meineke, cf. supra p. 39, 14 ‖ 4 *χρῆσθαι* S M[d]: *χρήσασθαι* A Mac. non recte recepit Meineke ‖ 5 *πανάτεχνόν τε* A Mac. ‖ 7 *τὰς* om. Mac. ‖ 8 *διωθούμενον* Wyttenbach: *διορθούμενον* libri. cf. Iacobs lect. Stob. p. 65 | *διανεύοντα* libri: corr. Buecheler ‖ 9 *τὰ* ante *προσφ.* tacite addidit Gesn.[2] p. 175, inde vulg. | *ἔστι γοῦν κτέ.* om. M A Mac. ‖ 10 *κυλινδουμένης* temere Gesn.[1] p. 160, inde vulg. | *αὐτόν* S: corr. Meineke ‖ 11 *σύμπαντα* S; *σύμπαν* Tr. p. 131, inde vulg. | *οἶκόν ἐστιν* (*ἐστιν* compend.) S; *ἐστιν* tacite seclusit Gesn.[1], inde vulg. | *ἀναστρέψαι* S: corr. Wyttenbach ‖ 13 post *μελέτης* fortius distinxit et lacunam statuit Wyttenbach ‖ 15 *ἀπολαύειν κελεύοντες* Buecheler Wyttenbachii vestigiis insistens ‖ 17 *ἐπιπολαιον* sine acc. S; *ἐπιπολάζον* ci. Wyttenbach qui post *ἐκκρίνειν* suppleri vult *κελεύοντες* ‖ 18 *δι' ὀξ.*] *καὶ ὀξυθυμία* mavult Wyttenbach, idem deinde *ὀνόματα* pro *νομίσματα*. malim *νοσήματα* ‖ 20 *τῇ* ante *ἡλικίᾳ* add. Tr. p. 132, inde vulg.

προαπλούντων πλεῖστον οἷον ἐν οἰκέταις τε καὶ πρὸς γυναῖκας τὰς γαμετάς. ὁ γὰρ οἴκοι πρᾷος καὶ δημοσίᾳ πρᾷος πολὺ μᾶλλον ἔσται, τοιοῦτος ἔνδοθεν καὶ ὑπὸ τῶν οἴκοι πεποιημένος αὐτῷ τῆς αὐτοῦ ψυχῆς † εἶναι ἀγαθός.

CAPVT XXI.

ΠΕΡΙ ΤΟΥ ΓΝΩΘΙ ΣΑΥΤΟΝ.

1 *Φιλήμονος* (fab. inc. fr. 101 com. IV p. 62).

Ἄνθρωπος ὢν τοῦτ' ἴσθι καὶ μέμνησ' ἀεί.

2 *Μενάνδρου Κωνειαζομέναις* (fr. 2 com. IV p. 156).

Τὸ γνῶθι σαυτὸν ἔστιν, ἂν τὰ πράγματα
ἴδῃς τὰ σαυτοῦ, καὶ τί σοὶ ποιητέον.

3 *Διφίλου* (fab. inc. fr. 31 com. IV p. 425).

Ἂν γνῷς τί ἐστ' ἄνθρωπος, ἡδίων ἔσῃ.

4 *Ἀντιφάνους* (fr. inc. 42ᵃ com. III p. 148).

---

1 *προαπλούντων* S; *προαποπλούντων* pessime Gesn.³ p. 176, inde vulg. | *πλ. ὅσον* pro *πλ. οἷον* mavult Duebner immerito ‖ 3 v. *τοιοῦτος* — 4 *αὐτῷ τῆς αὐτοῦ* (sic) *ψυχῆς εἶναι ἀγαθός* S: *τοιοῦτος — πεποιημένος αὐτοέντης αὐτοῦ ψυχῆς εἶναι ἀγαθός* ci. Ruhnkenius (Wyttenbach animadv. in Plut. mor. p. 550 F), *τοιοῦτος — πεποιημένος αὐτὸς τῆς αὐτοῦ ψυχῆς παιδαγωγός* temptabat Duebner, ubi *παιδαγωγός* pro *εἶναι ἀγαθός* praeiverat Wyttenbach, *αὐτῷ τῆς αὐτοῦ ψ. ἡνίοχος* Buecheler dubitanter

Capitis XXI habent S M A, eclogas haud paucas Br, aliquot etiam Mac. Chrys. inscriptionem ut Photius omnes. numerum adiciunt M A Mac., *ια'* S ‖ 8 ecl. cum lemm. (*φιλήμων* A) hab. S M A Mac. Chrys., lemmate carentem Br. iterat corp. Par. 650 Elt. (*Φιλήμονος*) ‖ 10 ecl. cum lemm. hab. S M A; *Κωνειαζομέναις* scripsi: *κοταβιζούσαις* compend. S *κωταζομέναις* Mᵈ A sed sine acc. compendiose Mᵈ *Ἐκ τῶν Κωνεαζομένων* Orio anth. I 18 p. 43, 1 ‖ 11 *σαυτόν* (*σεαυτόν* S Mᵈ) *ἔστιν* fere libri ‖ 12 *σαυτοῦ* Mᵈ A Or.: *ἑαυτοῦ* (sic) S ‖ 13 ecl. cum lemm. hab. S M A (post ecl. 21, 2) Mac. Chrys. (post ecl. 21, 1), sine lemm. Br (post ecl. 21, 1); cf. Stob. flor. 108, 39 v. 1 Mein. ‖ 14 *ἦν* (*ἡ* rubr.) Mac. | *ἔστιν* vel *ἐστὶν* fere libri: corr. Gesn.¹ p. 160, inde vulg. ‖ 15 ecl. cum lemm. hab. S M A Mac. Chrys., sine lemm. Br; *ἀντιφῶντος* perperam explicans compendium Tr. recurrit ecloga et lemma *Ἀντιφάνους* corp. Par. 651 Elt. inter monosticha versus 173

Εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει.

5 *Μενάνδρου Θρασυλέοντος* (fr. 1 com. IV p. 139).

Κατὰ πόλλ' ἄρ' ἐστὶν οὐ καλῶς εἰρημένον
τὸ γνῶθι σαυτόν· χρησιμώτερον γὰρ ἦν
τὸ γνῶθι τοὺς ἄλλους.

6 *Ἐκ τῆς Αἰλιανοῦ συμμίκτου ἱστορίας* (VIII 15).

Ἐν Χαιρωνείᾳ τοὺς Ἀθηναίους ἡνίκα ἐνίκησεν ὁ Φίλιππος, ἐπαρθεὶς τῇ εὐπραγίᾳ, ὅμως λογισμοῦ ἐκράτησε καὶ οὐχ ὕβρισε, καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἕωθεν, ὅτι ἄνθρωπός ἐστιν.

7 *Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων.*

Ἡράκλειτος νέος ὢν πάντων γέγονε σοφώτερος, ὅτι ᾔδει ἑαυτὸν μηδὲν εἰδότα.

8

---

1 *βέλτιστα* S ‖ 2 ecl. cum lemm. hab. SA Mac. Chrys. (post ecl. 21, 4) M (post ecl. 21, 21); *Θρασυλέοντος* om. Mac. iterat Maxim. c. 56 p. 663 Combef. (*Μενάνδρου*) ‖ 3 *ἄρ'* Porson adv. p. 235: *ἂν* (vel *ἄν*) libri nisi quod *γ* pro *ν* nescio an correxerit A[1], voluitne *πολλά γ'* sicut Dobree? *πολλὰ δ' ἐστὶν* Buecheler, *πολλὰ δὴ 'στὶν* ego cf. p. 547, 15. 569, 2 adn. ‖ 4 *σαυτόν* A Mac.: *σεαυτὸν* S M[d] | *ἦν* M[d] A Mac.: *εἶ* S ‖ 6 ecl. cum lemm. hab. S M A; *ἐκ τ̄ αἰλιανοῦ* (-*νοῦ* compend.) *ἱστ°* S, *ἐκ τῆς αἰλιανοῦ συμμίκτου* (*συμβίκτης* A[1] *συμμίκτης* A[2]) *ἱστορίας* M[d] A ‖ 7 *χαιρωνεία* S *χερωνεία* M[d] A[1] | *ἡνίκα ἐνίκησεν* S M[d] A: *νίκῃ ἐνίκησε* libri Ael., vide Lobeck paralip. p. 524 | *ὁ* om. libri Aeliani ‖ 8 *ἐπαρθεὶς* S M[d] A: *ἐπαρθεὶς δὲ* libri Ael. | *λογισμῷ* tacite Gesn.[1] p. 162, inde vulg. | *ἐκράτησεν* et mox *ὕβρισεν* S M[d] ‖ 10 post *ἄνθρωπός ἐστι* quae addit Aelianus, sprevit anthologus; vide ad III 12, 19 ‖ 12 ecl. cum lemm. hab. S M A (post ecl. 21, 6) Br (post ecl. 21, 4), sine lemm. Mac. Chrys. (post ecl. 21, 5); *ἐκ τ̄ ἀριστων^υ* pro lemm. S nihil nisi *ἀριστωνύμου* Br. iteratur Anton. I 59 p. 64, 42 Maxim. c. 56 p. 663 (*Ἡρακλείτου*). cf. gnomol. Vat. 310: *Ἡράκλειτος ὁ φυσικὸς ἔφησε σοφώτατος γεγονέναι πάντων νέος ὤν, ὅτι ᾔδει ἑαυτὸν μηδὲν εἰδότα.* Laert. IX 5. simile dictum Democrito adscribitur gnomol. Vat. 267 ut taceam de Socrate. testimonia congessit Sternbach l. c. ‖ 13 *σοφώτατος* A[2] ‖ 15 ecl. sine lemm. hab. S Br, addito lemm. *δημωνάκτου* M A. rectius *Δημώνακτος* Gaisford et Meineke. num hac et duabus proximis continuentur excerpta libri Aristonymei dubito, quia raro hodie

Δημῶναξ ἐρωτηθεὶς πότε ἤρξατο φιλοσοφεῖν, 'ὅτε καταγιγνώσκειν' ἔφη 'ἐμαυτοῦ ἠρξάμην'.

9

Σωκράτης ἐρωτηθεὶς διὰ τί οὐ συγγράφει, 'ὅτι' εἶπεν 'ὁρῶ τὰ χαρτία πολὺ τῶν γραφησομένων τιμιώτερα'.

10

Θεόκριτος ἐρωτηθεὶς διὰ τί οὐ συγγράφει, 'ὅτι' εἶπεν 'ὡς μὲν βούλομαι, οὐ δύναμαι· ὡς δὲ δύναμαι, οὐ βούλομαι'.

11 *Βίαντος.*

Θεώρει ὥσπερ ἐν κατόπτρῳ τὰς σαυτοῦ πράξεις, ἵνα τὰς μὲν καλὰς ἐπικοσμῇς, τὰς δὲ αἰσχρὰς καλύπτῃς.

12

Γνῶθι σαυτὸν ὡς παροιμία παραλαμβάνεται, μαρτυρεῖ Θεόφραστος ἐν τῷ περὶ παροιμιῶν. οἱ πολλοὶ δὲ

---

in illo leguntur apophthegmata, confer tamen III 10, 50. Luciani Demonactem intellegit Fritzsche in Luciano II 1 p. 188

1 *δημώνακτος* A[1] corr. A[2] | *πότε* S: *πηνίκα* M[d] A Br ‖ 2 *ἔφη* om. Br ‖ 3 ecl. sine lemm. hab S Br Mac. Chrys., addito *Σωκράτους* M A. post ecl. 21, 7 habet Mac. cf. gnomol. Vat. 499 Sternb.: *ὁ αὐτὸς (Σωκρ.) ἐρωτηθεὶς διὰ τί συντάγματα οὐ γράφει, ἔφη 'ὅτι τὰ ἄγραφα τῶν γεγραμμένων ὁρῶ πλείονος πωλούμενα'* ‖ 4 *συγγραφ*/// A *η* scr. A[1] *ει* A[2], erasum videtur compendium terminationis *ει*, *συγράφῃ* (om. *οὐ*) Mac. ‖ 5 *πολὺ* om. Mac. ‖ 6 ecl. sine lemm. hab. S, addito *Θεόκριτοσ* M *θεοκρίτου* A. vide ad 21, 8 ‖ 7 *ἐρωτηθεὶς* S: *ἐρωτηθεὶς ἐπὶ ποιημάτων* M[d] A sed *ἐπὶ π.* linea subducta notavit A ‖ 10 ecl. cum lemm. hab. S M A (post ecl. 21, 10) Br (post ecl. 21, 9); *βία* pro lemm. S M. recurrit corp. Par. 460 Elt. (*γνῶμαι Βίαντος*). discrepant quae Bianti tribuit Demetrii sylloga supra III 1, 172 p. 121, 7. alieniora etiam sunt quae de Socrate habet Laert. II 33 ‖ 11 *τὰς σαυτοῦ* S A Br: *τὰς αὐτοῦ* M[d] corp. Par.; fort. *τὰς αὑτοῦ* ‖ 12 *αἰσχρὰς* libri Stob.: *κακὰς* corp. Par. | *καλύπτῃς* etiam corp. Par. scripserim *ἐπικαλύπτῃς* ‖ 13 ecl. sine lemm. hab. S, om. M A; *παροιμία* pro lemm. add. Tr. p. 133, inde vulg. cf. Porphyrius Stob. flor. 21, 26 et quae collegit Brunco act. sem. philol. Erl. III p. 383 sqq. ‖ 14 ⟨*Τὸ*⟩ *γνῶθι σ.*? | *ὡς παροι παραλαμβάνεται* S: *ὡς παροιμία λαμβάνεται* Tr.

Χείλωνος εἶναι τὸ ἀπόφθεγμα, Κλέαρχος δὲ ὑπὸ τοῦ θεοῦ λεχθῆναι Χείλωνι.

13 *Χείλωνος.*

Χείλων ἐρωτηθεὶς τί χαλεπώτατον, ʽτὸ γιγνώσκειν ἑαυτόν' ἔφη· πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι.

14 *Βίαντος.*

Τὸ δὲ γνῶθι σαυτὸν χρήσιμον εἰς νουθεσίαν τῶν ἀλαζόνων, οἳ ὑπὲρ τὴν ἑαυτῶν δύναμιν φλυαροῦσιν.

15 *Ἀλεξάνδρου* (Ps.-Plut. apophth. reg. et duc. p. 182 B).

Ἀλέξανδρος νοσήσας μακρὰν νόσον ὡς ἀνέρρωσεν, οὐδέν ἔφη διατεθῆναι χεῖρον· ʽὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος μὴ μέγα φρονεῖν ὡς θνητοὺς ὄντας'.

16 *Πλουτάρχου ἐκ τοῦ Περὶ εὐθυμίας* (p. 472 B—C).

Καὶ μὴν οἶνοί τε καὶ σαρκῶν ἐμφορήσεις σῶμα μὲν ἰσχυρὸν ποιοῦσι καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀσθενῆ· καὶ

---

1 *χείλωνος* et mox *χείλωνι* S: *χίλωνος* et *χίλωνι* Tr. p. 133, vulg. ‖ **2** *χρησθῆναι* mavult Nauck *mél. gr.-rom.* V p. 165 adn. 33 coll. flor. 21, 26 ‖ **3** ecl. sine lemm. hab. S Br, addito lemmate M A. iteratur Maxim. c. 56 p. 664 Combef. sed ut coaluerit cum ecloga Biantis (*ἔφη· χρήσιμον γὰρ εἰς ν. — φλυαροῦσιν*) verbis *πολλὰ — σαυτὸν* omissis, alio loco Maxim. p. 206 Gesn. (cod. Neapol.) ‖ **4** *χείλων* S M^d: *Χίλων* Tr. *χίλων* Br, om. A | *τί τὸ χαλεπ.* Max. | *γιγνώσκειν* S M^d: *γινώσκειν* A Tr. Br ‖ **7** ecl. cum lemm. *βία* hab. A, om. S M; *Βίαντος* Gaisford. dubitat de lemmate Brunco l. c. p. 390 adn. 41. sed Biantem intellexisse gnomologum docet lemma eclogae 11 quod firmatur etiam ecl. 21, 26 ‖ **10** ecl. sine lemm. hab. S Br (post ecl. 21, 13) Mac. Chrys. (post ecl. 21, 9), addito lemmate M (post ecl. 21, 13) A (post ecl. 21, 14). recurrit corp. Par. 435 Elt. inter Diogenis et Alexandri dicta ‖ **11** *ὥσπερ* corp. Par. | *ἀνέρρωσεν* libri ut Ps.-Plut.; *ἀνερρώσθη* Meineke frustra. Plutarcho erit reddendum *ἀνερράισεν* coll. Stob. III 7, 53 ‖ **12** *διατεθῆναι* S M^d A: *διατεθεῖναι* Mac. corp. Par. in *-ῆναι* corr. Br^1; om. Ps.-Plut. qui in prioribus *Νοσήσας δὲ* ‖ **13** *ὡς* om. corp. Par. | *ὡς ὄντας θνητούς* Ps.-Plut. ‖ **14** ecl. cum lemm. hab. S M A Br; *ἐκ τοῦ περὶ εὐθυμίας* om. S Br ‖ **15** *οἶνος* — 16 *ἀσθενῆ*] cf. Androcydis verba ap. Clementem Alex. strom. VII 6 p. 850 P. | *οἶνοί* (*οἶνοι*) *τε καὶ σαρκῶν ἐμφορήσεις* libri Stob.: *οἶνός τε καὶ σαρκῶν ἐμφόρησις* Plut. *οινος καὶ σαρκῶν ἐμφορήσεις* Andr.; *κρεῶν* pro *σαρκῶν* mavult Cobet mnemos. IX p. 115 frustra

χρημάτων ἐπιμέλεια μὲν συνεχὴς καὶ τήρησις αὔξει πλοῦτον, ὑπεροψία δὲ καὶ σωφροσύνη μέγα πρὸς φιλοσοφίαν ἐφόδιον. ὅθεν οὐ πάντα πάντων ἐστίν, ἀλλὰ δεῖ τῷ Πυθικῷ γράμματι πειθόμενον αὑτὸν καταμαθεῖν, εἶτα χρῆσθαι πρὸς ἓν ὃ πέφυκε, καὶ μὴ πρὸς ἄλλον ἄλλοτε βίου ζῆλον ἕλκειν καὶ παραβιάζεσθαι τὴν φύσιν.

17 *Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου* (c. 6).

Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἔλεγεν ἐπαιρόμενος ὅτι 'καλός εἰμι', ἀνεκτὸν ἂν ἦν· σὺ δὲ ὅταν λέγῃς ὅτι 'ἵππον καλὸν ἔχω', ἴσθι ὅτι ἐφ' ἵππῳ ἀγαθῷ μέγα φρονεῖς. τί οὖν ἐστι σόν; χρῆσις φαντασιῶν, ἣν ὅταν κατὰ φύσιν ἔχῃς, τότε ἐπάρθητι· τότε γὰρ ἐπὶ τῷ σῷ πλεονεκτήματι ἐπαρθήσῃ.

18 *Δημοσθένους ἐν τῷ Πρὸς Λεπτίνην* (XX § 161 p. 506).

Καὶ τὰ ἀγαθὰ μὲν προσδοκᾶν, καὶ τοῖς θεοῖς εὔχεσθαι διδόναι· πάντα δ' ἀνθρώπινα ἡγεῖσθαι.

19 *Ἐν ταὐτῷ* (XX § 162 p: 506).

Ἀλλ' οἶμαι τὸ μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον, καὶ μικροὶ καιροὶ μεγάλων πραγμάτων αἴτιοι γίγνονται· διὸ δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις καὶ προορωμένους τὸ μέλλον φαίνεσθαι.

20 *Πλάτωνος ἐκ τῶν Ἀντεραστῶν* (p. 137 E — 138 B).

---

2 ὑπεροψία M^d Br Plut.: ἀνυπεροψία S A | σωφροσύνη (φιλοφροσύνη A¹ corr. A²) S M^d A Br: περιφρόνησις recte Plut. || 3 ὥστε (pro ὅθεν) Tr. p. 133, inde vulg. || 4 αὐτὸν M^d || 5 πρὸ M^d || 7 ecl. cum lemm. hab. S M A. iteratur Maxim. c. 56 p. 663 sq. Combef. (sine lemm.) || 9 ἐπαιρόμενος ἔλεγεν Arr. | ἀνεκτὸν] οἰστὸν Arr. | ἂν ἦν M^d Arr.: ἦν S A Max. || 10 λέγῃς ἐπαιρόμενος Arr. | ἵππον recte Vpton sec. Simpl. || 11 μέγα φρονεῖς] ἐπαίρῃ Arr. || 12 ἣν (ἦν M^d) ὅταν S M^d A Max.: ὥσθ' ὅταν ἐν χρήσει φαντασιῶν Arr. | σχῇς Arriani aliquot | τηνικαῦτα (pro τότε) Arr. || 13 ἐπὶ τῷ σῷ πλεονηκτήματι S M^d A Max.: ἐπὶ σῷ τινι ἀγαθῷ Arr. || 14 ecl. cum lemm. hab. S M A; δημοσθ^ε πρὸς λ^ε S || 15 τἀγαθὰ Dem. || 17 ecl. cum lemm. hab. S M A (post ecl. 21, 17) Br (post ecl. 21, 16); δημοσθένους Br. recurrit corp. Par. 652 Elt. (Δημοσθένους) || 18 ἅπασιν ἀνθρώποις ἄδηλον libri Stob.: ἄδηλον πᾶσιν (ἅπασιν libri aliquot) ἀνθρώποις Dem. || 22 ecl. cum lemm. hab. S, om. M A

Τί δ'; ἐπειδὰν ἄνθρωπος ὤν τις ἀγνοῇ τοὺς χρηστοὺς καὶ τοὺς μοχθηροὺς ἀνθρώπους, ἆρ' οὐ καὶ αὐτὸν ἀγνοεῖ, πότερον χρηστός ἐστιν ἢ μοχθηρός, ἐπειδὴ καὶ αὐτὸς ἄνθρωπός ἐστι; Συνεχώρει. Τὸ δὲ αὐτὸν ἀγνοεῖν σωφρονεῖν ἢ οὐ σωφρονεῖν ἐστιν; Οὐ σωφρονεῖν. Τὸ ἑαυτὸν ἄρα γιγνώσκειν ἐστὶ σωφρονεῖν; Φημί, ἔφη. Τοῦτο ἄρα, ὡς ἔοικε, καὶ τὸ ἐν Δελφοῖς γράμμα παρακελεύεται, σωφροσύνην ἀσκεῖν καὶ δικαιοσύνην. Ἔοικεν. Τῇ αὐτῇ δὲ ταύτῃ καὶ κολάζειν ὀρθῶς ἐπιστάμεθα; Φημί. Οὐκοῦν ᾗ μὲν κολάζειν ὀρθῶς ἐπιστάμεθα, δικαιοσύνη αὕτη ἐστίν, ᾗ δὲ γιγνώσκειν καὶ ἑαυτὸν καὶ ἄλλους, σωφροσύνη; Ἔοικεν, ἔφη. Ταὐτὸν ἄρα ἐστὶ δικαιοσύνῃ σωφροσύνη; Φαίνεται. Καὶ μὴν οὕτω γε καὶ αἱ πόλεις εὖ οἰκοῦνται, ὅταν οἱ ἀδικοῦντες δίκην διδῶσιν. Ἀληθῆ λέγεις.

21 *Ξενοφῶντος ἐν δ' Ἀπομνημονευμάτων* (IV 2, 24—36).

Καὶ ὁ Σωκράτης, Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, εἰς Δελ-

---

1 *ὤν τις* S Platonis T: *τις ὤν* Platonis B | *ἀγνοῇ* Meineke ex Plat.: *ἀγνοεῖ* S ‖ 2 *τοὺς μοχθηροὺς* S: *μοχθηροὺς* Platonis B *πονηροὺς* Platonis T | *ἆρ' οὐ καὶ αὐτὸν* Buecheler: *ἄρ'* (*ἆρ'* Tr. p. 133) *οὖν καὶ αὐτὸν* (*αὐτὸν* Tr.) S *ἆρ' οὐχ ἑαυτὸν* tacite ex Plat. Gesn.¹ p. 162, inde vulg. ‖ 3 *ἀγνοεῖ* S Platonis T, *ἀγνοοῖ* Platonis B | *ἢ μοχθηρὸς* S: *ἢ πονηρὸς* Platonis BT | *ἐπειδὴ* Tr. Plat.: *ἐπεὶ* S ‖ 4 *ξυνεχώρει* Plat. | *δὲ αὐτὸν* S Platonis B, *δ' ἑαυτὸν* Platonis T; *δὲ αὐτὸν* Tr., inde vulg. ‖ 5 *ἢ οὐ σωφρονεῖν ἐστιν. οὐ σωφρονεῖν* S Platonis T: *ἐστιν ἢ μὴ σωφρονεῖν; Μὴ σωφρονεῖν* Platonis B ‖ 6 *γιγνώσκειν* S Plat.: *γινώσκειν* Tr., inde vulg. ‖ 7 *καὶ τὸ ἐν* S Platonis T: *τὸ ἐν* Platonis B ‖ 9 *φημί* S Platonis T: *ναί* Platonis B ‖ 11 *γιγνώσκειν* S; *διαγιγνώσκειν* tacite ex Plat. Gesn.¹, inde vulg. | *ἄλλους* S Platonis B, *ἄλλον* Platonis T ‖ 12 *δικαιοσύνῃ σωφροσύνη* scripsi ut Platonis T: *δικαιοσύνη σωφροσύνη* S. *καὶ δικαιοσύνη καὶ σωφροσύνη* Platonis B; *δικαιοσύνη σωφροσύνῃ* Gesn.¹, inde vulg. ‖ 13 *καὶ αἱ* S Platonis B, *καὶ* Platonis T ‖ 14 *Ἀληθῆ λέγεις, ἔφη* Plat. ‖ 16 ecl. cum lemm. hab. SMA ‖ 17 *Καὶ ὁ Σωκρ.* — 562, 14 *καὶ ἀνεπιτήδεια ὅπως ἔχει* om. M v. *Καὶ ὁ Σωκρ.* — 562, 9 *οἶδεν ἢ ὅστις* om. A | *εἰς Δελφοὺς δὲ* S Xen.: *εἰς Δελφοὺς* temere Gesn.¹ p. 162, inde vulg. non rectius Cobet n. l. p. 703. exemplis notis (cf. Xen. apomn. II 9, 2) nuper insperatum accessit Herondae V 1

φοὺς δὲ ἤδη πώποτε ἀφίκου; Καὶ δίς γε νὴ Δί', ἔφη. Κατέμαθες οὖν πρὸς τῷ ναῷ που γεγραμμένον ⟨τὸ⟩ Γνῶθι σαυτόν; Ἔγωγε. Πότερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ προσέσχες τε καὶ ἐπεχείρησας σεαυτὸν ἐπισκοπεῖν ὅστις εἴης; Μὰ Δί' οὐ δῆτα, ἔφη· καὶ γὰρ δὴ τοῦτο πάνυ ᾤμην εἰδέναι· σχολῇ γὰρ ἂν ἄλλο τι ᾔδειν, εἴ γε μηδ' ἐμαυτὸν ἐγίγνωσκον. Πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτὸν ὅστις τοὔνομα μόνον τὸ ἑαυτοῦ οἶδεν, ἢ ὅστις, ὥσπερ οἱ τοὺς ἵππους ὠνούμενοι οὐ πρότερον οἴονται γιγνώσκειν ὃν ἂν βούλωνται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται πότερον εὐπειθής ἐστιν ἢ δυσπειθής, καὶ πότερον ἰσχυρὸς ἢ ἀσθενής, καὶ πότερον ταχὺς ἢ βραδύς, καὶ τἄλλα τὰ πρὸς τὴν τοῦ ἵππου χρείαν ἐπιτήδειά τε καὶ ἀνεπιτήδεια ὅπως ἔχει, οὕτως ἑαυτὸν ἐπισκεψάμενος ὁποῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν, ἔγνωκε τὴν ἑαυτοῦ δύναμιν; Οὕτως ἔμοιγε δοκεῖ, ἔφη, ὁ μὴ εἰδὼς τὴν ἑαυτοῦ δύναμιν ἀγνοεῖν ἑαυτόν. Ἐκεῖνο δὲ οὐ φανερόν, ἔφη, ὅτι διὰ μὲν τὸ εἰδέναι ἑαυτοὺς πλεῖστα ἀγαθὰ ἴσχουσιν ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν πλεῖστα κακά; οἱ μὲν γὰρ εἰδότες ἑαυτοὺς τὰ ἐπιτήδεια ἑαυτοῖς ἴσασι καὶ διαγιγνώσκουσιν ἅ τε δύνανται καὶ ἃ μή. καὶ ἃ μὲν ἐπίστανται πράττοντες πορίζονταί τε ὧν

1 *νὴ δί'* S Xen.: *νὴ δία* Tr., inde vulg. ‖ 2 *τὸ* tacite e Xen. addidit Gesn.¹, inde vulg. ‖ 4 *ἐμέλησεν* Tr. p. 134 Xen.: *ἐμέλλησεν* S | *σαυτὸν* Xen. ‖ 6 *τοῦτο πάνυ*] *πάνυ τοῦτό γε* Xen. | v. *γὰρ ἂν* usque ad *πότερα* in textu omissa adscripsit in margine S¹ | *ᾔδη* L. Dindorf in Xen. ‖ 7 *ἐγίνωσκον* S ‖ 8 *τοὔνομα τὸ ἑαυτοῦ μόνον* Xen. ‖ 10 *ὃν ἂν* etiam A, fallitur Gaisford ‖ 11 *πότερον* A Tr. Xen.: *πρότερον* S | *δυσπειθὴς* S Xen.: *ἀπειθὴς* ex *ἀσθενὴς* corr. A m. rec. ‖ 14 *οὕτως* Xen.: *οὗτος* (om. *ὁ*) S M[d] *οὕτως ὁ* A ‖ 16. 17 *αὑτοῦ* Xen. ‖ 16 v. *οὗτος* (sic) *ἔμοιγε* — 20 *πλεῖστα κακά* recurrunt Maxim. c. 56 p. 663 Combef. (lemmate non iterato post Xenophonteam eclogam) | pro *οὕτως* compendium S quod *οὗτος* significare videtur Meklero ‖ 18 *αὑτοὺς* A ‖ 19 *πάσχουσιν* Xen. ‖ 20 *οἱ μὲν γὰρ* — 563, 2 *τὸ κακῶς πράττειν* recurrunt Maxim. c. 56 p. 663 Combef. (ante ecl. *οὗτος ἔμ.*), cum lemm. *Ξενοφῶντος* | *τά τε ἐπιτ.* Xen. ‖ 21 *αὑτοῖς* A | *ἴσασιν* S M[d] ‖ 22 *τε* om. A

δέονται καὶ εὖ πράττουσιν, ὧν δὲ μὴ ἐπίστανται ἀπεχόμενοι ἀναμάρτητοι γίγνονται καὶ διαφεύγουσι τὸ κακῶς πράττειν· διὰ τὸ αὐτὸ δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους δυνάμενοι δοκιμάζειν καὶ διὰ τῆς τῶν ἄλλων χρείας τά τε ἀγαθὰ πορίζονται καὶ τὰ κακὰ φυλάττονται. οἱ δὲ μὴ εἰδότες, ἀλλὰ διεψευσμένοι τῆς αὐτῶν δυνάμεως πρός τε τοὺς ἄλλους ἀνθρώπους καὶ τἄλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται, καὶ οὔτε ὧν δέονται ἴσασιν οὔτε ὅ τι πράττουσιν οὔτε οἷς χρῶνται, ἀλλὰ πάντων τούτων διαμαρτάνοντες τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι καὶ τοῖς κακοῖς περιπίπτουσι. καὶ οἱ μὲν εἰδότες ὅ τι ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν πράττουσιν, εὔδοξοί τε καὶ τίμιοι γίγνονται· καὶ οἵ τε ὅμοιοι τούτοις ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες τῶν πραγμάτων ἐπιθυμοῦσι καὶ ἐλπίδας τῶν ἀγαθῶν ἐν τούτοις ἔχουσι, καὶ διὰ ταῦτα πάντων μάλιστα τούτους ἀγαπῶσιν. οἱ δὲ μὴ εἰδότες τί ποιοῦσι, κακῶς τε αἱρούμενοι καὶ οἷς ἂν ἐπιχειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐτοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται, ἀλλὰ καὶ ἀδοξοῦσι διὰ ταῦτα καὶ καταγέλαστοι γίγνονται καὶ καταφρονούμενοι καὶ ἀτιμαζόμενοι ζῶσιν. ὁρᾷς δὲ καὶ τῶν πόλεων ὅτι ὅσαι ἂν ἀγνοήσασαι τὴν ἑαυτῶν δύναμιν κρείττοσι πολεμήσωσιν,

3 *τὸ αὐτὸ* S$\mathrm{M^d}$A (*bene* monet Gilbert): *τοῦτο* Xen. fort. *ταὐτὸ* | *ἄλλους ἀνθρώπους* $\mathrm{M^d}$ A Xen.: *αλ̄λ̄ους* errore perspicuo S ‖ 5 γ^{ε} pro *τε* A | *κὰ* pro *κακὰ* $\mathrm{M^d}$ ‖ 6 *ἀλλ' οἱ* A ‖ 10. 11 *-σιν* $\mathrm{M^d}$ ‖ 12 *εὔδοξοι* S $\mathrm{M^d}$ Xen.: *ἔνδοξοι* A ‖ 13 *γίνονται* $\mathrm{M^d}$ ‖ 14 *ἐπιθυμοῦσι(ν) καὶ* S$\mathrm{M^d}$A: *ἐπιθυμοῦσι τούτου* (*τούτους* ut libri Xen. Gesn.[3] p. 178) *ὑπὲρ αὐτων* (debuit *αὑτῶν*) *βουλεύεσθαι καὶ προΐστασθαί τε ἑαυτῶν τούτους καὶ* e Xen. Gesn.[1] p. 164, inde vulg. immerito receperunt Gaisford et Meineke. nam haec ipsa vitio non immunia sunt. vix autem sufficiunt quae proposuit Stephanus *ἐπιθυμοῦσι τούτους ὑπὲρ αὑτῶν βουλεύεσθαι, καὶ προΐστασθαί γε* (*δὲ* Schenkl) *αὑτῶν τούτους ⟨ἐθέλουσι⟩ καὶ* | *καὶ τὰς ἐλπ.* Xen. ‖ 15 *διὰ πάντα ταῦτα πάντων* libri Xenophontis ‖ 16 *ὅ τι* (pro *τί*) Xen. ‖ 17 *ποιοῦσιν* S$\mathrm{M^d}$ | *τε* S$\mathrm{M^d}$A quod Xenophonti vindicavit Gilbert: *δὲ* libri Xen. ‖ 18 *ἐν ἑαυτοῖς* libri Xenophontis ‖ 19 *τε* om. $\mathrm{M^d}$ | *ἀδοξοῦσιν* S$\mathrm{M^d}$ ‖ 21 *ἂν* S$\mathrm{M^d}$A: *ἐὰν* libri Xenophontis ‖ 22 *-σιν* $\mathrm{M^d}$

αἱ μὲν ἀνάστατοι γίγνονται, αἱ δὲ ἐξ ἐλευθέρων δοῦλαι. καὶ ὁ Εὐθύδημος, ὡς πάνυ μοι δοκοῦν, ὦ Σώκρατες, ἔφη, περὶ πολλοῦ ποιητέον εἶναι τὸ ἑαυτὸν γιγνώσκειν, οὕτως ἴσθι· ὁπόθεν δὲ χρὴ ἄρξασθαι ἐπισκοπεῖν ἑαυτόν, τοῦτο πρὸς σὲ ἀποβλέπω εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, τὰ μὲν ἀγαθὰ καὶ τὰ κακὰ ὁποῖά ἐστι πάντως που γιγνώσκεις; Νὴ Δί', ἔφη· εἰ γὰρ μηδὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων φαυλότερος ἂν εἴην. Ἴθι δή, ἔφη, καὶ ἐμοὶ ἐξήγησαι ταῦτα. Ἀλλ' οὐ χαλεπόν, ἔφη· πρῶτον μὲν γὰρ τὸ ὑγιαίνειν ἀγαθὸν εἶναι νομίζω, τὸ δὲ νοσεῖν κακόν. ἔπειτα τὰ αἴτια ἑκατέρου αὐτῶν καὶ ποτὰ καὶ βρωτὰ καὶ ἐπιτηδεύματα τὰ μὲν πρὸς τὸ ὑγιαίνειν φέροντα ἀγαθά, τὰ δὲ πρὸς τὸ νοσεῖν κακά. Οὐκοῦν, ἔφη, καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη, ὅταν δὲ κακοῦ, κακά; Πότε δ' ἄν, ἔφη, τὸ μὲν ὑγιαίνειν κακοῦ αἴτιον γένοιτο, τὸ δὲ νοσεῖν ἀγαθοῦ; Ὅταν νὴ Δί', ἔφη, στρατείας τε αἰσχρᾶς καὶ ναυτιλίας βλαβερᾶς καὶ ἄλλων πολλῶν τοιούτων οἱ μὲν διὰ ῥώμην μετασχόντες ἀπόλωνται, οἱ δὲ δι' ἀσθένειαν ἀπολειφθέντες σωθῶσιν. Ἀληθῆ λέγεις· ἀλλ' ὁρᾷς, ἔφη, ὅτι καὶ τῶν ὠφελίμων οἱ μὲν διὰ ῥώμην μετέχουσιν, οἱ δὲ δι' ἀσθένειαν ἀπολείπονται. Ταῦτα οὖν, ἔφη, ποτὲ μὲν ὠφελοῦντα, ποτὲ δὲ βλάπτοντα, τί μᾶλλον ἀγαθὰ ἢ κακά ἐστιν; Οὐδὲν μὰ

---

1 *αἱ δὲ ἄν.* Tr. p. 135, ubi mox *δοῦλοι* et *δοκεῖς*, inde vulg. ‖ 2 *ὦ Σώκρατες ἔφη* SM[d] A cum Xenophontis non nullis: *ἔφη ὦ Σώκρατες* Xen. ‖ 3 *ἑαυτὸν* S A Xen.: *ἑαυτοῦ* M[d] ‖ 4 v. *οὕτως ἴσθι* — 16 *δὲ κακοῦ, κακά* om. M A ‖ 7 *γινώσκεις* libri ‖ 9 *ἐξήγησαι αὐτά* Xen. ‖ 10 *μὲν γὰρ αὐτὸ τὸ ὑγιαίνειν* Xenophontis cod. Paris. 1740: Stobaei lectionem commendat Cobet n. l. p. 703 ‖ 11 *ἔπειτα καὶ τὰ αἴτια* scribunt in Xen. ex duobus libris Xen. ‖ 16 *πότε δ' ἂν κτἑ.* tamquam sui iuris eclogam constituunt novo lemm. *τοῦ αὐτοῦ* praemisso MA ‖ 18 *στρατείας* Xen.: *στρατιᾶς* libri Stob. | *ναυτιλλίας* S ‖ 20 *ἀπώλονται* M[d] : *σώζωνται* corr. S[1] *θῶσιν* (*σωθῶσιν*) M[d] A Xen.: *σώζωνται* Tr., inde vulg. ‖ 21 *ὅτι καὶ* SM[d] Xen.: *καὶ* A ‖ 23 *ταῦτα* M ut testatur L. Dindorf ed. Ox. praef. p. XXIX Xen.: *τὰ* SA ‖ 24 *τί* (vel *τι*) *μᾶλλον* libri Stob. Xeno-

Δία φαίνεται κατά γε τοῦτον τὸν λόγον. ἀλλ' ἥ γέ τοι σοφία, ὦ Σώκρατες, ἀναμφισβητήτως ἀγαθόν ἐστιν· ποῖον γὰρ ἄν τις πρᾶγμα οὐ βέλτιον πράττοι σοφὸς ὢν ἢ ἀμαθής; Τί δαί; τὸν Δαίδαλον, ἔφη, οὐκ ἀκήκοας ὅτι ληφθεὶς ὑπὸ Μίνω διὰ τὴν σοφίαν ἠναγκάζετο ἐκείνῳ δουλεύειν, καὶ τῆς τε πατρίδος ἅμα καὶ τῆς ἐλευθερίας ἐστερήθη, καὶ ἐπιχειρῶν ἀποδιδράσκειν μετὰ τοῦ υἱοῦ τόν τε παῖδα ἀπώλεσε καὶ αὐτὸς οὐκ ἠδυνήθη σωθῆναι, ἀλλ' ἀπενεχθεὶς εἰς τοὺς βαρβάρους, πάλιν ἐκεῖ ἐδούλευεν; Λέγεται νὴ Δί', ἔφη, ταῦτα. Τὰ δὲ Παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν ὡς διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ἀπόλλυται. Λέγεται καὶ ταῦτα, ἔφη. Ἄλλους δὲ πόσους οἴει διὰ σοφίαν ἀνασπάστους πρὸς βασιλέα γεγονέναι καὶ ἐκεῖ δουλεύειν; Κινδυνεύει, ἔφη, ὦ Σώκρατες, ἀναμφιλογώτατον ἀγαθὸν εἶναι τὸ εὐδαιμονεῖν. Εἴ γε μή τις αὐτό, ἔφη, ὦ Εὐθύδημε, ἐξ ἀμφιλόγων ἀγαθῶν συντιθείη. Τί δ' ἄν, ἔφη, τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη; Οὐδέν, ⟨ἔφη,⟩ εἴ γε μὴ προσθήσομεν αὐτῷ κάλλος ἢ ἰσχὺν ἢ πλοῦτον ἢ δόξαν ἤ καί τι ἄλλο τῶν τοιούτων. Ἀλλὰ νὴ Δία προσθήσομεν, ἔφη· πῶς γὰρ ἄν τις ἄνευ τούτων εὐδαίμων εἴη; Νὴ Δί', ἔφη, προσθήσομεν ἄρα, ἐξ ὧν πολλὰ καὶ χαλεπὰ συμβαίνει τοῖς ἀνθρώποις· πολλοὶ μὲν γὰρ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινημένων διαφθείρονται, πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις ἐπιχειροῦντες οὐ μικροῖς

---

phonti vindicat propter insequens *Οὐδὲν* Gilbert: *μᾶλλον* libri Xen. e Xen. tacite Gesn.[1], inde vulg.

1 *κατά τε τ.* A ‖ 4 *δαὶ* S M[d] Xenophontis non nulli: *δὲ* A Xen. | *ληφθεὶς* M[d] A Tr. Xen.: *ληφεὶς* S ‖ 5 *μίνωϊ* M[d] A ‖ 7 *ἐπιδιδράσκειν* A ‖ 8 *ἀπώλεσεν* S M[d] | *ἠδυνήθη* S libri Xen.: *ἐδυνήθη* M[d] A ‖ 10 *ἔφη* supra lin. A | *οὐχακήοας* A, fallitur Gaisford ‖ 13 *ἀναρπάστους* non nulli Xenophontis ‖ 15 *ἀναμφιλογώτατον* ex *-τατα* em. A | *εἶναι καὶ τὸ εὐδ.* A ‖ 17 *συντιθείη* L. Dindorf: *συντιθη* sine acc. S *συντιθῇ* M[d] *συντιθεῖ* A *συνθείη* vel *συντεθείη* libri Xen. ‖ 18 *ἔφη* tacite ex Xen. addidit Gesn.[1] p. 164, inde vulg. ‖ 21 *εὐδαιμονοίη* Xen. ‖ 22 post *προσθήσομεν* distinguit, tum *ἄρ'* A ‖ 24 *παρακεκινηκότων* Xen.

[redacted]

κακοῖς περιπίπτουσιν, πολλοὶ δὲ διὰ τὸν πλοῦτον διαθρυπτόμενοί τε καὶ ἐπιβουλευόμενοι ἀπόλλυνται, πολλοὶ δὲ διὰ δόξαν καὶ πολιτικὴν δύναμιν μεγάλα κακὰ πεπόνθασιν. Ἀλλὰ μήν, ἔφη, εἴ γε μηδὲ τὸ εὐδαιμονεῖν ἐπαινῶν ὀρθῶς λέγω, ὁμολογῶ μηδὲ ὅ τι πρὸς τοὺς θεοὺς εὔχεσθαι χρὴ εἰδέναι. Ἀλλὰ ταῦτα μέν, ἔφη ὁ Σωκράτης, ἴσως διὰ τὸ σφόδρα πιστεύειν εἰδέναι οὐδ' ἔσκεψαι.

22 *Πλάτωνος ἐκ τοῦ Φιλήβου* (p. 48 C).

Τῆς δ' αὖ πάσης πονηρίας ἐστὶ τοὐναντίον πάθος ἔχον, ἢ τὸ λεγόμενον ὑπὸ τῶν ἐν Δελφοῖς γραμμάτων. — Τὸ Γνῶναι σαυτὸν λέγεις, ὦ Σώκρατες; — Ἔγωγε. τοὐναντίον μὴν ἐκεῖνο δῆλον ὅτι τὸ μηδαμῇ γινώσκειν αὐτὸν λεγόμενον ὑπὸ τοῦ γράμματος ἂν εἴη. — Τί μήν; — Ὦ Πρώταρχε, πειρῶ δὲ αὐτὸ τοῦτο τριχῇ τέμνειν. — Πῇ φῄς; οὐ γὰρ μὴ δυνατὸς ὦ. — Λέγεις δὴ δεῖν ἐμὲ τοῦτο διελέσθαι τὰ νῦν; — Λέγω καὶ δέομαί γε πρὸς τῷ λέγειν. — Ἆρ' οὖν οὐ τῶν ἀγνοούντων αὐτοὺς κατὰ τρία ἀνάγκη τοῦτο τὸ πάθος πάσχειν ἕκαστον; — Πῶς; — Πρῶτον μὲν κατὰ χρήματα δοξάζειν εἶναι πλουσιώτερον ἢ κατὰ τὴν αὐτῶν οὐσίαν. — Πολλοὶ γοῦν εἰσι τοιοῦτον πάθος ἔχοντες. — Πλείους δέ γε, οἳ μείζους καὶ καλλίους αὐτοὺς δοξάζουσι καὶ πάντα ὅσα κατὰ τὸ σῶμα εἶναι διαφερόντως τῆς οὔσης αὐτοῖς ἀληθείας. — Πάνυ γε. — Πολὺ δὲ πλεῖστοί γε, οἶμαι, περὶ τὸ τρίτον εἶδος τούτων ἐν ταῖς ψυχαῖς διημαρτήκασιν, ἀρετῇ δοξάζοντες βελτίους ἑαυτοὺς οὐκ ὄντες. — Σφόδρα μὲν οὖν. — Τῶν ἀρετῶν

δια
1 *ἐπιθρυπτόμενοι* A corr. A¹ ‖ 4 *μηδὲ*] *μὴ* A ‖ 5 *μηδὲ* inter in. A ‖ 6 *ὁ* om. Mᵈ ‖ 7 *οὐδεσκέψαι* Mᵈ ‖ 8 ecl. cum lemm. hab. S M A ‖ 9 *Τῆς δ' αὖ πάσης — πρὸς τῷ λέγειν* (17) om. M A ‖ 14 *δὲ* S Platonis B alii: *δὴ* Platonis vulg., inde tacite Gesn.¹ p. 166, vulg. ‖ 16 *τῷ λ.* tacite ex Plat. Gesn.¹, inde vulg.: *τὸ λ.* S Platonis non nulli ‖ 17 *αὐτοὺς* Mᵈ A Plat.: *αὑτοὺς* S ‖ 20 *αὐτῶν* S Mᵈ Plat.: *αὐτοῦ* A | *τὸ τοιοῦτον* Plat. | *τοιοῦτον* Mᵈ A Plat.: *τοιοῦτο* S ‖ 21 *οἳ* S A Plat.: *οἷ γε* Mᵈ; *ἢ* Tr. p. 136, inde vulg. ‖ 22 *δοξάζουσιν* S | 23 *διαφερόντως* S Plat.: *διαφέροντας* Mᵈ A ‖ 24 *πολλὺ* Mᵈ ‖ 25 *ἀρετη* sine acc. S *ἀρετὴν* Plat. ‖ 26 *Σφόδρα μὲν οὖν κτέ.* om. M A

δ' ἆρα οὐ σοφίας πέρι τὸ πλῆθος πᾶν ἀντεχόμενον, μεστὸν ἐρίδων καὶ δοξοσοφίας ἐστὶ ψευδοῦς; — Πῶς δ' οὔ; — Κακὸν μὲν δὴ πᾶν ἄν τις τὸ τοιοῦτον εἰπὼν ὀρθῶς ἂν εἴποι πάθος. — Σφόδρα γε.

23 *Πλάτωνος Ἀλκιβιάδου α'* (p. 127 E—p. 131 D).

Φέρε δή, τί ἐστι τὸ ἑαυτοῦ ἐπιμελεῖσθαι; μὴ πολλάκις λάθωμεν οὐχ ἡμῶν αὐτῶν ἐπιμελούμενοι, οἰόμενοι δέ· καὶ πότ' ἆρ' αὐτὸ ποιεῖ ἅνθρωπος; ἆρ' ὅταν τῶν ἑαυτοῦ ἐπιμελῆται, τότε καὶ αὐτοῦ; — Ἐμοὶ γοῦν δοκεῖ. — Τί δαί; ποδῶν ἅνθρωπος πότε ἐπιμελεῖται; ἆρ' ὅταν ἐκείνων ἐπιμελῆται ἅ ἐστι τῶν ποδῶν; — Οὐ μανθάνω. — Καλεῖς δέ τι χειρός· οἷον δακτύλιον ἔστιν ὅτου ἂν ἄλλου τῶν τοῦ ἀνθρώπου φαίης ἢ δακτύλου; — Οὐ δῆτα. — Οὐκοῦν καὶ ποδὸς ὑπόδημα τὸν αὐτὸν τρόπον; — Ναί. — [Καὶ ἱμάτια καὶ στρώματα τοῦ ἄλλου σώματος ὁμοίως; — Ναί.] — Ἆρ' οὖν ὅταν ὑποδημάτων ἐπιμελώμεθα, τότε ποδῶν ἐπιμελούμεθα; — Οὐ πάνυ μανθάνω, ὦ Σώκρατες. — Τί δ', ὦ Ἀλκιβιάδη; ὀρθῶς ἐπιμελεῖσθαι καλεῖς τι ὁτουοῦν πράγματος; — Ἔγωγε. — Ἆρ' οὖν ὅταν τις βέλτιον ποιῇ, τότε ὀρθὴν λέγεις ἐπιμέλειαν; — Ναί. — Τίς οὖν τέχνη ὑποδήματα βελτίω ποιεῖ; — Σκυτική. — Σκυτικῇ ἄρα ὑποδημάτων ἐπιμελούμεθα; — Ναί. — Ἦ καὶ ποδὸς σκυτικῇ, ἢ ἐκείνῃ ᾗ πόδας βελτίους ποιοῦμεν;

1 *ἆρ'* Plat.: *ἄρα* S | *πέρι* S: *περὶ* Tr. | *πάντως* Plat. || 5 ecl. cum lemm. hab. S M A || 6 *Φέρε δή* usque ad p. 571, 19 *πάνυ μὲν οὖν* om. M[d] A | *ἑαυτοῦ* tacite ex Plat. Gesn.[1] p. 166, inde vulg.: *ἐμαυτοῦ* S || 8 *πότ' ἆρ'* scripsi: *πότερ'* S *πότερον* Tr. *πότ' ἄρα* Plat.; *πότε ἄρα* tacite ex Platonis Ald. Gesn.[1], inde vulg. | *αὐτὸ ποιεῖ* S Platonis B: *ποιεῖ αὐτὸ* Platonis T | *ἅνθρωπος* (hic et 10) Schanz: *ἄνθρωπος* (hic et 10) Stob., Plat. || 9 *ἑαυτοῦ* S Platonis T, *αὑτοῦ* Platonis B | post *ἐπιμελῆται* rasura non nulla deleta sunt S, an fuerat *ἐπιμελῆται, ἐπιμελεῖται*? | *αὑτοῦ* S Platonis B, *ἑαυτοῦ* Platonis T | *ἐμοὶ γοῦν* scripsi ex Plat.: *ἔμοιγ' οὖν* S || 10 *δαὶ* S Platonis T: *δὲ* Platonis B || 12 *δή τι* temere Gesn.[1], inde vulg. | *χειρός* Plat.: *χερός* S || 15 v. *Καὶ ἱμάτια — ναί* quae ignorat Plat. circumscripsi | *ἱμάτια* (ον superscr.), corr. S[1] || 18 *δ'* reposui ex S Plat.: *δαὶ* Tr. p. 137, inde vulg. || 19 *τις* S Platonis B, *τις τι* Platonis T

θαριστὴς κιθαρίζει καὶ αὐτὸς ὁ καθαριστὴς ἄλλο ἂν εἴη; — Ναί. — Τοῦτο τοίνυν ἀρτίως ἠρώτων, εἰ ὁ χρώμενός τε καὶ ᾧ χρῆται ἀεὶ δοκεῖ ἕτερον εἶναι. — Δοκεῖ. — Τί οὖν; φῶμεν τὸν σκυτοτόμον τέμνειν ὀργάνοις μόνον ἢ καὶ χερσί; — Καὶ χερσί. — Χρῆται ἄρα καὶ ταύταις; — Ναί. — Ἦ καὶ τοῖς ὀφθαλμοῖς χρώμενος σκυτοτομεῖ; — Ναί. — Τὸν δὲ χρώμενον καὶ οἷς χρῆται ἕτερα ὁμολογοῦμεν; — ⟨Ναί.⟩ — Ἕτερον ἄρα σκυτοτόμος καὶ κιθαριστὴς χειρῶν καὶ ὀφθαλμῶν οἷς ἐργάζονται; — Φαίνεται. — Οὐκοῦν καὶ παντὶ τῷ σώματι χρῆται ἄνθρωπος; — Πάνυ γε. — Ἕτερον δ' ἦν τό τε χρώμενον καὶ ᾧ χρῆται; — Ναί. — Ἕτερον ἄρ' ἄνθρωπός ἐστι τοῦ ἑαυτοῦ σώματος; — Ἔοικεν. — Τί ποτ' οὖν ἐστιν ἄνθρωπος; — Οὐκ ἔχω λέγειν. — Ἔχεις μὲν οὖν, ὅτι γε ⟨τὸ⟩ τῷ σώματι χρώμενον. — Ναί. — Ἦ οὖν ἄλλο τι χρῆται αὐτῷ ἢ ψυχή; — Οὐκ ἄλλο. — Οὐκοῦν ἄρχουσα; — Ναί. — Καὶ μὴν τόδε γ' οἶμαι οὐδένα ἂν ἄλλως οἰηθῆναι. — Τὸ ποῖον; — Μὴ οὐ τριῶν ἕν γέ τι εἶναι τὸν ἄνθρωπον. — Τίνων; — Ψυχὴν ἢ σῶμα ἢ συναμφότερον, τὸ ὅλον τοῦτο. — Τί μήν; — Ἀλλὰ μὴν αὐτό γε ⟨τὸ⟩ τοῦ σώματος ἄρχον ὡμολογήσαμεν ἄνθρωπον εἶναι; — Ὡμολογήσαμεν. — Ἆρ' οὖν σῶμα αὐτὸ αὑτοῦ ἄρχει; — Οὐδαμῶς. — Ἄρχεσθαι γὰρ αὐτὸ εἴπομεν; — ⟨Ναί.⟩ — Οὐκ ἂν δὴ τοῦτό γε εἴη τὸ ζητούμενον. — Οὐκ

---

3 *τε* recte om. Platonis B ‖ 8 *ναί* tacite ex Plat. addidit Gesn.[1], inde vulg. ‖ 10 *ἄνθρωπος* Schanz: *ἄνθρωπος* S Platonis B T ‖ 11 *δ' ἦν* S Platonis B, *δὴ* Platonis T ‖ 12 *ἄνθρωπος* Bekker: *ἄνθρωπος* S Platonis B T; *ὁ ἄνθρωπος* Gesn.[1], inde vulg. | *τοῦ ἑαυτοῦ σώματος* S Platonis T: *τοῦ σώματος τοῦ ἑαυτοῦ* Platonis B ‖ 13 *ποτ' οὖν* ex *ποτε δ'* corr. S[1] | *ἐστιν* om. Plat. | *ἄνθρωπος* Bekker: *ἄνθρωπος* S, *ὁ ἄνθρωπος* Platonis B T ‖ 14 *τὸ* addidi ex Plat. ‖ 15 *ἢ ψυχή* tacite Gesn.[1] ex Plat., ubi *εἰ ψυχὴ* B: *ἡ ψυχὴ* S ‖ 18 *ἢ καὶ συναμφ.* temere Gesn.[1], inde vulg. ‖ 19 *αὐτό γε* tacite ex Plat. Gesn.[1], inde vulg.: *οὐ τό γε* S ‖ 20 *τὸ* tacite ex Plat. addidit Gesn.[1], inde vulg. | *ὡμολογήσαμεν* S Plat. B: *ὡμολογήσαμεν τίς οὖν ὁ ἄνθρωπος* Plat. T; glossema ex Platonis vulg. addidit Gesn.[1], inde Stobaei vulg. ‖ 22 *αὐτὸ* tacite ex Plat. Gesn.[1], inde vulg.: *αὐτὰ* S ‖ 23 *ναί* tacite ex Plat. addidit Gesn.[1], inde vulg. | *τὸ ζητούμενον* S: *ὃ ζητοῦμεν* Plat.

ἔοικεν. — Ἀλλὰ τὸ συναμφότερον τοῦ σώματος ἄρχει, καὶ ἔστι δὴ τοῦτο ὁ ἄνθρωπος; — Ἴσως δῆτα. — Πάντων γε ἥκιστα· μὴ γὰρ συνάρχοντος τοῦ ἑτέρου οὐδεμία που μηχανὴ τὸ συναμφότερον ἄρχειν. — Ὀρθῶς. — Ἐπειδὴ δὲ οὔτε τὸ σῶμα οὔτε τὸ συναμφότερόν ἐστιν ἄνθρωπος, λείπεται, οἶμαι, ἢ μηδὲν αὐτὸ εἶναι, ἢ εἴπερ τί ἐστι, μηδὲν ἄλλο ⟨τὸν⟩ ἄνθρωπον συμβαίνειν ἢ ψυχήν. — Κομιδῆ μὲν οὖν. — Ἔτι οὖν σαφέστερον δεῖ ἀποδειχθῆναί σοι, ὅτι ⟨ἡ⟩ ψυχή ἐστιν ἄνθρωπος; — Μὰ Δί', ἀλλ' ἱκανῶς μοι δοκεῖ ἔχειν. — Εἰ δέ γε μὴ ἀκριβῶς ἀλλὰ καὶ μετρίως, ἐξαρκεῖ ἡμῖν· ἀκριβῶς μὲν γὰρ εἰσόμεθα τότε, ὅταν εὕρωμεν ὃ νῦν δὴ παρήλθομεν διὰ τὸ πολλῆς εἶναι σκέψεως. — Τί τοῦτο; — Ὃ ἄρτι οὕτω πως ἐρρήθη, ὅτι πρῶτον σκεπτέον εἴη αὐτὸ τὸ αὐτό· νῦν δ' ἀντὶ τοῦ αὐτοῦ † αὐτὸν ἕκαστον ἐσκέμμεθα ὅ τι ἐστίν, καὶ ἴσως ἐξαρκέσει· οὐ γάρ που κυριώτερόν γε οὐδὲν ἂν ἡμῶν αὐτῶν φήσαιμεν ἢ τὴν ψυχήν. — Οὐ δῆτα. — Οὐκοῦν καλῶς ἔχει οὕτω νομίζειν, ἐμὲ καὶ σὲ προσομιλεῖν ἀλλήλοις τοῖς λόγοις χρωμένους τῇ ψυχῇ πρὸς τὴν ψυχήν; — Πάνυ μὲν οὖν. — Τοῦτο δ' ἄρα ἦν, ὃ ἔγωγε καὶ ὀλίγῳ ἔμπροσθεν εἶπον, ὅτι Σωκρά-

1 *ἀλλὰ* S: *ἀλλ' ἄρα* (ubi *ἆρα* Platonis T) Plat.; *ἀλλὰ ἆρα* tacite ex Plat. Gesn.[1], inde vulg. ‖ 2 *ἔστι δὴ τοῦτο* S Platonis B *ἔστιν τοῦτό γε* Platonis T | *ὁ* om. Plat. ‖ 3 *συνάρχοντος* S Platonis B *οὖν ἄρχοντος* Platonis T ‖ 5 *τὸ σῶμα* S Platonis T, *σῶμα* Platonis B ‖ 6 *ἢ μηδὲν* S Platonis T, *μηδὲν* Platonis B | *μηδὲν* — *ἐστι* delet Hermann ‖ 7 *τὸν* tacite ex Plat. addidit Gesn.[1], inde vulg. ‖ 8 *ἔτι οὖν* S: *ἔτι οὖν τι* Plat. ‖ 9 *ἡ* tacite ex Plat. addidit Gesn.[1], inde vulg. ‖ 10 *ἀκριβῶς ἀλλὰ καὶ μετρίως* S Platonis T: *ἀκριβῶς* Platonis B ‖ 11 *γὰρ τότε εἰσ.* Plat. ‖ 13 *οὕτω* prius omissum inseruit S[1] ‖ 14 *τὸ αὐτὸ* ex Plat. tacite Gesn.[1], inde vulg.: *τοῦ αὐτοῦ* S | *δ'* S, *δὲ* Platonis B, *δὴ* Platonis T | *τοῦ αὐτοῦ* S Plat.: *τοῦ αὐτοῦ αὐτοῦ* (vel *αὐτοῦ τοῦ αὐτοῦ*) Schleiermacher | *αὐτὸν* S, *αὐτὸν* Plat.: *αὐτὸ* Stephanus; *τοῦ αὐτοῦ καθ' αὑτὸ* Stallbaum ‖ 15 *ὅτι* S Platonis B, *τί* Platonis T ‖ 19 *τῇ ψυχῇ*] *τὴν ψυχὴν* Dobree adv. I p. 156 | *τοῦτο δ' ἄρα*] abhinc ordiuntur M A | *τοῦτο δ' ἄρα* S M[d] A, *τοῦτ'* (*τοῦτο* Platonis B) *ἄρ'* (*ἄρα* Platonis T) Plat. ‖ 20 *ὃ ἔγωγε καὶ ὀλίγῳ* (*ὀλίγω* ex *ὀλίγον* corr. S[1]) *ἔμπροσθεν εἶπον* scripsi ex S M[d] A; *ὃ καὶ ὀλίγῳ ἔμπροσθεν εἴπομεν* tacite ex Plat. Gesn.[1], inde vulg.

[redacted]

της Ἀλκιβιάδῃ διαλέγεται λόγῳ χρώμενος, οὐ πρὸς τὸ σὸν πρόσωπον, ὡς ἔοικεν, ἀλλὰ πρὸς τὸν Ἀλκιβιάδην ποιούμενος τοὺς λόγους· τοῦτο δ' ἐστὶν ⟨ἡ⟩ ψυχή. — Ἐμοὶ γοῦν δοκεῖ. — Ψυχὴν ἄρα ἡμᾶς κελεύει γνωρίζειν [καὶ] ὁ ἐπιτάττων γνῶναι ἑαυτόν. — Ἔοικεν. — Ὅστις ἄρα τῶν τοῦ σώματός τι γιγνώσκει, τὰ αὑτοῦ ἀλλ' οὐχ ἑαυτὸν ἔγνωκεν. — Οὕτως. — Οὐδεὶς ἄρα τῶν ἰατρῶν ἑαυτὸν γιγνώσκει, καθ' ὅσον ἰατρός, οὐδὲ τῶν παιδοτριβῶν, καθ' ὅσον παιδοτρίβης. — Οὐκ ἔοικεν. — Πολλοῦ ἄρα δέουσιν οἱ γεωργοὶ καὶ οἱ ἄλλοι δημιουργοὶ γιγνώσκειν ἑαυτούς· οὐδὲ γὰρ τὰ ἑαυτῶν οὗτοί γε, ὡς ἔοικε, γιγνώσκουσιν, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτῶν κατά γε τὰς τέχνας ἃς ἔχουσιν· τὰ γὰρ τοῦ σώματος γιγνώσκουσιν, οἷς τοῦτο θεραπεύεται. — Ἀληθῆ λέγεις. — Εἰ ἄρα σωφροσύνης ἐστὶ τὸ ἑαυτὸν γιγνώσκειν, οὐδεὶς τούτων σώφρων κατὰ τὴν τέχνην. — Οὔ μοι δοκεῖ. — Διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι, καὶ οὐκ ἀνδρὸς ἀγαθοῦ μαθήματα. — Πάνυ μὲν οὖν. — Οὐκοῦν πάλιν ὅστις αὖ σῶμα θεραπεύει, τὰ ἑαυτοῦ ἀλλ' οὐχ ἑαυτὸν

---

1 λόγῳ om. Platonis B ‖ 3 ἡ tacite ex Plat. addidit Gesn.[1], inde vulg. | ἐμοὶ γοῦν scripsi: ἔμοιγ' (vel ἔμοιγ) οὖν S M[d] A, ἔμοιγε Plat. ‖ 4 κελεύειν M[d] | γνωρίσαι Plat. | καὶ ὁ ἐπιτάττων S M[d] A: ὁ ἐπιτάττων tacite ex Plat. Gesn.[1], inde vulg. scripserim γνωρίσαι ὁ ἐπιτάττων, nam καὶ istud ortum videtur ex vetere correctione γνωρίζειν (σαι sup.) ‖ 5 ὅστις ἄρα S M[d] Plat.: ἄρα ὅστις A ‖ 6 τι om. Plat. | αὑτοῦ reposui ex S Platonis B: αὐτοῦ M[d] (Tr. p. 139, inde vulg.) Platonis T αὐτῶν A | ἑαυτὸν S M[d] A αὑτὸν Plat. ‖ 7 γινώσκει, ἑαυτὸν sup. lin. S, ἑαυτὸν γιγνώσκει M[d] Plat., ubi γιγνώσκειν B C, γιγνώσκει ἑαυτὸν A ‖ 11 οὐδὲ tacite ex Plat. Gaisford: οὔτε S M[d] A | οὗτοί γε ὡς ἔοικε (ἔοικε M[d]) γιγνώσκουσιν S M[d] (ὡς ἔοικε γίγν. (sic)), ὡς ἔοικεν οὗτοί γε γινώσκουσιν A: οὗτοί γε ὡς ἔοικεν Plat. ‖ 14 σωφροσύνης S M[d] A; σωφροσύνη tacite ex Plat. Gesn.[1], inde vulg. ‖ 16 δὴ ex δεῖ corr. S[1] ‖ 17 αὗται M[d] Tr. Plat.: ταῦται S A ‖ 18 πάλιν ὅστις αὖ S M[d] Plat.: αὖ ὅστις (om. πάλιν) A ‖ 19 v. ὅστις σῶμα (sic) — 573, 2 τῶν ἑαυτοῦ iam supra leguntur III 18, 36 (Πλάτωνος), ubi vide | τὰ ἑαυτοῦ reposui ex S Platonis B: τὸ

θεραπεύει; — Κινδυνεύει. — Ὅστις δέ γε τὰ χρήματα, οὔτε ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτοῦ; — Ἔμοιγε δοκεῖ. — Οὐ τὰ αὑτοῦ ἄρ' ἔτι πράττει ὁ χρηματιστής. — Ὀρθῶς. — Εἰ δ' ἄρα τις γέγονεν ἐραστὴς τοῦ Ἀλκιβιάδου σώματος, οὐχὶ Ἀλκιβιάδου ἠράσθη, ἀλλά τινος τῶν Ἀλκιβιάδου; — Ἀληθῆ λέγεις. — Ὅστις δὲ σοῦ, τῆς ψυχῆς ἐρᾷ; — Ἀνάγκη φαίνεται ἐκ τοῦ λόγου. — Οὐκοῦν ὁ μὲν τοῦ σώματός σου ἐρῶν, ἐπειδὴ λήγει ἀνθοῦν, ἀπιὼν οἴχεται; — Φαίνεται. — Ὁ δὲ τῆς ψυχῆς ἐρῶν οὐκ ἄπεισιν, ἕως ἂν ἐπὶ τὸ βέλτιον ἴῃ; — Εἰκός γε. — Οὐκοῦν ἐγώ εἰμι ὁ οὐκ ἀπιὼν ἀλλὰ παραμένων λήγοντος τοῦ σώματος τῶν ἄλλων ἀπεληλυθότων;

24 *Ἐν ταὐτῷ* (p. 132 B — p. 134 B).

Εὖ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες, ἀλλὰ πειρῶ ἐξηγεῖσθαι ὅντιν' ἂν τρόπον ἐπιμεληθείημεν ἡμῶν αὐτῶν. — Οὐκοῦν τοσοῦτον μὲν ἡμῖν εἰς τὸ πρόσθεν πεπέρανται; ὃ γὰρ ἐσμέν, ἐπιεικῶς ὡμολόγηται· ἐφοβούμεθα δὲ μὴ τούτου σφαλέντες λάθωμεν ἑτέρου τινὸς ἐπιμελόμενοι, ἀλλ' οὐχ ἡμῶν. — Ἔστι ταῦτα. — Καὶ μετὰ τοῦτο δὴ ὅτι ψυχῆς ἐπιμελητέον καὶ εἰς τοῦτο βλεπτέον. — Δῆλον. — Σωμά-

---

ἑαυτοῦ M^d A Tr. p. 139, inde vulg., flor. 18, Platonis T | *ἀλλ'* om. flor. 18 | *οὐχ ἑαυτὸν* Stobaei libri hic et flor. 18, Platonis T, *οὐκ αὐτὸν* Platonis B

1 *κινδυνεύει* om. flor. 18 | *γε* om. flor. 18 ‖ **3** *οὐ τὰ αὐτοῦ ἄρα πράττει* S *οὐ τὰ αὐτοῦ ἄρα ἔτι πράττει* M^d (?) *οὐ τὰ αὐτὰ οὖν ἄρα πράττει* A: *οὐ τὰ αὐτοῦ ἄρα ἔτι πράττει* Plat.; *οὐ τὰ αὑτοῦ ἄρα ἔτι πράττει* tacite Gesn.[1], inde vulg. ‖ **4** *δ'* om. Plat. ‖ **5** *ἄρα* ante *ἠράσθη* oscitanter ex Platonis ed. Ald. addidit Gesn.[1] p. 170, inde vulg. ‖ **6** *τῶν* reposui ex M^d A (sic) Plat.: *τοῦ* S ‖ **7** *ἐρᾷ* delet Hirschig ‖ **8** *τοῦ* etiam A, fallitur Gaisford ‖ **9** *ὁ δέ γε τῆς* Plat. ‖ **10** *ἴῃ* reposui ex Plat.: *εἴη* S M^d A ‖ **11** *παραμένων*] *περιμένων* Tr., inde vulg. ‖ **13** ecl. hab. S M A, lemma om. rubr. addend. M, hab. S A ‖ **14** v. *Εὖ μοι* — 574, 6 *ὦ Σώκρατες* om. M A ‖ **15** *ὅντινα* S Plat.: *ὅντιν' ἂν* Bekker | *ἐπιμεληθεῖμεν* Plat. ‖ **16** *πεπέρανται* dedi ex Plat.: *πεπέραται* S ‖ **17** *ἐφοβούμεθα* S Platonis T *φοβούμεθα* Platonis B ‖ **19** *καὶ μετὰ τοῦτο δὴ ὅτι ψυχῆς* S, *καὶ μετὰ τοῦτο δὲ ὅτι ψυχῆς* Platonis T, *καὶ μετα τοῦτο ἤδη τῆς ψυχῆς* Platonis B

των δὲ καὶ χρημάτων τὴν ἐπιμέλειαν ἑτέροις παραδοτέον. — Τί μήν; — Τίν' οὖν ἂν τρόπον γνοίημεν αὐτὰ ἐναργέστατα; ἐπειδὴ τοῦτο γνόντες, ὡς ἔοικεν, ἡμᾶς αὐτοὺς γνωσόμεθα. ἆρα πρὸς θεῶν εὖ λέγοντος οὗ νῦν δὴ ἐμνήσθημεν τοῦ Δελφικοῦ γράμματος οὐ ξυνίεμεν; — Τὸ ποῖόν τι διανοούμενος λέγεις, ὦ Σώκρατες; — Ἐγώ σοι φράσω, ὅ γε ὑποπτεύω λέγειν καὶ συμβουλεύειν ἡμῖν τοῦτο τὸ γράμμα· κινδυνεύει γὰρ οὐδὲ πολλαχοῦ εἶναι παράδειγμα αὐτοῦ, ἀλλὰ κατὰ τὴν ὄψιν μόνον. — Πῶς τοῦτο λέγεις; — Σκόπει καὶ σύ. εἰ ἡμῶν τῷ ὄμματι ὥσπερ ἀνθρώπῳ συμβουλεύων εἶπεν ἰδὲ ἑαυτόν, πῶς ἂν ὑπελάβομεν τί παραινεῖν; ἆρ' οὐχὶ εἰς τοῦτο βλέπειν, εἰς ὃ βλέπων ὁ ὀφθαλμὸς ἔμελλεν αὑτόν ἰδεῖν; — Δῆλον. — Ἐννοῶμεν δή, εἰς τί βλέποντες τῶν ὄντων ἐκεῖνό τε ὁρῷμεν ἅμα ἂν καὶ ἡμᾶς αὐτούς; — Δῆλον δή, ὦ Σώκρατες, ὅτι εἰς κάτοπτρά τε καὶ τὰ τοιαῦτα. — Ὀρθῶς λέγεις. οὐκοῦν καὶ τῷ ὀφθαλμῷ, ᾧ ὁρῶμεν, ἔνεστι τῶν τοιούτων; — Πάνυ γε. — Ἐννενόηκας οὖν ὅτι τοῦ ἐμβλέποντος εἰς τὸν ὀφθαλμὸν τὸ πρόσωπον ἐμφαίνεται ἐν τῇ τοῦ καταντικρὺ ὄψει ὥσπερ ἐν κατόπτρῳ; ὃ δὴ καὶ κόρην

---

2 *γνοίημεν* S Platonis B T: *γνοῖμεν* Plat. | *αὐτὰ* S Platonis B T: *αὐτὸ* Schleiermacher ‖ 3 *ἔοικεν* S Platonis B, *ἔοικεν καὶ* Platonis T ‖ 4 *λέγοντος οὗ* tacite ex Plat. Gesn.^{1}, inde vulg.: *λέγοντός σου* S | *νῦν δὴ* (*δὲ* Tr.) S, *νυνδὴ* Plat.; *δὴ νῦν* ex Platonis Ald. Gesn.^{1}, inde vulg. ‖ 5 *οὐ* tacite ex Plat. Gesn.^{1}, inde vulg.: *οὗ* S | *ξυνίεμεν* S Platonis B *ξύνισμεν* Platonis T ‖ 8 *παράδειγμα* tacite ex Platonis Ald. Gesn.^{1}, inde vulg.: *παραδείγματα* S M^d A; *παράδειγμ'* Platonis B, *παράδειγμα* Platonis T ‖ 11 *συμβουλεύων* S M^d A Platonis B, *ξυμβουλεύων* Platonis T: *ξυμβουλεῦον* Apelt | *εἶπεν* corr. A^2 Platonis T: *εἰπεῖν* S M^d A^1 Platonis B; *εἶπεν* tacite ex Platonis Ald. Gesn.^{1}, inde vulg. | *ἑαυτὸν* S M^d A: *σαυτὸν* Plat. | *ὑπελάβομεν*] *ὑπέλαβεν* A ‖ 13 *ὁ ὀφθαλμὸς* scripsi ex A Platonis B C: *ὀφθαλμὸς* S M^d Platonis D T ‖ 14 *βλέποντες*] *βλέποντα* A | *ἐκεῖνο* tacite ex Plat. Gesn.^{1}, inde vulg.: *ἐκεῖνα* S M^d A ‖ 16 *ὅτι* ex Plat. Gaisford: *οἷα* S (Tr. p. 140, ubi *οἷα*; fallitur Gaisford) M^d A ‖ 17 *ἔνεστι* S M^d A et sic fere Plat.: *ἔνεστί τι* F. A. Wolf ‖ 19 *τὸ πρόσωπον* om. S ‖ 20 *ὃ δὴ* — 575, 1 *καλοῦμεν* delevit Schleiermacher | *κόρην* S M^d A Platonis B, *κορυφὴν* Platonis T; *κορήν* dormitanter Gesn.^{1}, inde vulg.

καλοῦμεν, εἴδωλον ὂν τοῦ ἐμβλέποντος. — Ἀληθῆ λέγεις. — Ὀφθαλμὸς ἄρ' ὀφθαλμὸν θεώμενος, καὶ ἐμβλέπων εἰς τουτὶ ὅπερ βέλτιστον αὐτοῦ καὶ ᾧ ὁρᾷ, οὕτως ἂν αὐτὸν ἴδοι. — Φαίνεται. — Εἰ δέ γ' εἰς ἄλλο τῶν τοῦ ἀνθρώπου βλέποι ἤ τι τῶν ὄντων, πλὴν εἰς ἐκεῖνο ὃ τυγχάνει ὅμοιον, οὐχὶ ὄψεται αὐτόν; — Ἀληθῆ λέγεις. — Ὀφθαλμὸς ἄρα εἰ μέλλει ἰδεῖν αὐτόν, εἰς ὀφθαλμὸν αὐτῷ βλεπτέον, καὶ τοῦ ὄμματος εἰς ἐκεῖνον τὸν τόπον, ἐν ᾧ τυγχάνει ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ ἐγγιγνομένη; ἔστι δὲ τοῦτό που ὄψις. — Οὕτως. — Ἆρ' οὖν, ὦ Ἀλκιβιάδη, καὶ ψυχὴ εἰ μέλλει γνώσεσθαι αὐτήν, εἰς ψυχὴν αὐτῇ βλεπτέον, καὶ μάλιστα εἰς τοῦτον αὐτῆς τὸν τόπον, ἐν ᾧ ἐγγίγνεται ἡ ψυχῆς ἀρετή, σοφία, καὶ εἰς ἄλλο ᾧ τοῦτο τυγχάνει ὅμοιον ὄν; — Ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. — Ἔχομεν οὖν εἰπεῖν, ὅ τι ἐστὶ τῆς ψυχῆς θειότερον ἢ τοῦτο, περὶ ὃ τὸ εἰδέναι καὶ φρονεῖν ἐστιν; — Οὐκ ἔχομεν. — Τῷ θείῳ ἄρα τοῦτ' ἔοικεν αὐτῆς, καί τις εἰς τοῦτο βλέ-

---

1 *ὂν* S M[d] A Platonis T: *ὄντι* (i. e. *ὄν τι*) Platonis B ‖ **3** *τουτὶ* S M[d] A, *τοῦθ'* vel *τοῦτο* Plat. | *οὕτως* (*οὕτω* Tr.) S Plat.: *οὗτος* M[d] A | *αὐτὸν* M[d] ‖ **4** *φαίνεται* S Plat., *φαίνεται καὶ ὑποκατιὼν* M[d], *φαίνεται ὁ ὑποκατιὼν* (sic) A, A *ὁ αὐτὸς* (*sc. Plato*) *ὑποκατιὼν voluit?* Buecheler; desunt v. *εἰ δέ γ'* — 10 *ὄψις. Οὕτως* in M[d] A | *γ'* tacite ex Plat. Gesn.[1], inde vulg.: *τ'* S ‖ **5** *ὃ τυγχάνει* S: *ᾧ τοῦτο τυγχάνει* Plat.; *ὃ τούτῳ τυγχάνει* Gesn.[1], inde vulg. ‖ **6** *οὐχὶ* S, *οὐκ* Plat. | *αὐτόν* scripsi: *αυτ̄* S, *αὐτῷ* Tr.; *ἑαυτὸν* tacite ex Plat. Gesn.[1], inde vulg. ‖ **7** *αρα* (sic) S : *αὐτὸν* S Platonis B, *ἑαυτὸν* Platonis T ‖ **9** *ἡ τοῦ ὀφθαλμοῦ* S *ἡ ὀφθαλμοῦ* Platonis B, *ὀφθαλμοῦ* Platonis T ‖ **10** *ὄψις* S Platonis T: *ἡ ὄψις* Platonis B | *ὦ ἀλκιβιάδη* S M[d] A; *ὦ φίλε Ἀλκιβιάδη* tacite ex Plat. Gesn.[1], vulg. ‖ **11** *μέλλει* S Plat., *μέλοι* M[d] *μέλλοι* A; aberravit Gaisford | *αὐτὴν* M[d] *αὐτοῦ* (sic) A | *αὐτῇ* tacite ex Plat. Gesn.[1], inde vulg.: *αὐτῷ* S *αὐτῶ* M[d] A ‖ **13** *ἐγγίγνεται* scripsi ex M[d] A Plat.: *ἐγγίγνετ'* S *-εθ'* Tr. | *σοφία* delendum esse vidit Heusde | *ᾧ τοῦτο* S Plat.: *ᾧ τούτω* M[d] *ὃ τούτω* A ‖ **14** ante *Ἔχομεν* tamquam novum lemma *Ἐν ταυτῷ* praem. A | v. *ἔχομεν* — 576, 2 *μάλιστα* Theodoret. therap. p. 207 Gaisf. Euseb. praep. evang. XI 27, 5; de Eusebio vide quae dixi p. 576, 4 adn. ‖ **15** *θειότερον* S M[d] A Platonis T, *νοερώτερον* Platonis B C D: *κυριώτερον* Cobet; an *οἰκειότερον*? ‖ **16** *καὶ* S M[d] A, *τε καὶ* Plat. | *φρονεῖν ἐστιν* (vel *ἐστὶν*) S M[d] A Platonis B, *φρονεῖν* Platonis T | post *ἔχομεν* lacunam signat Schanz ‖ **17** *θείῳ*] *θεῷ* Platonis B

πων καὶ πᾶν τὸ θεῖον γνούς, θεόν τε καὶ φρόνησιν, οὕτω καὶ ἑαυτὸν ⟨ἂν⟩ γνοίη μάλιστα. — Φαίνεται. — Τὸ δὲ γιγνώσκειν αὑτὸν ὡμολογοῖμεν σωφροσύνην εἶναι; — Πάνυ γε. — Ἆρ᾽ ὥσπερ κάτοπτρα σαφέστερά ἐστι τοῦ ἐν τῷ ὀφθαλμῷ ἐνόπτρου καὶ καθαρώτερά τε καὶ λαμπρότερα, οὕτω καὶ ὁ θεὸς τοῦ ἐν τῇ ἡμετέρᾳ ψυχῇ βελτίστου καθαρώτερόν τε καὶ λαμπρότερον τυγχάνει ὄν. — Ἔοικέ γε, ὦ Σώκρατες. — Εἰς τὸν θεὸν ἄρα βλέποντες, ἐκείνῳ καλλίστῳ ἐνόπτρῳ χρῴμεθ᾽ ἂν καὶ τῶν ἀνθρωπίνων εἰς τὴν ψυχῆς ἀρετήν, καὶ οὕτως ἂν μάλιστα ὁρῷμεν καὶ γιγνώσκοιμεν ἡμᾶς αὐτούς; — Ναί. — Τὸ δὲ γιγνώσκειν αὑτὸν ὡμολογοῦμεν σωφροσύνην εἶναι; — Πάνυ γε. — Ἆρ᾽ οὖν μὴ γιγνώσκοντες ἡμᾶς αὐτοὺς μηδὲ σώφρονες ὄντες δυνάμεθα εἰδέναι τὰ ἡμέτερα αὐτῶν κακά τε καὶ ἀγαθά; — Καὶ πῶς ἂν τοῦτο γένοιτο, ὦ Σώκρατες; — Ἀδύνατον ἴσως σοι φαίνεται μὴ γιγνώσκοντα Ἀλκιβιάδην τὰ Ἀλκι-

---

1 *θεῖον, γνοὺς θεόν τε καὶ φρόνησιν, οὕτω* distinxit Madvig adv. I p. 402 | *θεόν τε καὶ φρόνησιν* om. Olympiodorus, Stallbaum: *σοφίαν τε καὶ φρόνησιν* Heusde, *νοῦν τε καὶ φρόνησιν* olim Ast ‖ **2** *ἂν* tacite ex Plat. addidit Gesn.¹, inde vulg. | *γνόη* S | v. *Τὸ δὲ* — 3 *πάνυ γε* desunt ap. Eusebium, vide 4 ‖ **3** *αὐτὸν* Mᵈ | *ὡμολογοῖμεν* scripsi ex S Platonis T: *ὁμολογοῖμεν* Mᵈ A Platonis B T²; *ὁμολογοῦμεν* tacite ex Platonis Ald. Gesn.¹, inde vulg. ‖ **4** v. *Ἆρ᾽ ὥσπερ* — 11 *αὐτούς. Ναί* om. Plat.; apud Eusebium eadem post *φαίνεται* (2) leguntur sic: *Ἆρ᾽ οὖν, ὅθ᾽ ὥσπερ κάτοπτρά ἐστι σαφέστερα τοῦ ἐν τῷ ὀφθαλμῷ ἐνόπτρου καὶ καθαρώτερα καὶ λαμπρότερα, οὕτω καὶ ὁ θεὸς τοῦ ἐν τῇ ἡμετέρᾳ ψυχῇ βελτίστου καθαρώτερόν τε καὶ λαμπρότερον τυγχάνει ὄν. — Ἔοικέ γε, ὦ Σώκρατες. — Εἰς τὸν θεὸν ἄρα βλέποντες ἐκείνῳ καλλίστῳ ἐνόπτρῳ χρῴμεθ᾽ ἂν καὶ τῶν ἀνθρωπίνων εἰς τὴν ψυχῆς ἀρετήν, καὶ οὕτως ἂν μάλιστα ὁρῷμεν καὶ γιγνώσκοιμεν ἡμᾶς αὐτούς; — Ναί.* — Stobaeus quae exhibet post *οὐκ ἔχομεν* (p. 575, 16) Platoni inseri vult sed verbis *τῷ θείῳ* (p. 575, 17) — *Φαίνεται* (2) deletis Wex ‖ **6** *ὁ* om. A | *καθαρότερον* Mᵈ ‖ **7** *ἔοικέν γε* S Mᵈ ‖ **10** *ψυχὴν* S Mᵈ *ψυχικὴν* A: *ψυχῆς* (sicut tacite corr. Gesn.¹, inde vulg.) Euseb. | *γιγνώσκομεν* Mᵈ ‖ **11** *αὐτόν* S Mᵈ ‖ **12** *ὡμολογοῦμεν* scripsi. vide ad 3: *ὁμολογοῦμεν* S Mᵈ A ‖ **13** *σώφρονες ὄντες* S Mᵈ, Plat., *σωφρονοῦντες* A | *δυνάμεθα* S Mᵈ A, *δυναίμεθ᾽ ἂν* Platonis B, *δυναίμεθα* Platonis T ‖ **16** *ἴσως σοι* S Mᵈ A Platonis B, *γὰρ ἴσως* Platonis T: *γὰρ ἴσως σοι* temere Gesn.¹, inde vulg. | *γιγνώσκοντα* S Plat., *γιγνώ-*

βιάδου γιγνώσκειν ὅτι Ἀλκιβιάδου ἐστίν. — Ἀδύνατον μέντοι νὴ Δία. — Οὐδ' ἄρα τὰ ἡμέτερα, ὅτι ἡμέτερα, εἰ μὴ δι' ἡμᾶς αὐτούς; — Πῶς γάρ; — Εἰ ἄρα μηδὲ τὰ ἡμέτερα, οὐδὲ τὰ τῶν ἡμετέρων; — Οὐ φαίνεται. — Οὐκ ἄρα πάνυ τι ὀρθῶς ὡμολογοῦμεν ὁμολογοῦντες ἄρτι εἶναι τινάς, οἳ ἑαυτοὺς μὲν οὐ γιγνώσκουσι, τὰ δὲ αὐτῶν· ἄλλους δὲ τὰ τῶν ἑαυτῶν· ἔοικε γὰρ πάντα ταῦτ' εἶναι κατιδεῖν ἑνός τε καὶ μιᾶς τέχνης, ἑαυτόν, τὰ αὑτοῦ, τὰ τῶν ἑαυτοῦ. — Κινδυνεύει. — Ὅστις δὲ τὰ αὑτοῦ ἀγνοεῖ, καὶ τὰ τῶν ἄλλων που ⟨ἂν⟩ ἀγνοοῖ κατὰ ταῦτα. — Τί μήν; — Οὐκοῦν εἰ τὰ τῶν ἄλλων, καὶ τὰ τῶν πόλεων ἀγνοήσει; — Ἀνάγκη. — Οὐκ ἄρα ἂν γένοιτο ὁ τοιοῦτος ἀνὴρ πολιτικός. — Οὐ δῆτα. — Οὐ μὴν οὐδὲ οἰκονομικός γε. — Οὐ δῆτα. — Οὐδέ γ' εἴσεται ὅ τι πράττει. — Οὐ γὰρ οὖν. — Ὁ δὲ μὴ εἰδώς, τί πράττει, οὐχ ἁμαρτήσεται; — Πάνυ γε. — Ἐξαμαρτάνων δὲ οὐ κακῶς πράξει ἰδίᾳ τε καὶ δημοσίᾳ; — Πῶς δ' οὔ; — Κακῶς δὲ πράττων οὐκ ἄθλιος; — Σφόδρα γε. — Τί δ' οἷς οὗτος πράττει; — Καὶ οὗτοι. — Οὐκ ἄρα οἷόν τε, ἐὰν μή τις σώφρων καὶ ἀγαθὸς ᾖ, εὐδαίμονα εἶναι. — Οὐχ οἷόν τε. — Οἱ ἄρα κακοὶ τῶν ἀνθρώπων ἄθλιοι. — Σφόδρα γε. — Οὐκ ἄρα οὐδὲ ὁ πλουτήσας ἀθλιότητος ἀπαλλάττεταί γε, ἀλλ' ὁ σωφρονήσας. — Φαίνεται.

σκοντες M[d] Tr. p. 141, *γινώσκοντες* A; *γιγνώσκοντα* tacite ex Plat. Gesn.[1], inde vulg.

1 *γινώσκειν* S ‖ 2 *τα ἡμέτερα οτι ἡμέτερα* S M[d] A Platonis T, *τα ἡμέτερα* Platonis B ‖ 3 verbis *πῶς γὰρ* tamquam novae eclogae initio lemma *πλάτωνοσ ἐκ τοῦ χαρμίδου* praemisit M, vide ad ecl. prox. | *εἰ ἄρα* SM[d] *ἄρα* A: *εἰ δ' ἄρα* tacite ex Plat. addidit Gesn.[1], inde vulg. | *μηδὲ* (vel *μὴ δὲ*) *τὰ* S M[d] A: *τὰ* Plat.; *μὴ τὰ* Hermann ‖ 4 *οὐδὲ* S M[d] Plat., *μηδὲ* A ‖ 5 *ὡμολογοῦμεν* S Platonis T: *ὁμολογοῦμεν* M[d] A Platonis B ‖ 6 *δὲ αὑτῶν* scripsi: *δὲ αὐτῶν* S A *δ' ἑαυτῶν* M[d], *δ' αὐτῶν* Platonis B, *δὲ ἑαυτῶν* Platonis T ‖ 7 *ἄλλους δὲ* S M[d] A, *ἀλλ' οὐ* Platonis B T | *ἔοικε*] *ἔοιγε* S ‖ 10 *ἂν ἀγνοοῖ* scripsi sic ut Platonis T: *ἀγνοοῖ* M Platonis B *ἀγνοεῖ* S A | *ταῦτα* S M[d] A Platonis B: *ταὐτὰ* Platonis T | *τί μὴν* usque ad fin. om. M[d] A ‖ 14 *οὐδέ γ'* S *οὐδέ γε* Platonis T: *οὐδὲ* Platonis B | *τί πράττει* om. Plat. ‖ 22 *ἀθλιότητος* S Platonis T, *ματαιότητος* Platonis B | *γε* om. Plat.

25 *Πλάτωνος ἐκ τοῦ Χαρμίδου* (p. 164 D — 165 A).

Καὶ οὐκ ἂν αἰσχυνθείην μὴ οὐχὶ ὀρθῶς φάναι ποτὲ ἢ τοῦτο συγχωρήσαιμ' ἂν ἀγνοοῦντα ἄνθρωπον αὐτὸν ἑαυτὸν σωφρονεῖν. σχεδὸν γάρ τι ἔγωγε αὐτὸ τοῦτό φημι εἶναι σωφροσύνην, τὸ γιγνώσκειν ἑαυτόν, καὶ συμφέρομαι τῷ ἐν Δελφοῖς ἀναθέντι τὸ τοιοῦτον γράμμα. καὶ γὰρ τοῦτο οὕτω μοι δοκεῖ τὸ γράμμα ἀνακεῖσθαι, ὡς δὴ πρόσρησις οὖσα τοῦ θεοῦ τῶν εἰσιόντων ἀντὶ τοῦ χαῖρε· ὡς τούτου μὲν οὐκ ὀρθοῦ ὄντος τοῦ προσρήματος, τοῦ χαίρειν, οὐδὲ δεῖν τοῦτο παρακελεύεσθαι ἀλλήλοις ἀλλὰ σωφρονεῖν. οὕτω μὲν δὴ ὁ θεὸς προσαγορεύει τοὺς εἰσιόντας εἰς τὸ ἱερὸν διαφέρον τι ἢ οἱ ἄνθρωποι, ὡς διανοούμενος ἀνέθηκεν ⟨ὁ⟩ ἀναθείς, ὡς ἐμοὶ δοκεῖ· καὶ λέγει πρὸς τὸν ἀεὶ εἰσιόντα οὐκ ἄλλο τι ἢ 'σωφρόνει', φησίν. αἰνιγματωδέστερον δὲ δή, ὡς μάντις, λέγει· τὸ γὰρ 'γνῶθι σαυτόν' καὶ τὸ 'σωφρόνει' ἔστι μὲν ταὐτόν, ὡς τὰ γράμματά φησι καὶ ἐγώ, τάχα δ' ἄν τις οἰηθείη ἄλλο εἶναι, ὃ δή μοι δοκοῦσι παθεῖν καὶ οἱ τὰ ὕστερον γράμματα ἀναθέντες,

---

1 ecl. cum lemm. hab. S M A, cum prioribus cohaer. in M lemmate male retracto ad p. 577, 3, ubi vide ‖ 2 *μὴ* S M[d] A: *ὅτι μὴ* Plat., unde *τι μὴ* Madvig adv. I p. 404, *τότε μὴ* Schanz, alii alia; *ὅτι μὴ* tacite ex Plat. Gesn.[1] p. 172, inde vulg. | *φάναι* (*φᾶναι* M[d]) *ποτὲ* (*πὸ* A) *ἢ τοῦτο* S M[d] A: *φάναι εἰρηκέναι μᾶλλον ἢ ποτὲ* tacite ex Plat. Gesn.[1], inde vulg. ‖ 3 *ἄνθρωπον αὐτὸν* (*αὐτὸν* S) *ἑαυτὸν* S M[d] A, *αὐτὸν ἑαυτὸν ἄνθρωπον* Plat. ‖ 4 *τι*] *τοι* A ‖ 5 *ξυμφέρομαι* Plat. ‖ 6 *τὸ ἐν* M[d] ‖ 7 *πρόσρησις* S Plat. *πρόρρησις* M[d] *πρόρρησις* A ‖ 9 *τοῦ χαίρειν* S M[d] A Platonis B ex em.: *τὸ χαίρειν* Platonis B T, idem tacite ex Platonis Ald. Gesn.[1], inde vulg.; *τοῦ χαίρειν* delevit Cobet ‖ 10 *ἀλλήλοις* S M[d] A Platonis B, *ἀλλήλους* Platonis T; *ἀλλήλους* tacite ex Platonis Ald. Gesn.[1], inde vulg. ‖ 11 *οὕτω μὲν δὴ* tacite ex Plat. Gesn.[1], inde vulg.: *τούτω* (-*ων* Tr.) *οὖν δη* S M[d] *τούτῳ* (corr. ex *τοῦτο* A[1]) *δὴ οὖν* A | *ὁ* etiam A; neglegenter rem egit Gaisford ‖ 12 *διαφέροντι* sed *ι* longiore ut videtur vel compendio quod non -*αι* videtur esse S, *διαφέρονται* Tr. ‖ 13 *ὁ* tacite ex Plat. addidit Gesn.[1], inde vulg. | *ὥς μοι* Plat. ‖ 14 *σωφρόνει* tacite ex Plat. Gesn.[1], inde vulg.: *σωφρονεῖν* S M[d] A ‖ 15 *λέγε* M[d] ‖ 18 *ὕστερον* reposui ex S M[d] Plat.: *ὕστερα* A Tr., inde vulg.

τό τε ‘μηδὲν ἄγαν’ καὶ τὸ ‘ἐγγύα, πάρα δ’ ἄτα’. καὶ γὰρ οὗτοι συμβουλὴν ᾠήθησαν εἶναι τὸ ‘γνῶθι σαυτόν’, ἀλλ’ οὐ τῶν εἰσιόντων ἕνεκεν ὑπὸ τοῦ θεοῦ πρόσρησιν· ἵνα δὴ καὶ αὐτοὶ μηδὲν ἧττον χρησίμους συμβουλὰς ἀναθεῖεν, ταῦτα γράψαντες ἀνέθεσαν.

26 *Πορφυρίου ἐκ τοῦ α′ ⟨Περὶ τοῦ γνῶθι σαυτόν⟩.*

Τί ποτε ἦν ἄρα καὶ τίνος τὸ ἱερὸν πρόσταγμα τὸ ἐν Πυθοῖ, ὃ γνῶναι ἑαυτὸν τοῖς τοῦ θεοῦ δεησομένοις προσαγορεύει; μήτε γὰρ τιμῆσαι θεὸν τὰ προσήκοντα μηδ’ αὖ τυχεῖν τοῦ θεοῦ δεηθέντα τὸν ἀγνοίᾳ τῇ ἑαυτοῦ ἐνισχόμενον παραγγέλλειν ἔοικεν. ἀλλ’ εἴτε Φημονόῃ ἐπὶ πάντα λυσιτελοῦν τὰ ἀνθρώπινα τοῦτο ἐθέσπισεν, δι’ ἧς πρώτης ὁ Πύθιος λέγεται τὰς εἰς ἀνθρώπους διαδοῦναι χάριτας, εἴτε Φανοθέα ἡ Δελφοῦ, εἴτε καὶ Βίαντος ἢ Θαλοῦ ἢ Χείλωνος ἦν ἀνάθημα, ὁρμηθὲν ἀπό τινος θείας ἐπιπνοίας· εἴτε Κλεάρχῳ προσεκτέον μᾶλλον τοῦ μὲν Πυθίου φράζοντι εἶναι παράγγελμα, χρησθῆναι δὲ Χείλωνι, τί ἄριστον ἀνθρώποις μαθεῖν πυνθανομένῳ· εἴτε καὶ πρὸ Χείλωνος ἦν ἔτι ἀνάγραπτον ἐν τῷ ἱδρυθέντι νεῷ μετὰ τὸν πτέρινόν τε καὶ χαλκοῦν, καθάπερ Ἀριστοτέλης ἐν τοῖς περὶ φιλοσοφίας εἴρηκεν· τὶ μὲν ὅτου ἂν εἴη, Ἰάμ-

---

1 *ἐγγύα* M[d] A: *ἐγγύη* S Plat. | *δ’ ἄτα* S M[d] *δαῖτα* A, *δ’ ἄτη* Plat. ‖ 2 *ξυμ-* Plat. B | *εἶναι* radendo corr. (ex *γνῶθι* videtur Meklero) S ‖ 3 *ἕνεκεν* recte addubitavit Heindorf | *εἶθ’ ἵνα δὴ* tacite ex Plat. Gesn.[1] p. 172, inde vulg. ‖ 4 *αὐτοὶ* S M[d] A: *αὐτὸσ φῇς*, sed *σ* partim erasum, Platonis B *σφεῖς* Platonis T | *χρησίμους συμβουλὰς* (*συμβολὰς* A) S M[d] A Platonis T: *συμβουλὰς χρησίμους* Platonis B ‖ 6 ecl. cum lemm. hab. S, om. M A; *Περὶ τοῦ γνῶθι σαυτόν* supplendum esse vidit Meineke v. IV p. LX. alia eiusdem libri particula si in archetypo praecessisset, S suo more hic dedisset *ἐν ταὐτῷ* ut ad ecl. 27 ‖ 9 *μηδ’* (vel *μὴ δ’*) *αὖ* S quod nescio an servandum sit: *μήτ’ αὖ* Meineke ‖ 11 *εἴτε* S Tr. p. 142, *ει* ex *η* corr. S[1] ‖ 12 *λυσιτελοῦν τὰ* (sic fere) *ἀνθρ.* S *λυσιτελοῦντα ἀνθρ.* Tr. ‖ 14 *εἴτε καὶ*] *ει* ex *η* ut supra S ‖ 15 *χείλωνος* hic et infra S: *χίλωνος* Tr. | *ἀπόφθεγμα* Nauck *mél. gr.-rom.* V p. 165 adn. 33, confer p. 559, 1 ‖ 18 *τί* Nauck: *τὸ* libri ‖ 19 *ἱδρυθέντι* Tr., inde vulg.: *ἱδρυνθέντι* S fortasse recte ‖ 20 *πτέρινον* Casaubonus: *πέτρινον* S | Aristot. fr. 3 Rose[3] cf. Clemens Alex. strom. I 14, 60 p. 351 P.

[redacted]

βλιχε, ἀμφισβητήσιμον ἔστω· πάντως δ' ὅτι ὑπὸ θεοῦ ἢ οὐκ ἄνευ θεοῦ ἐρρήθη, ἐξ αὐτοῦ φαίνοιτ' ἂν τοῦ ἐν τοῖς Πυθίοις αὐτὸ κεῖσθαι ἀμφήριστον. τί ποτε δ' ἐστὶν ὃ φράζει καὶ πρό γε τῶν περιρραντηρίων προτελεῖσθαι τῷ θεῷ ἐπιτάττει, ἀναγκαῖον ἂν εἴη γνῶναι.

27 *Πορφυρίου ἐκ τοῦ α' Περὶ τοῦ Γνῶθι σαυτόν.*

Ἀλλὰ μήποτε 'σωφρόνει' ἔνεστιν ἀκοῦσαι λέγοντος ἀντὶ τοῦ 'σῷζε τὴν φρόνησιν'· καὶ γὰρ σωφροσύνη σαοφροσύνη τις ἦν· οὕτω δὲ πρὸς τὸ φρονοῦν καὶ τοῦ φρονεῖν αἴτιον διαλέγοιτ' ἄν, σῴζειν ἑαυτὸ παρακελευόμενος· τοῦτο δ' ἂν εἴη ὁ νοῦς. ἀλλ' εἰ τοῦτο, δεῖ πάλιν γνῶναι τὴν οὐσίαν ἡμῶν ἥ τις ἐστίν. ἄλλοι γε μὴν μικρὸν διάκοσμον καλῶς εἰρῆσθαι φάμενοι τὸν ἄνθρωπον, παρακελεύεσθαι μέν φασι τὸ γράμμα γνῶναι τὸν ἄνθρωπον· ὄντος δὲ μικροῦ διακόσμου τοῦ ἀνθρώπου, οὐδὲν ἄλλο κελεύειν ἢ φιλοσοφεῖν· εἴπερ οὖν ἀπταίστως φιλοσοφεῖν σπουδάζομεν, προθυμώμεθα γνῶναι ἑαυτούς, καὶ ἔσται ἡμῖν τεῦξις ὀρθῆς φιλοσοφίας ἐκ τῆς ἡμετέρας κατανοήσεως ἀναβαίνουσιν ἐπὶ τὴν τοῦ παντὸς θεωρίαν. ἀλλ' ὅτι μὲν ἀπὸ τῶν ἐν ἡμῖν συλλογιζόμεθα καὶ περὶ τῶν ἐν τῷ ὅλῳ καὶ ἡμᾶς ἐτάζοντες καὶ εὑρίσκοντες ῥᾷον μεταβαίνομεν ἐπὶ τὴν τοῦ παντὸς θεωρίαν, λέγεται ὀρθῶς· μήποτε δὲ τὴν ἑαυτοῦ θεωρίαν οὐ φιλοσοφίας ἕνεκα θεὸς ποιεῖσθαι παρακελεύεται, ἄλλου δέ τινος μείζονος ἕνεκα, δι' ὃ καὶ φιλο-

---

1 *δ'* S: *δὲ* Tr. ‖ 3 *ἀμφήριστον* S quod potest defendi; *ἀναμφήριστον* Gesn.[1] p. 172 mrg ‖ 4 *περιρραντηρίων* tacite Gesn.[1], vulg.: *περὶ ῥαντηρίων* S ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 21, 26) MA (post ecl. 21, 25) Br (post ecl. 21, 19); *ἐν ταυτῶ* pro lemmate S *ἐκ τοῦ* (sic Md Br) corr. ex *ἐν τῷ* A *σαυτόν* MdA Br *σεαυτόν* tacite Gaisford et Meineke ‖ 8 in articulo *τὴν* desinit A f. 47v a voce *φρόνησιν* inc. A f. 51r ‖ 9 *ἦν* om. Tr. | *οὕτως* Md Br | *το φρονοῦν* S Md Br: *τὸ φρονεῖν* A | *τοῦ φρ..* A ‖ 10 *ἑαυτο* (sine acc. S) S A *ἑαυτῶ* in *ἑαυτὸ* corr. M[1]: *ἑαυτὸν* Br Tr., inde vulg. ‖ 11 *παλιν* sine acc. S ‖ 14 *τὸ γράμμα* supra lin. S[1] | *ὄντος*] prius *ο* refinxit Br ‖ 18 *ἀναβαίνουσα* libri: corr. Buecheler coll. 21 ‖ 19 *τοῦ* om. Br | *ἀλλ' ὅτι μὲν* (*μὲ* S) S Md Br Tr.: *ἀλλό γε μὲν* A ubi *ἀλλό γε μὲν* — 23 *θεωρίαν οὐ φι-* leguntur in margine, sed in contextu iam *οὐ φι-* ‖ 21 *ἐξετάζοντες* Br | *μεταβαίνομεν*, *ο* ex *ω* S[1] ‖ 23 *ἑαυτῶν* Md A ‖ 24 *ἄλλου δέ τινος* ex

σοφία παρελήφθη. φιλοσοφία μὲν γὰρ ἐπετηδεύθη ἐκ προσπαθείας ἡμῶν τῆς πρὸς τὸ σοφὸν καὶ τῆς πρὸς τὴν θεωρητικὴν σοφίαν ἀγαπήσεως· ἡ δὲ σπουδὴ τῆς πρὸς τὸ γνῶναι ἑαυτὸν παρακελεύσεως εἰς τεῦξιν τῆς ἀληθινῆς εὐδαιμονίας ἀποτείνεται, ἥ τις συνίστατο ἐκ τῆς κατὰ σοφίαν διαθέσεως καὶ κατὰ κτῆσιν τῆς σοφίας θεωρίας τοῦ ἀγαθοῦ καὶ τῶν ὄντως ὄντων γνώσεως. θεωρεῖν οὖν καὶ μανθάνειν παρακελεύεται τοὺς ὄντως ἑαυτούς, οὐχ ἵνα φιλοσοφήσωμεν, ἀλλ' ἵνα σοφοὶ γενόμενοι εὐδαιμονήσωμεν. ἡ γὰρ τεῦξις τῆς ὄντως οὔσης οὐσίας ἡμῶν καὶ ἡ ταύτης ἀληθὴς γνῶσις σοφίας ἦν τεῦξις, εἴ γε σοφίας ἴδιον ἡ τῆς ὄντως οὐσίας τῶν πραγμάτων ἀληθὴς ἐπιστήμη, διὰ σοφίας δὲ ἡ τῆς τελείας εὐδαιμονίας γίγνεται κτῆσις.

28 *Τοῦ αὐτοῦ ἐκ τοῦ δ'.*

Ἐπεὶ δὲ ἦν τις κατάβασις ἡμῖν εἰς τὰ τῇδε, καὶ τὸν ἐκτὸς περικειμένοις ἄνθρωπον καὶ ἠπατημένοις γε, ὅτι τοῦτό ἐσμεν τὸ ὁρώμενον, παραίνεσις οἰκεία εἰς τὴν γνῶσιν τῆς ἑαυτοῦ δυνάμεως. ὁ γὰρ δὴ Πλάτων ἐν τῷ Φιλήβῳ μνησθεὶς τοῦ γνῶθι σαυτὸν τριχῇ διαιρεῖται τὴν ἄγνοιαν. πανταχοῦ τοίνυν ἡ ἑαυτοῦ ἄγνοια πονηρόν, ἄν τε κατὰ τὸ εἴσω τὸ μέγεθος τῆς ἀξίας ἀγνοήσας τις τα-

---

em. cod. Paris. 1985 teste Gaisfordo: *ἀλλ' οὐδέ τινος* certe M[d] A Tr., puto etiam S; *ἀλλά τινος* temere Gesn.[1] p. 172, inde vulg.

1 *μὲν γὰρ* S A: *μὲν γὰρ δὴ* M[d] Br ‖ **4** *εις τευξιν* sine spir. et acc. S ‖ **5** *συνίστατο*] cf. 11 *ἦν* et adn. 8 ‖ **6** *κατὰ κτῆσιν τῆς* libri; *τῆς κατὰ κτῆσιν τῆς* tacite Gesn.[1], inde vulg. sed articulus *τῆς* ante *κατα σοφίαν* positus pertinet etiam ad *γνώσεως* ‖ **7** *θεωρίας* tacite Gesn.[1]: *θεωρία* S M[d] A Br ‖ **8** *παρακελεύεται* tacite scr. Gesn.[1], vulg. idem corr. Br in ras. sed duce opinor Gesnero (cf. p. 583 adn. 1): *παρακελεύεσθαι* S M[d] A fortasse recte, nam ex parte oratio est obliqua cf. p. 580, 15 | *τοὺς ὄντως* S M[d] A: *ὄντως* Br; potuit sed non necesse fuit *τοὺς ὄντως ὄντας ἑαυτούς*, cf. 12 cum 10 ‖ **13** *ἡ* inseruit A[2] | *τελέας* S ‖ **14** *κτίσις* A[1] ‖ **15** ecl. cum lemm. hab. S Br, om. M A; *τοῦ αὐτοῦ* om. Br ‖ **16** *ἐπεὶ δὲ* S Br; *Ἐπειδὴ δὲ* tacite Gesn.[2] p. 185, inde vulg. ‖ **17** *καὶ* om. Br male | *τε* libri: corr. Buecheler cf. p. 580, 4 ‖ **19** Phileb. p. 48 C ‖ **20** *διαιρεῖται* S: *διαιρεῖ* Br ‖ **21** *ἄν τε* cod. Paris. 1985 teste Gaisfordo: *ἥν τε* S Br ‖ **22** *εἴσω*] *ει* refinxit Br

πεινώσῃ τὸ θεῖον, ἄν τε κατὰ τὸ ἔξω ἀγνοήσας τὸ φύσει προσὸν αὐτῷ ταπεινὸν ἐπαίρηται ἐπ' αὐτῷ. η οὐ πᾶν γε τὸ θνητὸν ἄντικρυς

ὡς ὅτε τις ψάμαθον πάις ἄγχι θαλάσσης;
ὅς τ' ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν,
ἄψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων.

πᾶς οὖν ἀγνοίᾳ ἑαυτοῦ τὸ καθ' αὑτὸν ἐπαίρων ἁλίσκεται ὑπὲρ τῆς δημιουργησάσης αὐτὸν φύσεως πλεῖον ἢ ἐκείνη βεβούληται, τὰ αὐτῆς ὡς σεμνὰ θαυμάζων παίγνια· ἡ δὲ τηρεῖν ἔοικεν ἐν πᾶσι τῆς ἀξίας τὸ πρέπον, οὐδὲν τοῖς ἐπαίρουσι συνεξαπατωμένη. τὸ γνῶθι οὖν σαυτὸν διήκει εἰς πᾶσαν ὑπόληψιν τῆς προσούσης δυνάμεως, παραγγέλλον γιγνώσκειν τὰ μέτρα ἐπὶ πάντων. τὸ μὲν οὖν γιγνώσκειν ἑαυτὸν τὴν ἀναφορὰν ἔοικεν ἔχειν ἐπὶ τὸ γιγνώσκειν δεῖν τὴν ψυχὴν καὶ τὸν νοῦν, ὡς ἐν τούτῳ ἡμῶν οὐσιωμένων· τὸ δὲ πάντῃ γιγνώσκειν ἑαυτὸν συμπεριλαμβάνειν ἔοικεν ἡμᾶς καὶ τὰ ἡμέτερα καὶ τὰ τῶν ἡμετέρων. τοιαύτη μὲν καὶ ἡ ἐν τούτοις τοῦ Πλάτωνος ἀκρίβεια φιλοτιμηθέντος ἐκτὸς τῶν ἄλλων καὶ δίχα τῶν περὶ ἡμᾶς ἁπάντων γνῶναι ἑαυτόν, καὶ πάλιν πάντῃ γνῶναι ἑαυτόν, ἵνα καὶ ὁ ἐντὸς ἀθάνατος γνωσθῇ ἄνθρωπος καὶ ὁ ἐκτὸς εἰκονικὸς μὴ ἀγνοηθῇ καὶ τὰ τούτοις διαφέροντα γνώριμα γένηται. διαφέρει μὲν γὰρ τῷ ἐντὸς παντέλειος νοῦς, ἐν ᾧ αὐτὸς ἄνθρωπος, οὗ εἰκὼν ἕκαστος ἡμῶν· διαφέρει δὲ τῷ ἐκτὸς εἰδώλῳ τὰ περὶ τὸ σῶμα καὶ τὰς κτήσεις. ὧν δεῖ καὶ τὰς δυνάμεις γιγνώσκειν καὶ τὸ ἄχρι τίνος τούτων φροντιστέον, ἵνα μήτε τὴν τοῦ ἀθανάτου ἀξίαν περιτιθέντες τῷ φθαρτῷ καὶ γηίνῳ καταγέλαστον

---

1 ἄν τε libri; ἤν τε Meineke ‖ 2 αὐτῷ tacite Meineke: αὑτῷ libri ‖ 4 Il. XV 362 ‖ 5 νηπιέῃσι S νηπιέτοισιν Tr. p. 143 ‖ 6 αὖτις S Br -θις Tr. | ποσειν (sine acc.) S ποσὶ Tr. Br ‖ 8 ὑπὲρ S: ὑπὸ Br | malim πλέον ‖ 11 συνεξαπατωμένη S: -μένης Br ‖ 13 γιγνώσκειν Tr.: γινώσκειν S Br ‖ 14 ἀναφορὰν S: ἄνω φορὰν Br | ἐπὶ τὸ S: ἐπὶ τῷ Br | γινώσκειν Br ‖ 15 ἐν τούτω S: ἐν τούτοις Br ‖ 16 συμπεριλαμβάνειν S: συμπαραλαμβάνειν Br ‖ 22 ἀγνοηθῇ, prius η suppl. Br[1] ‖ 26 δεῖ sed εῖ in ras. corr. Br[1] ‖ 27 τίνος tacite Meineke: τινὸς libri, sed dubito de Br

αὐτὸ ποιῶμεν καὶ πάλιν ἄξιον δακρύων ἐν τῇ κωμῳδοτραγῳδίᾳ τῇ τῶν ἀνοήτων βίων ἐνεχόμενον, μήτε τὴν τοῦ θνητοῦ ταπεινότητα τῷ ἀθανάτῳ προσάπτοντες ἐλεεινοὶ ὦμεν καὶ διὰ πάντων ἄδικοι τῇ τοῦ κατ' ἀξίαν ἀγνοίᾳ.

CAPVT XXII.

ΠΕΡΙ ΥΠΕΡΟΨΙΑΣ.

1 *Εὐριπίδου Γλαύκῳ* (fr. 643 N.²).

Βαρὺ τὸ φόρημ' οἴησις ἀνθρώπου κακοῦ.

2 (Eur. fr. 425 N.²)

Ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ' ἀνήρ,
φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει.

3 *Σωσιφάνους* (fr. 3 p. 820 N.²).

Ὦ δυστυχεῖς μὲν πολλά, παῦρα δ' ὄλβιοι
βροτοί, τί σεμνύνεσθε ταῖς ἐξουσίαις,
ἃς ἕν τ' ἔδωκε φέγγος ἕν τ' ἀφείλετο;
ἢν δ' εὐτυχῆτε, μηδὲν ὄντες εὐθέως

---

1 *αὐτὸ* (ut tacite Gesn.¹ p. 174, vulg. cf. p. 581, 8 adn.) Br sed *ο* in ras. m. pr.: *αὐτὸν* S || 2 *τῷ* (*ω* in ras. m. pr.) pro *τῇ* Br qui deinde *βίῳ* pro *βίων*

Caput alterum et vicesimum exstat in S M A, particulae haud ita paucae in Br, eclogae tres apud Mac. Chrys. titulum praebent omnes sicut Photius, numerum S M A Mac., sed *ιζ'* S || 7 ecl. cum lemm. hab. S M A. sed lemma proximae potius adscribitur in M, ut non repugnaverim, si quis ante Ixionis versus Glauci eclogam interceptam esse putet. nam versus *βαρὺ κτἑ.* tragoedia indignus visus est Cobeto coll. cr. p. 226, cui adstipulatur Wilamowitz Herc. v. I p. 173 adn. 104. et *οἴησις* vox apud tragicos num recurrat dubito || 8 *βαρύ τι φ.* ci. Fr. G. Wagner Eur. fr. ed. Par. (a. 1846) p. 774 *ἦ βαρὺ φ.* Cobet coll. Stob. III 4, 18 *βαρύ τοι* Buecheler | *φόρημ'* Salmasius: *φρόνημ'* S M A || 9 ecl. hab. S M, iunctam cum priore A. poetae nomen non iterant, fabulae omittunt S A. de M vide ad ecl. 1. legitur III 10, 7 sed aucta versu interpolato (*Εὐρ. Ἰξίονος*) || 11 *ἄμειχτός ἐστι* mavult Nauck || 12 ecl. cum lemm. hab. S M A || 13 *ὡς* M^d Tr. p. 144 || 14 *σεμνύνεσθαι* inter scribendum in *-θε* corr. M¹ *σφόδρα* inserit A² | *ταῖσιν οὐσίαις* ci. Nauck || 15 cf. Eur. Phoen. 1691 | *ἀφείλατο* A || 16 *ἢν* Wagner: *ἂν* libri ferendum fortasse in Stobaeo

[redacted]

ἴσ' οὐρανῷ φρονεῖτε, τὸν δὲ κύριον
Ἅιδην παρεστῶτ' οὐχ ὁρᾶτε πλησίον.

4 *Φιλήμονος* (fab. inc. fr. 60 com. IV p. 55).

Τὸ γνῶθι σαυτόν, οὐ μάτην εὖ ἴσθ' ὅτι
τὸ ῥῆμα τοῦτο δόξαν ἐν Δελφοῖς ἔχει.

5 *Εὐριπίδου* (fr. 1040 N.²).

Ὅταν ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ
λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον
ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα,
τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα.

6 *Τοῦ αὐτοῦ* (fr. 1041 N.²).

Κρινεῖ τίς αὐτὸν πώποτ' ἀνθρώπων μέγαν,

---

2 *ἅδην* Mᵈ A²: *ἀδῆ* S *ἃ δῆ* A¹ | *προεστῶτ'* Mᵈ | *ὁρᾶται* in -*τε* corr. A² | *πλησίον* Mᵈ A²: *πλούσιον* S A¹ ‖ 3 ecl. cum lemm. hab. S M A ‖ 4 post *σαυτόν* plenius interpungit Kock com. II p. 524 ‖ 6 ecl. cum lemm. hab. S M A (post ecl. 22, 4), sine lemm. Br (tamquam capitis primam). recurrunt versus in Men. et Philist. comp. 111—114 Studem. 296—299 Meyer: huius traditionis discrepantias qui plene cognoscere volet, adeat Meyeri commentationem *die athen. spruchr.* p. 242 sq. 292 sq. cum lemmate *γνῶμαι Φιλιστίωνος* exhibet corp. Par. 442 Elt. ubi accedit tamquam quintus versiculus *ἐπαίρεται γὰρ μεῖζον ἵνα εἰς μεῖζον πέσῃ* cuius quam nulla sit fides monet Nauck ‖ 7 *ὅταν ἴδῃς* libri Stob. *ἐὰν ἴδῃς* corp. Par. *ὅταν ⟨δ'⟩ ἴδῃς* Meineke *ἐπὰν ἴδῃς* Studemund | *πρὸς ὕψος* (*ὕψον* A) *ἠρμένον τινὰ* libri Stob.: *πονηρὸν εἰς ὕψος αἰρόμενον* corp. Par. cf. Wachsmuth *stud.* p. 124 | *εἰς* mavult Nauck ‖ 8 *λαμπρῷ* S Mᵈ Br corp. Par.: *λαμπρῶς* Tr. p. 144, inde vulg.; *λαμπρόν* Meineke | *γένει* libri Stob.: *τύχῃ* corp. Par. ‖ 9 *μείζων* corp. Par. | *ταῖς τύχαις* ci. F. G. Schmidt sat. cr. p. 20 | *κακότητα* pro *ἐπηρκότα* corp. Par. ‖ 10 *ταχεῖαν* (-*είαν* Mᵈ) libri Stob.: *τάχιον* corp. Par. | *νέμεσιν εὐθὺς προσδόκα* libri Stob.: *μεταβολὴν προσδόκα* corp. Par. *νέμεσιν ἥξεσθαι δόκει* Meineke Stob. v. IV p. LX *νέμεσιν εὐθὺς ἐκδέχου* Nauck *Eur. stud.* II p. 43 *μεταβολὴν καραδόκει* Vsener apud Wachsmuthium l. c. sed vide Nauck tr. dict. ind. p. XXIV ‖ 11 ecl. cum lemm. hab. S M A ‖ 12 *κρινεῖ* Valckenaer diatr. p. 223: *κρίνει* S M A | *τίς αὐτὸν* (sic) A: *τίς αὐτὸν* S *τὶ σαυτὸν* Mᵈ: *κρινεῖ τις αὐτὸν* mavult Buecheler, *κρινεῖ τίς ὄλβον* Nauck trag. dict. ind. p. XXIV | *πώποτ' ἀνθρώπων* Valckenaer: *"ἄνον 'πώποτ'* (sic) S *πώποτ' ἄνθρωπον* Mᵈ A nisi quod alia ut videtur manus *ν* transfixit in A, fortasse *ἄνθρωπος* voluit; *ἄνθρωπον πώποτε* Tr., inde vulg.

ον ἐξαλείφει πρόφασις ἡ τυχοῦσ' ὅλον;

7 *Τοῦ αὐτοῦ Αὔγης* (fr. 277 N.^{2}).

Ποῖ; πῶς δὲ λήσει; τίς δὲ νῷν πιστὸς φίλος;
ζητῶμεν· ἡ δόκησις ἀνθρώποις κακόν,
καὶ τοὐπιχειρεῖν γ' ἐξαμαρτάνειν φιλεῖ.

8 *Τοῦ αὐτοῦ Ἀλκμέωνι* (fr. 79 N.^{2}).

Βροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσους·
θεῶν δὲ θνητοὺς κόσμον οὐ πρέπει φέρειν.

9 *Μενάνδρου Τίτθη* (fr. 2 com. IV p. 205).

Οἱ τὰς ὀφρῦς αἴροντες ὡς ἀβέλτεροι,
καὶ 'σκέψομαι' λέγοντες· ἄνθρωπος γὰρ ὢν
σκέψῃ σὺ περί του; δυστυχὴς ὅταν τύχῃ;
αὐτόματα γὰρ τὰ πράγματ' ἐπὶ τὸ συμφέρον
ῥεῖ, κἂν καθεύδῃς, ἢ πάλιν τἀναντία.

10 *Χαιρήμονος* (fr. 30 N.^{2}).

---

1 cf. Stob. flor. 93, 10 Mein. vel Eur. fr. 618 N.^{2} ‖ **2** ecl. cum lemm. hab. S, om. M A; *αὐγῆς* S. v. 3 et 5 esse Augae, nutricis 4 suspicatur Enger ‖ **3** *δ' ἐνων* S *δὲ νῶν* Tr. ‖ **5** *γ'* om. Tr., inde vulg. ‖ **6** ecl. hab. S, om. M A; *Τοῦ αὐτοῦ Ἀλκμέωνι* (*-αίωνι* Meineke) scripsi, *τ̄ αυ^τ ἀλ^κ* S, possis *Ἀλκμέωνος* ‖ **7** *νόσος* S: tacite corr. Gesn.^{1} p. 176 ‖ **8** a priore separandus videtur Buechelero. *θεῶν δὲ κόσμον οὐ πρέπει θνητοὺς* (vel *θνητὸν οὐ πρέπει*) *φορεῖν* inutiliter Cobet coll. cr. p. 211 ‖ **9** ecl. cum lemm. hab. S (post ecl. 22, 8), sine lemm. Br (post ecl. 22, 43), om. M A; *Τίτθῃ* scripsi: *τιτθη* sine acc. S, *Τιτθῇ* (*Τίτθη* Kock) Gaisford cf. Herodian. I p. 311, 30. duo versus postremi supra leguntur I 6, 14^b p. 86, 15 W. lemmate carentes ‖ **12** *σκέψῃ σὺ περί του* libri quod recepit Meineke in Stob. *σκέψει σὺ περί του;* Cobet mnemos. VI p. 311 *σκέψει τί περὶ τοῦ;* Meineke in com. ex Schowii codice B. interpolato, *σκέψει τι περί του;* Cobet mnemos.^{2} II p. 34 *σκέψει σύ; περὶ τοῦ;* Kock com. III p. 131 | *δυστυχὴς* S Br *δυστυχεῖς* teste Gaisfordo cod. Paris. 2092 (cf. mus. Rh. XXXIX p. 367). hoc recepit Kock, *δυστυχὴς ὅταν τύχῃ* tuetur Bentley ‖ **13** sq. cf. Meyer *Vrbin. samml.* p. 427 n. 32 ‖ **14** *καθεύδῃς ἢ* Grotius in Stobaei excerptis (dict. poet.) p. 139: *καθεύδησῃ* (sic) S et Stob. I 6 F P^2 ubi *καθεύσῃ* P^1, *καθευδήσῃ* Br Tr., vulg. | *τἀναντία* S Br: *τοὐναντίον* Stob. I 6 ‖ **15** ecl. cum lemm. hab. S (post ecl. 22, 9) M A (post ecl. 22, 6), lemmate omisso Br (post ecl. 22, 20). ecloga et lemma recurrit corp. Par. 653 Elt.

[redacted]

Ὅλως τὸ κρεῖσσον οὐκ ἐᾷ φρονεῖν μέγα.

11 *Μενάνδρου Κυβερνήταις* (fr. 2 com. IV p. 157).

Ὦ τρισάθλιοι
ἅπαντες οἱ φυσῶντες ἐφ' ἑαυτοῖς μέγα.
αὐτοὶ γὰρ οὐκ ἴσασιν ἀνθρώπου φύσιν.

12 *Μενάνδρου* (fab. inc. fr. 195 com. IV p. 277).

Πᾶς ὁ μὴ φρονῶν
ἀλαζονείᾳ καὶ ψόφοις ἁλίσκεται.

13 *Εὐριπίδου Ἀλκμέωνος* (fr. 76 N.²).

Ὁρᾶτε τὸν τύραννον, ὡς ἄπαις γέρων
φεύγει· φρονεῖν δὲ θνητὸν ὄντ' οὐ χρὴ μέγα.

14 *Εὐριπίδου Αἰόλου* (fr. 29 N.²).

Σιγᾶν φρονοῦντα κρεῖσσον εἰς ὁμιλίαν
πεσόντα· τούτῳ δ' ἀνδρὶ μήτ' εἴην φίλος
μήτε ξυνείην, ὅστις αὐτάρκη φρονεῖν
πέποιθε δούλους τοὺς φίλους ἡγούμενος.

15 *Εὐριπίδου Ἀνδρομάχης* (189).

Οἱ γὰρ πνέοντες μεγάλα τοὺς κρείσσους λόγους

---

1 *ὅλος* corp. Par. ‖ 2 ecl. cum lemm. hab. S M A (post ecl. 22, 10), sine lemm. Br (post ecl. 22, 14). recurrit corp. Par. 654 Elt. (*Μενάνδρου*). affert locum magis integrum Orio anthol. VIII 9 p. 53, 28 Schneidew. cum lemmate *Ἐκ τῶν Κυβερνητῶν* ‖ 3 *ὦ τρισάθλιοι* S M[d] A Br corp. Par.: *οἷοι λαλοῦμεν ὄντες οἱ τρισάθλιοι* Or. ‖ 4 *φυσῶν* (*τες* add. m. rec.) S¹ ‖ 5 *ἀνθρώπου* S M[d] A Br corp. Par.: *ἀνθρώπων* Or. ‖ 6 ecl. cum lemm. hab. S M A; *μ^ε* S *μενάνδρου* M *τοῦ αὐτοῦ* A ‖ 9 ecl. cum lemm. hab. S M A; *ἀλκμαῖ* S. recurrit ecloga et lemma sed sine fab. n. corp. Par. 655 Elt. ‖ 12 ecl. cum lemm. hab. S M A (post ecl. 22, 13), omisso lemmate Br (post ecl. 22, 5); *αἰόλ^λ* S *Αἰο^λ* A ‖ 13 *κρεῖσσον ἢ εἰς* S A *κρεῖσσον εἰς* M[d] Br: *κρείσσον' εἰς* Musgrave. sed dici oportuit *κρεισσόνων ὁμιλίαν*. nondum sanatus est locus. coniecit *σιγᾶν φρονοῦντα κρεῖσσον ἢ ἐς αὐθαδίαν Πεσεῖν· τοιούτῳ δ' ἀνδρὶ* Cobet coll. cr. p. 210 ⟨*φήμ' ἐγὼ*⟩ *Σιγᾶν φρονοῦντα κρείσσον' εἰς ὁμιλίαν* Gomperz *nachl.* p. 18 ‖ 15 *αὐτάρκει* M[d] ‖ 17 ecl. cum lemm. hab. S M A. sine poetae n. legitur flor. Mon. 116. Liban. epist. 79. Euripidis gnomologii alphabetici vestigia aperta: *Αὔγης* (7) *Ἀλκμέωνι* (8) *Ἀλκμέωνος* (13) *Αἰόλου* (14) *Ἀνδρομάχης* (15) *Βάκχαις* (17) *Ἡρακλεῖδαι* (18)

πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο.

16 *Δημώνακτος* (fr. 1 p. 827 N.[2]).

Θνητοὶ γεγῶτες μὴ φρονεῖθ' ὑπὲρ θεούς.

17 *Εὐριπίδου Βάκχαις* (395).

Τὸ σοφὸν οὐ σοφία
τό τε μὴ θνητὰ φρονεῖν.
βραχὺς αἰών· ἐπὶ τούτῳ
δέ τις ἂν μεγάλα διώκων
τὰ παρόντ' οὐχὶ φέρει.
μαινομένων δ' οἵδε τρόποι
καὶ κακοβούλων παρ' ἔμοιγε φωτῶν.

18 *Εὐριπίδου Ἡρακλεῖδαι* (388).

Ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.

19 *Μενάνδρου* (gubernat. fr. 1 com. IV p. 156).

Τἀργύριον εἶναι, μειράκιόν, σοι φαίνεται
οὐ τῶν ἀναγκαίων καθ' ἡμέραν μόνον
τιμὴν παρασχεῖν δυνατόν, ἄρτων, ἀλφίτων,
ὄξους, ἐλαίου, μείζονος ⟨δ'⟩ ἄλλου τινός.
ἀθανασίας δ' οὐκ ἔστιν, οὐδ' ἂν συναγάγῃς

---

2 ecl. cum lemm. hab. SMA; *δημόνακτος* M[d] Tr. p. 145. cf. Men. monost. 243. philosophis Demonactem adnumerat Photii pinacogr. p. 42 Elt. inter poetas tragicos rettulit Nauck sic ut Meineke hist. cr. p. 525, licet hic mutaverit sententiam flor. IV p. LXI ut philosophum potius alienis versibus pro ornamento usum esse crederet. nec constantior sibi erat Fritzsche Luc. II 1 p. 188 III 2 p. XV. Nauckio adstipulatur Wachsmuth *stud.* p. 130, ego pinacographo qui similiter iudicare debuit de Metrodoro ‖ 3 *φρονεῖτ'* S A ‖ 4 ecl. cum lemm. *ευρι*[πδ] *βαχ*[χ] hab. S, om. M A ‖ 5 *τὸ σοφὸν δ'* tacite ex Eur. Gesn.[1] p. 176, vulg. cf. p. 596 adn. 4 ‖ 9 *φέροι* Tyrwhitt ‖ 10 *μαινομένων δ'* S: *μαινομένων* tacite ex Eur. Gesn.[1], vulg. ‖ 12 ecl. cum lemm. hab. S, om. M A ‖ 14 ecl. cum lemm. hab. S, om. M A. v. *ἀθανασίας — καταλείψεις τισίν* (19 — 588, 2) leguntur etiam infra flor. 118, 10 Mein. (*Μενάνδρου κυβερνήτου*) ‖ 15 *τὸ ἀργύριον* S ‖ 18 *δ'* tacite addidit Gesn.[1] p. 176, inde vulg.: om. S ‖ 19 *ἀθανασίας* S: *ἀθανασία* Stobaeus loco altero cum priora resecta neque iam esset unde penderet genetivus. *ἀθανασίας* quod etiam altero loco praebet Voss. interpolatum est ex his versibus ne ipsis quidem a Vossiano alienis

[redacted]

τὰ Ταντάλου τάλαντ᾽ ἐκεῖνα λεγόμενα·
ἀλλ᾽ ἂν ἀποθάνῃς, ταῖτα καταλείψεις τισίν.
τί οὖν λέγω; μήτ᾽ αὐτὸς εἰ σφόδρ᾽ εὐπορεῖς
πίστευε τούτῳ μήτε τῶν πτωχῶν πάλιν
ἡμῶν καταφρόνει, τοῦ δέ γ᾽ εὐτυχεῖν ἀεὶ
πάρεχε σεαυτὸν τοῖς ὁρῶσιν ἄξιον.

20 *Σοφοκλέους Αἴαντι* (125—130).

Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ᾽, ὅσοι περ ζῶμεν, ἢ κούφην σκιάν.
— Τοιαῦτα τοίνυν εἰσορῶν ὑπέρκοπον
μηδέν ποτ᾽ εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος,
μηδ᾽ ὄγκον ἄρῃ μηδέν᾽, εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις ἢ μακροῦ πλούτου βάθει.

21 *Ἐν ταὐτῷ* (758—761).

Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
πίπτειν βαρείαις πρὸς θεῶν δυσπραγίαις

---

1 *ἐκεῖνα* Salmasius (cf. Grotius dict. poet. p. 527): *ἱκανὰ* libri utrobique. lepido errore Kock com. III p. 85 '*τάλαντ᾽ ἐκεῖνα* L 118' nimirum Gaisfordi verba respiciens qui ad flor. 118 dederat *L.* (i. e. *lege*) *ἐκεῖνα ut supra* ‖ 2 *ἀλλ᾽ ἂν ἀποθάνῃς ταῦτα* S: *ἀλλ᾽ ἀποθανῇ καὶ ταῦτα* melius libri infra. qua lectione recepta nescio an praestet *καταλείψων* ut monui lect. Stob. p. 36 ‖ 3 *μήτ᾽* Meineke: *μηδ᾽* libri ‖ 5 *τοῦ δέ γ᾽ εὐτυχεῖν ἀεὶ* tacite reposuit Gesn.[1], inde vulg.: *τοῦδ᾽* (vel *τοῦ δ᾽*) *εὐτυχεῖν δ᾽ ἀεὶ* S ‖ 6 *σεαυτὸν* tacite Gesn.[1], inde vulg.: *σαυτὸν* S | *τοῖς ὁρῶσιν* S: *τοῖσιν ἔργοις* Herwerden parum probabiliter, *τοῖς τρόποισιν* Meineke flor. IV p. LXI, *τοῖς ἀποροῦσιν* Kock mus. Rh. XXX p. 410. haud displicent tradita 'qui felicem te vident eis te praebe dignum felicitate' ‖ 7 ecl. cum lemm. hab. S (post ecl. 22, 19) M A (post ecl. 22, 16) Mac. Chrys. (post ecl. 22, 22), sine lemm. Br (post ecl. 22, 11); *τοῦ αὐτοῦ* pro *Σοφοκλ.* Mac. ‖ 9 *εἴδωλα* S M[d] Mac. | *καὶ* pro *ἢ* A ‖ 10 sqq. om. Br Mac. ante *τοιαῦτα* addidi paragraphum: sunt Minervae quae sequuntur, priora Ulixis ‖ 10 *ὑπέρκοπον* S M[d] A Soph.: *ὑπέρογκον* Tr. p. 146, vulg. ‖ 12 *ἄρῃ* S M[d] A Soph.: *ἄρῃς* Gesn.[1] p. 176, vulg. | *μηδένα* (vel *μηδέν᾽*) *εἰ* libri nisi quod *μὴδεν ἀεὶ* M[d] ‖ 13 *βρήθεις* M[d] | *πλούτου βάθει*] *του βάθει* adiecit A[2] mrg cum periissent folii parte abscissa ‖ 14 ecl. cum lemm. hab. S, om. M A; *ἐν ταυτῷ* S *τοῦ αὐτοῦ* temere Gaisford. legitur supra I 3, 20 p. 55, 20 W. (*Σοφοκλῆς Αἴαντι*) ‖ 15 *κἀνόητα* Suidas s. v. *τὰ γάρ* | *κἀνόητα λήματα* Nauck ‖ 16 *δυσπραγίαις* S: *δυσπραξίαις* Stob. I 3 et Soph.

ἔφασχ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσει
βλαστὼν ἔπειτα μὴ κατ' ἄνθρωπον φρονῇ.

22 *Σοφοκλέους Τηρεῖ* (fr. 531 N.²).

ΧΟΡ. Θνητὰ φρονεῖν χρὴ θνητὴν † φύσιν
τοῦτο κατειδότας, ὡς οὐκ ἔστιν
πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων
ταμίας ὅ τι χρὴ τετελέσθαι.

23 *Σοφοκλέους Κολχίδες* (fr. 321 N.²).

Καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα.

24 *Εὐριπίδου Ἀλκμέωνι* (fr. 81 N.²).

Ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας
λέγειν, ἐς ὄγκον δ' οὐκ ἄνω βλέπειν τύχης.

25 *Ἱπποθόου* (Hippothoont. fr. 1 p. 827 N.²).

---

1 *ἔφασχ'* S ut supra libri F P¹ | *ὅστις* Stobaeus supra et Soph.: *οἷος* S | *φύσει* S et libri supra: *φύσιν* ex emend. Tr., inde vulg. ‖ 2 *φρονῇ* Stob. supra et Soph.: *φρονεῖ* S ‖ 3 ecl. hab. S (post ecl. 22, 21) MA (post ecl. 22, 20) Mac. Chrys. (tamquam capitis primam); *τ̆ αυ ͭ ἀγηρεῖ* (ante artic. *χορ.* compend.) S *σοφοκλέους ἄγηρει* (*ἀγήρει* Mac.) vel *'ἀγηρει* M Mac. *τοῦ αὐτοῦ ἀγήρει* A: *Σοφοκλέους Τηρεῖ* cod. Paris. 1985 teste Gaisfordo ex em., *Σοφ. α' Τυροῖ* ci. M. Schmidt. *Σοφ. Ἀτρεῖ* Buecheler etiam ordini alphabetico congruenter. recepissem hoc, Atrei fabula si semel recurreret apud gnomologos ‖ 4 *χρὴ τὴν θν.* Tr., inde vulg. | *θνητὴν φύσιν* libri: *θνητὴν δὲ φύσιν χρὴ θνητὰ φρονεῖν* temptabat Grotius dict. poet. p. 115. *θνητοὺς φύντας* (de quo cf. Gomperz *bruchst. d. gr. tr.* Vindob. a. 1878 p. 38) Meineke. *θνητὴν γενεὰν* conieci apud Nauckium. *θνητὴν φύσιν ⟨ἢ⟩ τοῦτο* gnomologo tribuit Buecheler (cf. p. 586, 5), sed ut tota fortasse dipodia ab ipso poeta aliena sit ‖ 5 *ἔστι* S Mac. ‖ 8 ecl. cum lemm. hab. SMA; *σοφοˢ κολ^χδ* S ‖ 10 ecl. cum lemm. hab. SMA; *ευριπι^δ ἀλ^κ* S ‖ 12 *δ'* supra lin. S¹ om. Tr. ‖ 13 ecl. cum lemm. hab. SMA (post ecl. 22, 24), omisso lemmate Br (post ecl. 22, 10); *ἱπποθ^ο* (sic fere) S *ἱπποθόωντος* Mᵈ *ὑπποθύοντος* (sic) A. recurrit versus et lemma *Ἱπποθόωντος* corp. Par. 656 Elt. eundem sine poetae nom. habet vita Aesopi p. 46, 6 Westerm. cf. Men. mon. 8 et Doxopater rhet. II p. 294 et 295 Walz. *Ἱπποθόου* quod scripsi repperit hoc ipso loco Photii pinacogr. p. 53 Elt. nec refragatur codicis S compendium qui etiam flor. 83, 15 Mein. praebet *ἱπποθόου* cum ceteris idque sine ullo compendio. Hippothoontem poetam citari credens Hippothoum illi cedere iussit Meineke com. IV p. 711 sq., sed postea a se ipse desciscens dubitat 'utrum Hip-

[redacted]

Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης.

26 *Σωτᾶ.*

Εἰ καὶ βασιλεὺς πέφυκας, ὡς θνητὸς ἄκουσον.
ἂν μακρὰ πτύῃς, φλέγματί τῳ κρατεῖ περισσῷ.
ἂν εὐιματῇς, ταῦτα πρὸ σοῦ προβάτιον εἶχεν.
ἂν χρυσοφορῇς, τοῦτο τύχης ἐστὶν ἔπαρμα.
ἂν πλούσιος ᾖς, τοῦτο χρόνων ἄδηλος ἰσχύς.
ἂν ἀλαζὼν ᾖς, τοῦτ᾽ ἀνοίας ἐστὶ φρύαγμα.
ἂν δὲ σωφρονῇς, τοῦτο θεῶν δῶρον ὑπάρχει.
ἡ σωφροσύνη πάρεστιν, ἂν μετρῇς σεαυτόν.

27 *Ἰσιδώρου* (fr. 2 p. 829 N.²).

Θνητὸς πεφυκὼς τὰ ὀπίσω πειρῶ βλέπειν.

28 *Μενάνδρου Ἐμπιμπραμένη* (fr. 3 com. IV p. 114).

---

pothous vel Hippothoon poetae an fabulae nomen fuerit' (Stob. flor. III p. III). nam Hippothoontem, Alopae filium, percommodum fuisse atticae tragoediae argumentum. quod legitur Tr. p. 146 *Ἱπποσθέ.* temere cum codicis M lemmate sic conciliabat Gesn.² p. 188 mrg *Hipposthenis in Hippothoonte*, inde Schow p. 412

2 ecl. cum lemm. hab. S M A Br (post ecl. 22, 25) Mac. Chrys. (post ecl. 22, 20); *fuit ΣΩΤΑ* [ΤΟΥ] *id est Σωτᾶ* (*Herodianus Σώτα*) *mutatum in Σώτου* Buecheler: *σωτάτου* S M^d Mac. *σωτάδου* ex corr. A *σωκράτους* compend. Br. iterat corp. Par. 657 Elt. (*Σωτάτου*). pertinent opinor versus ad Sotadeorum syllogam ex ordine litterarum compositam cuius supra particula legitur III 1, 67. sunt monostichi (dicoli?) nec desunt alphabeti vestigia ‖ 4 *φλεγματίῳ* libri, sed *φλέγματι ῳ* S: corr. Buecheler | *κρατεῖ* corp. Par. Gesn.² p. 188: *κράτει* S *κρατῇ* M^d Br *κρατῷ* A Mac. ‖ **5** *ἂν εὐιματῇς* S Mac.: *ἀνευειματῇς* M^d *ἂν δ᾽ εὐειματῷς* A² *ἂν εὐοιματῷς* vel *εὐθιματῷς* (tres litterae priores redintegratae sunt, rasurae vestigium post *εὐ*) Br¹ *ἂν εὖ ἱματῇς* corp. Par.; *ἂν εὐειματῷς* praetulit Meineke v. IV p. LXI ‖ 7 *χρόνων* (*χρόν̄* S) S M^d A¹ Br Mac. corp. Par.: *χρόνου* Tr., inde vulg. *χρόνων* [ου] supra scr. A² ‖ 8 *ἐὰν* Br | *ἀλαζων ᾖς* Br A²: *ἀλαζονῇς* S M^d A¹ Mac. *ἀλαζονεύῃς* corp. Par. nihili esse verbum *ἀλαζονέω* monuit Meineke v. IV p. LXI ‖ **9** *δὲ*] cf. supra p. 27, 18 ‖ **10** *ἐὰν* libri ‖ **11** ecl. cum lemm. hab. S M A, lemmate omisso Br; *ἰσηδώρου* A. iteratur versus cum lemmate *Ἰσιδώρου* corp. Par. 656 Elt. idem est in Men. mon. 249 ‖ **12** *τὰ ὀπίσω* S M^d A corp. Par.: *τἀπίσω* (ante *π* rasurae aliquid) Br *τοὐπίσω* mon. *τἀπί σοι* haud male Apostolius cent. III 8: quae tuae ipsius potestatis sunt, id est *θνητὰ* vel *ἀνθρώποις ἴσα* (cf. ecl. 22, 23) ‖ **13** ecl. cum lemm. hab. S M (post ecl. 22, 27) A (post ecl. 22, 29);

Ἐφ' ᾧ φρονεῖς μέγιστον, ἀπολεῖ τοῦτό σε,
τὸ δοκεῖν τιν' εἶναι· καὶ γὰρ ἄλλους μυρίους.

29 *Μενάνδρου Ἐπαγγελλόμενος* (fr. 1 com. IV p. 115).

Τὸ σὸν ταπεινόν, ἂν σὺ σεμνύνῃ, καλὸν
ἔξω φανεῖται, φίλ' ἄνερ· ἂν δ' αὐτὸς ποιῇς
ταπεινὸν αὐτὸ καὶ τιθῇς ἐν μηδενί,
οἰκεῖος οὗτος κατάγελως νομίζεται.

30. 31 *Τοῦ αὐτοῦ Κανηφόρος* (fr. 1 com. IV p. 143).

Τὸ γὰρ προθύμως μὴ πονήσαντας τυχεῖν
εὐδαιμονίας εἴωθ' ὑπερηφανίας ποιεῖν.

32 *Εὐριπίδου Τηλέφου* (fr. 716 N.[2]).

Σὺ δ' εἴκ' ἀνάγκῃ καὶ θεοῖσι μὴ μάχου·
τόλμα δὲ προσβλέπειν με καὶ φρονήματος
χάλα. τά τοι μέγιστα πολλάκις θεὸς
ταπειν' ἔθηκε καὶ συνέστειλεν πάλιν.

33 *Αἰλιανοῦ ἱστοριῶν* (var. hist. III 28).

Ὁρῶν ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλούτῳ, καὶ μέγα φρονοῦντα ἐπὶ τῇ περιουσίᾳ καὶ

μ^ε fab. n. om. S *μενάνδρου* (*τοῦ αὐτοῦ* A) *ἐμπιμπραμένη* M[d] A. nominativus commendatur proximis

2 *τὸ* corr. ex *τῷ* S[1] | *τις* coniecit Meineke ‖ 3 ecl. cum lemm. hab. S (post 22, 28) A (post 22, 27), om. M. nescio igitur an in margine archetypi addita fuerit ecloga ut ubi intexenda esset non satis pateret ‖ 4 *ἂν σὺ* Grotius dict. poet. p. 527: *ἂν οὐ* S *οὐ* A | *σεμνύνῃ* S: *σεμνύνῃς* nescio quis | *καλον* sine acc. S ‖ 6 *τιθῇς* Gaisford: *τίθης* S *τιθεὶς* A ‖ 8 ecl. cum lemm. hab. S (post ecl. 22, 29) M A (post ecl. 22, 28); *μενάνδρου* pro *τοῦ αὐτοῦ* M ‖ 9 *προχείρως* ci. Nauck *mél. gr.-rom.* II p. 260 | *πονήσαντας τυχεῖν* Pflugk: *πονῆσαν εὐτύχησε* S *πονῆσαντ εὖ τύχησεν* M[d] *πονήσαντες εὐτύχησεν* A ‖ 10 versum sine lemm. cum priore iungunt S M A: *Εὐριπίδου* perperam ex proxima huc retraxit Tr., vulg. | *εὐδαιμονίας* Meineke et Pflugk: *εὐδαιμονία* S *-ίαις* M[d] *-ία* ex *-ίας* ni fallor corr. A[1] | *εἴωθεν* S M[d] A | *ὑπερηφανείας* M[d]; *ὑπερηφανίαν* mavult Meineke, *ὑπερηφάνους* (si recte emendatus sit v. 9) Buecheler ‖ 11 ecl. cum lemm. hab. S, om. M A; *τηλέφου* reposui ex S, *τηλέφῳ* Gaisfordo teste cod. Paris. 1985 ‖ 12 *εἶχε* S ‖ 15 *ταπειν* (α superscr.) S ‖ 16 ecl. cum lemm. hab. S (post ecl. 22, 32) M A (post ecl. 22, 30. 31), sine lemm. Br (post ecl. 22, 27) ‖ 18 *ἐπὶ τῇ περιουσίᾳ καὶ ἔτι πλέον ἐπὶ τοῖς ἀγροῖς* M[d] A Br: *ἐπὶ τῇ περιουσίᾳ καὶ τοῖς ἀγροῖς* S Tr., inde

[redacted]

ἔτι πλέον ἐπὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν εἴς τινα τῆς πόλεως τόπον, ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξε τῷ Ἀλκιβιάδῃ τὴν Ἀττικὴν ἐνταῦθ' ἀναζητεῖν. ὡς δ' εὗρε, προσέταξεν αὐτῷ καὶ τοὺς ἀγροὺς τοὺς ἰδίους αὐτοῦ διαθρῆσαι· τοῦ δὲ εἰπόντος 'ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσίν' 'ἐπὶ τούτοις οὖν' εἶπε 'μέγα φρονεῖς, οἵπερ οὐδὲν μέρος τῆς γῆς εἰσιν;'

34 *Δημοσθένους* (XVIII § 128 p. 269 sq.).

Παιδείας τῶν μὲν ἀληθῶς τετυχηκότων οὐδ' ἂν εἷς εἴποι μέγα οὐδὲν περὶ ἑαυτοῦ, ἀλλὰ καὶ ἑτέρου λέγοντος ἐρυθριάσειεν ἄν· τοῖς δ' ἀπολειφθεῖσι μέν, προσποιουμένοις δὲ ὑπὸ ἀναισθησίας τοὺς ἀκούοντας ἀλγεῖν ποιεῖ.

35 *Σωκράτους.*

Παρὰ τῷ τύφῳ, καθάπερ παρὰ κακῷ πλάστῃ, διεστραμμένας τὰς τῶν πραγμάτων εἰκόνας ἰδεῖν ἔστιν.

36 *Σωκράτους.*

---

vulg., *ἐπὶ τοῖς ἀγροῖς* codices Ael.; formulam Aelianeam *καὶ ἔτι πλέον* agnovit Hercher ed. Didot. praef. p. VI

1 *τῆς πόλεως* om. codd. Ael. ‖ 3 *τῷ Ἀλκιβιάδῃ* om. codd. Ael. ‖ 4 *προσέταξεν αὐτῷ* M^d A Br: *προσέταξε* S, codices Ael. | *τοὺς ἀγροὺς τοὺς ἰδίους αὐτοῦ* M^d A Br: *τοὺς ἰδίους ἀγροὺς αὐτοῦ* S *τοὺς ἀγροὺς τοὺς ἰδίους* recte Ael. ‖ 6 *εἰσίν* solito compendio S, sed deleto altero compendio quod per errorem scriptum erat | *οὖν* om. codices Ael. ‖ 7 *οἵπερ* Ael.: *οἱ περὶ* S M^d A Br ‖ 8 ecl. cum lemm. hab. M A, om. S. luculentum eclogariae interpolationis exemplum ‖ 9 *παιδείας τῶν μὲν ἀληθῶς τετυχηκότων* M^d A: *ποῦ δὲ παιδείας σοὶ θέμις μνησθῆναι; ἧς τῶν μὲν ὡς ἀληθῶς τετυχηκότων* Demosth. ‖ 10 *εἴποι* M^d, Demosth.: *εἴπῃ* A; *εἶπεν* Blass | *μέγα οὐδὲν* (sic) *περὶ ἑαυτοῦ* M^d A: *περὶ αὑτοῦ τοιοῦτον οὐδέν* Demosth. | *οὐδὲ* pro *οὐδὲν* oscitanter Gaisford, inde Meineke | *καὶ* M^d A: *κἂν* Demosth. ‖ 11 *ἐρυθριάσειεν ἂν* M^d A: *ἐρυθριάσειε* Demosth.; *ἠρυθρίασεν* Blass (ex Liban. et Aristaen.) | post *μὲν* add. *ὥσπερ σύ* Demosth. ‖ 12 *δ' ὑπ'* Demosth. | *τοὺς ἀκούοντας ἀλγεῖν ποιεῖ* M^d A: *τὸ τοὺς ἀκούοντας ἀλγεῖν ποιεῖν* (vide Blass ad h. l. p. XCIX), *ὅταν λέγωσιν, οὐ τὸ δοκεῖν τοιούτοις εἶναι περίεστιν* Demosth. ‖ 13 ecl. sine lemm. hab. S, addito lemmate M A, om. Tr. p. 147; *σωκράτους* reposui ex M^d *Σωκράτης* A. Cynicorum videtur esse Socrates vel Stoicorum, etiam in proximis ‖ 14 *ὥσπερ* (*καθά* superscr.) A[1] ‖ 15 *ἔστιν* tacite Meineke: *ἐστιν* ut videtur libri ‖ 16 ecl. cum lemm. hab. S M(?) A; *τοῦ αὐτοῦ* A

Ἡ δεισιδαιμονία καθάπερ πατρὶ τῷ τύφῳ πείθεται.

37 *Τοῦ αὐτοῦ.*

Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διίστησι, τοὺς δὲ ἀνοήτους ἀνθρώπους τὸ οἴημα.

38 *Σωκράτους.*

Σωκράτης ἐρωτηθεὶς τίνες βάναυσοι, ʽοἱ τῶν ὁμοίων᾽ ἔφη ʽκαταφρονοῦντες᾽.

39 *Φαβωρίνου* (fr. 106 Marres.).

Φρονήσῃς μὲν οὖν μηδέποτε ἐπὶ σεαυτῷ μέγα· ἀλλὰ μηδὲ καταφρονήσῃς σεαυτοῦ.

40 *Διογένους.*

Τῆς ἀλαζονείας καθάπερ τῶν κεχρυσωμένων ὅπλων οὐχ ὅμοιά ἐστι τὰ ἐντὸς τοῖς ἐκτός.

41 *Τοῦ αὐτοῦ.*

Ὁ τῦφος ὥσπερ ποιμὴν οὐ θέλει τοὺς πολλοὺς ἄγει.

42 *Δημοκρίτου* (fr. mor. 190 Mullach.).

---

1 *καθάπερ ποιμένι* coll. ecl. 41 ci. Meineke immerito ‖ 2 ecl. cum lemm. *τοῦ αὐτοῦ* hab. S M A (post ecl. 22, 36), cum lemm. *σωκράτους* compend. Br (post ecl. 22, 33). recurrit gnoma corp. Par. 235 Elt. (*Σωκράτους*); gnomol. Byz. 229 p. 202 Wachsm. (Bar. 207); flor. Mon. 254 Leid. 241; flor. Schenkelii (*Wien. stud.* XI p. 33) 122; Demophil. simil. 57 ‖ 4 *ἀνθρώπους* (*ἄνδρας* Bar.) om. S Mon. | *ἡ οἴησις* pro *τὸ οἴημα* male flor. Schenk. ‖ 5 ecl. sine lemm. hab. S, addito lemmate M A ‖ 7 *ἔφη* post *βάναυσοι* A fortasse recte, post *ὁμοίων* S, om. M^d ‖ 8 ecl. cum lemm. hab. S M A; *Φαβωρίνου* Tr. p. 147 (cf. supra p. 240 adn. 6): *φαβουρίνου* S M^d A ‖ 9 *φρονήσῃς* Tr.: *φρονήσεις* S M^d *φρονήσεις* A^1 | *μηδέποτε* S: *οὐδέποτε* M^d A ‖ 10 *σεαυτοῦ* S A: *ἑαυτοῦ* M^d ‖ 11 ecl. cum lemm. hab. S M A (post ecl. 22, 39) Br (post ecl. 22, 37). recurrit Demophil. simil. 7 ‖ 12 *τῆς ἀλαζονείας* S M^d A Demophil.: *τοῖς* (sed *οῖς* in ras. ut videtur) *ἀλαζόσι* Br ‖ 13 *τὰ ἐντὸς τοῖς ἐκτός* (*ἐκτοῖς* S) S M^d Br Demophil.: *τὰ ἐκτὸς τοῖς ἐντός* A ‖ 14 ecl. cum lemm. *τοῦ αὐτοῦ* hab. S A, cum lemm. *διογένουσ* M^d. recurrit corp. Par. 433 Elt. (*τοῦ Διογένους*) ‖ 15 *οὐ* (*οὐ* corp. Par.) libri: *οἱ* mavult Meineke v. IV p. LXI | *τοὺς πολλοὺς* secludit Zeller *phil.*^{4} II 1 p. 315 adn. 3 vix recte. idem Philisco fortasse vocem tribuendam esse opinatur coll. Laert. VI 80 ‖ 16 ecl. cum lemm. hab. S M (post ecl. 22, 41) Br (post ecl. 22, 40, om. 41) A (post ecl. 22, 46)

Τελευτᾷ γὰρ ἐς κακοδοξίην κακὴν ὁ παρεκτεινόμενος τῷ κρέσσονι.

43 *Δημοκράτους.*

Δημοκράτης ἀναβαίνων εἰς τὴν ἀκρόπολιν ἐν γήρᾳ καὶ πνευστιῶν ποιεῖν ἔφη ὅπερ καὶ σύμπασα ἡ Ἀθηναίων πόλις· πνεῖν μὲν γὰρ μέγα, ἰσχύειν δὲ μικρόν.

44 *Ξενοφῶντος ἐν β' Κύρου παιδείας* (II 2, 12).

Ὁ μὲν γὰρ ἀλαζὼν ἔμοιγε δοκεῖ ὄνομα κεῖσθαι ἐπὶ τοῖς προσποιουμένοις καὶ πλουσιωτέροις εἶναι ἢ εἰσὶ καὶ ἀνδρειοτέροις, καὶ ποιήσειν ἃ μὴ ἱκανοί εἰσιν ὑπισχνουμένοις, καὶ ταῦτα φανεροῖς γιγνομένοις, ὅτι τοῦ λαβεῖν τι ἕνεκα καὶ κερδᾶναι ποιοῦσιν· οἱ δὲ μηχανώμενοι γέλωτα τοῖς συνοῦσι μήτε ἐπὶ τῷ αὑτῶν κέρδει μήτε ἐπὶ ζημίᾳ τῶν ἀκουόντων μήτ' ἐπὶ βλάβῃ μηδεμιᾷ, πῶς οὐχ οὗτοι ἀστεῖοι ἂν καὶ εὐχάριτοι δικαιότερον ὀνομάζοιντο ἢ ἀλαζόνες;

45 *Ξενοφῶντος ἐν τῷ η' τῆς Κύρου παιδείας* (VIII 4, 14).

---

1 *Τελευτᾷ γαρ*] quaenam praecesserint, incerta coniectura explicare studet Orelli opusc. sent. et mor. I p. 510 | *ἐς* M[d] A Br *εἰς* S | '*κακὴν* redundat' Meineke v. IV p. LXI. poteris *μάτην ὁ παρεκτ.*, nisi males cum Buechelero *ἐς κενοδοξίην κακὴν* || 2 *κρέσσονι* S M[d] A; *χρείσσονι* Tr. p. 147, vulg. || 3 ecl. cum lemm. hab. S M A Br; *δημ*[ος] S. inter Democratis dicteria Plutarchus praec. ger. rei p. p. 803 E refert hoc: *ἀναβαίνων μὲν γὰρ εἰς τὴν ἐκκλησίαν, ἔφη, καθάπερ ἡ πόλις μικρὸν ἰσχύειν καὶ μέγα φυσᾶν.* cf. quae disseruit Sternbach ad gnomol. Vat. 248 || 4 *Δημοκράτης* om. Br | *εἰς* S M[d] A: *ἐς* Br | 5 *ποιεῖν ἔφη* S M[d] Br: *ἔφη ποιεῖν* A | *σύμπασα* S M[d] A Br: *ξύμπασα* Tr., inde vulg. | *ἡ ἀθηναίων* (*α*[θθ] S) *πόλις* S M[d] Br: *ἡ τῶν ἀθηναίων πόλις* A || 7 ecl. cum lemm. *ξενοφ*[ω] (infra *ω* compendium) *ἐν Β' κύρ*[ο] *παι* hab. S, om. M A; nihil nisi *Ξενοφῶντος* Tr., inde vulg. || 9 *εἰσὶ* Tr. Xen.: *εἰσὶν* S || 13 *συνοῦσι* Tr. Xen.: *συνοῖσιν* S | *αὑτῶν* Xen.: *αὐτῶν* S || 15 *εὐχάριτοι* S: *εὐχάριστοι* Tr., inde vulg. *εὐχάριτες* Xen. cf. Sauppe lexil. Xen. p. 56 | *δικαιότερον ὀνομάζοιντο* revocavi ex S Xen.: *ὀνομάζοιντο δικαιότερον* Tr., inde vulg. | post *ὀνομάζοιντο* addit *μᾶλλον* Xen. || 17 ecl. cum lemm. hab. S (post ecl. 22, 44) M A (post ecl. 22, 43); pro lemmate *ξ̃ αυ*[τ] *ἐν*[τ] *η'* S

[redacted]

Δοκεῖ δέ μοι, ὦ Κῦρε, χαλεπώτερον εἶναι εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς ἢ τὰ κακὰ φέροντα. τὰ μὲν γὰρ ὕβριν τοῖς πολλοῖς, τὰ δὲ σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ.

46 *Ἡροδότου ἱστορίας ζ'* (VII 10).

2 sententiam Soloni adsignat Suidas l. c., alii, Cleobulo sunt qui restitui velint supra p. 112, 4 | *εἶπεν* om. Br ‖ 3 ecl. cum lemm. hab. S (post ecl. 29, 67) MA (post ecl. 29, 70); *φαβουρίνου* SMA ‖ 4 *τινὰ φασὶν* M ‖ 6 ecl. cum lemm. hab. S (post ecl. 29, 69) MA Mac. Chrys. (post ecl. 29, 68), sine lemm. Br (post ecl. 29, 68 sed om. 69). fortasse igitur rectior haec dispositio: 68. 70. 69. recurrit ecloga sine lemm. corp. Par. 992 Elt., item in cod. Par. 1310 Boisson. anecd. gr. IV p. 197 ‖ 7 *Λᾶσος* cod. Par. Boiss.: *τάσσος* SMA Br Mac. *Λασσὸς* corp. Par. | *ὁ* addidi ex cod. Boiss. corp. Par. | *ἑρμϊορεὺς* Mac. *ἑρμηνεὺς* corp. Par. | *ἐρωτηθεὶς* S Br: *ἐρωτηθεὶς ὑπό τινος* MA Mac. corp. Par. cod. Boiss. | *σοφώτατον* aperte etiam S, fallitur Gaisford; *σοφώτερον* Tr. p. 162 ‖ 8 *πεῖρα* A Mac. corp. Par.: *πειραν* sine acc. S *πεῖραν* M Br *ἡ πεῖρα* cod. Par. Boiss. articulum recepit Meineke ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 29, 70) MA (post ecl. 29, 69); *ἐξ* ante *ἀγ.* accessit ex M, *ἀγησιλάου* om. S ‖ 10 *ἐξεπονεῖτο* SMA: *ἐξεπόνει τὰ ἴδια* Xen. ‖ 11 ecl. cum lemm. hab. SMA; *ξενοφῶντος* (compend.) *ἐκ τ α' παιδείας* S *ξενοφῶντος* (*τοῦ αὐτοῦ* A) *ἐκ τοῦ πρώτου τῆς παιδείας* MA; malim *τῆς ⟨Κύρου⟩ παιδείας*, sed cf. III 16, 26 ‖ 12 *οὐκ* SMA: *ὡς δ' οὐκ* Xen. ‖ 13 *ἃ* SMA ut Xenophontis Erlangensis: *ὅ* Xenophontis plurimi | *ἐκαλινδεῖτο* Xenophontis plurimi: *ἐκυλινδεῖτο* SMA | *βέλτιον* Xen.

[redacted]

73 *Ξενοφῶντος.*

Κῦρος ἐστὶ βασιλέως καὶ ἀδελφὸς καὶ υἱὸς καὶ ἄρχει πολλῆς χώρας, κἀκεῖνος οὔτ' ἂν ἀριστήσειεν οὔτε δειπνήσειεν, πρὶν ἱδρῶσαι.

74 *Ξενοφῶντος ἐκ τοῦ α' τῆς Κύρου παιδείας* (I 5, 9—10).

Καίτοι ἔγωγε οἶμαι οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀνθρώπων, ὡς μηδὲν πλέον ἔχωσιν οἱ ἀγαθοὶ γενόμενοι τῶν πονηρῶν· ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι οὐχ ἵνα μηδέποτ' εὐφρανθῶσι, τοῦτο πράττουσιν, ἀλλ' ὅπως διὰ ταύτην τὴν ἐγκράτειαν πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφραίνωνται, οὕτω παρασκευάζονται· οἵ τε λέγειν προθυμούμενοι δεινοὶ γενέσθαι οὐχ ἵνα εὖ λέγοντες μηδέποτε παύσωνται, τοῦτο μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ λέγειν εὖ πείθοντες πολλοὺς ἀνθρώπους μεγάλα ἀγαθὰ διαπράξασθαι· οἵ τ' αὖ τὰ πολεμικὰ ἀσκοῦντες οὐχ ὡς μαχόμενοι μηδέποτε παύσωνται, τοῦτ' ἐκπονοῦνται, ἀλλὰ νομίζουσι καὶ οὗτοι τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι πολὺν μὲν ὄλβον, πολλὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ τιμὰς καὶ τῇ πόλει καὶ αὑτοῖς περιάψειν.

---

1 ecl. cum lemm. hab. SMA (post ecl. 29, 72) Mac. Chrys. (post ecl. 29, 70), sine lemm. Br (post ecl. 29, 70); *ξ αυ^τ* S, fallitur Gaisford. *ξενοφῶντος* M Mac. *τοῦ αὐτοῦ* A. liberius haec suaque Minerva composuit gnomologus respiciens Cyrop. VIII 1, 38 *καὶ οὔτ' αὐτός ποτε πρὶν ἱδρῶσαι δεῖπνον ᾑρεῖτο οὔτε ἵπποις ἀγυμνάστοις σῖτον ἐνέβαλλε.* cf. oecon. 4, 24 *ὄμνυμί σοι τὸν Μίθρην, ὅταν περ ὑγιαίνω, μηπώποτε δειπνῆσαι πρὶν ἱδρῶσαι κτέ.* ‖ **2** *ἀδελφὸς* SMA (compend. S): *ἀδελφιδοῦς* Tr. p. 162, inde vulg. ‖ **5** ecl. cum lemm. hab. SMA; pro lemm. *ἐν ταυτ̃* nec plura S ‖ **6** *ἔγωγε* SMA ut Xenophontis Erlangensis: *ἐγὼ* Xen. ‖ **7** *πλεῖον* Xenophontis plurimi | *ἀγαθοὶ* SMA cum nonnullis Xenophontis: *ἐσθλοὶ* Xen. ‖ **9** *μηδέποτε* M ‖ **10** *ὅπως* et mox (11) *εὐφραίνωνται* SMA: *ὡς — εὐφρανούμενοι* Xen. ‖ **11** *παρασκευάζονται* SM Xen.: *παρασκευάζωνται* A ‖ **14** *πολλοὺς ἀνθρώπους μεγάλα* SMA sicut Xenophontis Erlangensis: *ἀνθρώπους πολλὰ καὶ μεγάλα* Xen. ‖ **15** *οἵ τ' αὖτὰ* vel *οἵ* (*οἳ* in *οἵ* corr. M[1]) *τ' αὐτὰ* SMA: *καὶ οἱ ταῦτα τὰ* Xen. ‖ **17** *ἐκπονοῦνται* SMA Xenophontis Erlangensis: *ἐκπονοῦσιν* Xen. | *νομίζοντες* Xen. ‖ **18** *πολλὴν* SM Xen.: *πολὺν* A ‖ **19** *καὶ τῇ πόλει καὶ αὐτοῖς* (*αὑτοῖς* tacite Meineke) SMA: *καὶ ἑαυτοῖς καὶ πόλει* Xenophontis plurimi *καὶ αὑτοῖς καὶ τῇ πόλει* Xenophontis Erlangensis

εἰ δέ τινες ταῦτα ἐκπονήσαντες, πρίν τινα ἀπ' αὐτῶν καρπὸν κομίσασθαι περιεῖδον αὐτοὺς γήρᾳ ἀδυνάτους γενομένους, ὅμοιον ἔμοιγε δοκοῦσι πεπονθέναι, οἷον εἴ τις γεωργὸς ἀγαθὸς προθυμηθεὶς γενέσθαι καὶ εὖ σπείρων καὶ εὖ φυτεύων, ὅτε ἀποκαρποῦσθαι ταῦτα δέοι, ἐῴη τὸν καρπὸν ἀσυγκόμιστον εἰς τὴν γῆν πάλιν καταρρεῖν· καὶ εἴ τις ἀθλητὴς πολλὰ πονήσας καὶ ἀξιόνικος γενόμενος ἀναγώνιστος διατελέσειεν, οὐδ' ἂν οὗτος ἔμοιγε δοκεῖ δικαίως ἀναίτιος εἶναι ἀφροσύνης.

75 *Μουσωνίου ἐκ τοῦ Ὅτι πόνου καταφρονητέον* (rel. p. 182 Peerlk.).

Πρὸς δὲ τὸ ῥᾷον καὶ προθυμότερον ὑφίστασθαι τῶν πόνων ἐκείνους, οὓς ἂν ὑπὲρ ἀρετῆς καὶ καλοκαγαθίας μέλλωμεν πονεῖν, ταῦτα λελογίσθαι χρήσιμα· πόσα μὲν πονοῦσιν ἔνιοι δι' ἐπιθυμίας κακάς, ὥσπερ οἱ ἐρῶντες ἀκολάστως, πόσα δ' ὑπομένουσιν ἄλλοι τοῦ κερδαίνειν χάριν, πόσα δ' αὖ κακοπαθοῦσιν ἔνιοι θηρώμενοι δόξαν· καὶ ὅτι οὗτοι πάντες ὑπομένουσιν αὐθαίρετοι πᾶσαν ταλαιπωρίαν. ἆρ' οὖν οὐχὶ δεινὸν ἐκείνους μὲν ὑπὲρ οὐδενὸς τῶν καλῶν ἀνέχεσθαι ταῦτα πάσχοντας, ἡμᾶς δ' ὑπὲρ καλοκαγαθίας καὶ τοῦ κακίαν μὲν ἐκφυγεῖν τὴν λυμαινομένην ἡμῶν τὸν βίον, κτήσασθαι δὲ ἀρετήν, ἥ τις

---

1 *τινα καρπὸν ἀπ' αὐτῶν* Xen. ‖ 2 *περιεῖδον αὐτοὺς* (vel *αὐτ-*) S M A Xen.: *αὐτοὺς* (om. *περιεῖδον*) Tr.; *περιεῖδον* male supplevit post *γινομένους* (3) Gesn.[1] p. 198, inde vulg. | *γῆρα* M ‖ 3 *γενομένους* Xen.: *γινομένους* S M A | *οἷον* om. A[1] ‖ 5 *ὅτε ἀποκαρποῦσθαι* S M A: *ὁπότε* (vel *ὁπότε αὐτὸν*) *καρποῦσθαι* libri Xen. ‖ 7 *εἴ τίς γε ἀσκητὴς* Xen. ‖ 8 *οὗτος ἔμοιγε* S M A Xenophontis Erlangensis: *οὗτός μοι* Xen. ‖ 10 ecl. cum lemm. hab. S M A (post ecl. 29, 74) Br (post ecl. 29, 95); pro lemm. *μουσωνίου* nec plura Br ‖ 12 initium eclogae usque ad p. 644, 11 *φίλους ἀληθινούς* om. Br | *Πρὸς* in ras. M rubr. ‖ 14 *μέλλομεν* A | *λελογεῖσθαι* M ‖ 15 *ὥσπερ* — 16 *ἀκολάστως* secludi vult Meineke ‖ 16 *πόσοι* S, ubi *δ' ὑπομένουσιν* ut in reliquis, fallitur Gaisford Ecl. II p. 868 | *οἱ* ante *ἄλλοι* add. Tr., inde vulg. ‖ 18 *καὶ ὅτι* libri; praestat fortasse *καίτοι* vel *καὶ* [*ὅτι*] *οὗτοι* ‖ 20 *ἡμᾶς* etiam A, errat Gaisford ‖ 22 $\overset{\omega}{\text{ἡμιν}}$ A[2] | post *ἥτις* rasura S

ἁπάντων τῶν ἀγαθῶν ἐστι χορηγός, μὴ πάντα πόνον ἑτοίμως ὑφίστασθαι; καίτοι οὐδ᾽ ἂν εἴποι τις ὅσῳ κρεῖττον, ἀντὶ μὲν τοῦ πονεῖν ἵνα τύχῃ τις γυναικὸς ἀλλοτρίας, τὸ πονεῖν ἵνα παιδαγωγήσῃ τὰς ἐπιθυμίας τὰς ἑαυτοῦ· ἀντὶ δὲ τοῦ περὶ χρημάτων ταλαιπωρεῖν τὸ ἀσκεῖν ὥστε ὀλίγων δεῖσθαι· πρὸ δὲ τοῦ πράγματα ἔχειν ὑπὲρ δόξης τὸ πραγματεύεσθαι ὅπως μὴ δοξοκόπος ᾖ· πρὸ δέ γε τοῦ ζητεῖν ὅπως ᾧ φθονεῖ τις κακοποιήσῃ τοῦτον, τὸ σκοπεῖν ὅπως μηδὲν φθονήσῃ μηδενί· καὶ πρό γε τοῦ δουλεύειν τισὶ καλουμένοις φίλοις, ὥσπερ οἱ κόλακες, τὸ κακοπαθεῖν ἵνα κτήσηται φίλους ἀληθινούς· καθόλου δὲ τοῦ πονεῖν πᾶσιν ἀνθρώποις ἀναγκαίου ὄντος, τοῖς τε τῶν κρειττόνων ὀρεγομένοις καὶ τοῖς τῶν χειρόνων, τὸ μὴ πολλῷ εἶναι προθυμοτέρους πονεῖν τοὺς τὰ κρείττω μετιόντας ⟨ἢ⟩ οἷς ἐλπίδες μικραὶ τῶν πόνων εἰσίν, ἀτοπώτατον. ἀλλ᾽ οἱ μὲν ἄρα θαυματοποιοὶ δύσκολα οὕτως ὑφίστανται πράγματα καὶ τὴν ζωὴν παραβάλλονται τὴν ἑαυτῶν, οἱ μὲν εἰς μαχαίρας κυβιστῶντες, οἱ δ᾽ ἐπὶ κά-

---

6 *πράγματα* (sic ut tacite corr. Gesn.[1] p. 198, inde vulg.) A e corr.: *πράγματος* S M A[1] ‖ **7** *πραγματεύεσθαι* M Tr. p. 163, inde vulg.: *πραγματεύσασθαι* S A | *δοξοκόπος εἴη* libri: *δοξοκόπος τις ᾖ* Halm lect. Stob. p. 3, unde Meineke *δοξοκόπος ᾖ* vel *δοξοκοπήσῃ* ‖ **8** *τοῦτον τὸ σκοπεῖν* S A *τοῦτον σκοπεῖν* M; *τοῦτο σκοπεῖν* Gesn.[1] p. 198, inde vulg. ‖ **9** *μηδὲν* fuerat, sed in *μηδὲ* corr. S[1] (fallitur Gaisford Ecl. II p. 868), *μηδὲν* Tr., inde vulg.: *μὴ δὲ* M *μὴ* A ‖ **10** v. *ὥσπερ οἱ κόλακες* insiticia esse suspicatur Meineke ‖ **11** *καθόλου*] abhinc orditur Br ‖ **13** *τῶ* S M A: *τὸ* ex em. A[2], Br ‖ **15** *ἢ* addidit Halm lect. Stob. p. 4, viam monstraverat Peerlkamp p. 311 | *ἐλπίδες μικραὶ τῶν πόνων* S: *ἐλπίδες* (*ἐλπ.* ut solet M) *τῶν μικρῶν* (*μακρῶν* corr. Br[1]) *πόνων* M Br *ἐλπίδες τῶν μικρῶν πόνων* A superscr. *μεγάλαι* A[2]. cf. Seneca de ira II 12, 5 *istis . . . aut nulla tam pertinacis studii aut non digna merces fuit (quid enim magnificum consequitur ille, qui meditatus est per intentos funes ire? . . .) et tamen ad finem operis non magno auctoramento labor pervenit: nos* etc. ‖ **16** *ἀλλ᾽ οἱ* M Br: *αλλοι* (sic) S *ἄλλοι* A[1] | *μεν αρα* (sine sp. et acc.) S | *θαυματοποιοὶ* (-*οῖ* M) M Br: *θαυμαστοποιοὶ* S A[1] | *δύσκολα* — 17 *πράγματα* melius me iudice abessent | *δύσκολα* om. Br | *ὄντως* pro *οὕτως* ci. Meineke

λων μετέωροι βαδίζοντες, οἱ δ' ὥσπερ ὄρνεα πετόμενοι διὰ τοῦ ἀέρος, ὧν τὸ σφάλμα θάνατός ἐστιν. καὶ ταῦτα πάντα δρῶσι μικροῦ χάριν μισθοῦ· ἡμεῖς δ' οὐκ ἀνεξόμεθα ταλαιπωρεῖν ὑπὲρ εὐδαιμονίας ὅλης; οὐ γὰρ ἄλλο τί γε τέλος ἐστὶ τοῦ γενέσθαι ἀγαθὸν ἢ τὸ εὐδαιμονεῖν καὶ ζῆν μακαρίως εἰς τὸ λοιπόν. εἰκότως δ' ἄν τις λογίζοιτο καὶ τὸ τῶν ζῴων ἐνίων ὁποῖόν ἐστι, πάνυ τι δυνάμενον ἐντρέπειν ἡμᾶς φιλοπόνους εἶναι. οἱ γοῦν ὄρτυγες καὶ ἀλεκτρυόνες οὔτ' ἀρετῆς ἐπαΐοντες οὐδὲν ὥσπερ ὁ ἄνθρωπος οὔτε τὸ καλὸν καὶ δίκαιον εἰδότες οὐδ' ὑπὲρ τοιούτου πονοῦντες οὐθενός, ὅμως μαχόμενοι πρὸς ἀλλήλους καὶ πηρούμενοι ἀνέχονται καὶ μέχρι θανάτου καρτεροῦσιν, ὥστε μὴ ἡττᾶσθαι θατέρου ὁ ἕτερος. πόσῳ δὴ μᾶλλον εἰκὸς ἡμᾶς ἀνέχεσθαί τε καὶ καρτερεῖν, ὅταν ἐπιστώμεθα διά τι τῶν καλῶν κακοπαθοῦντες, ἢ ἵνα φίλοις βοηθήσωμεν ἢ πόλιν ὠφελήσωμεν ἢ ἵνα γυναικῶν ἢ τέκνων ὑπερμαχήσωμεν, τὸ δὲ μέγιστον καὶ κυριώτατον, ἵνα ἀγαθοὶ ὦμεν καὶ δίκαιοι καὶ σώφρονες; ὃ δίχα πόνων οὐ παραγίνεται οὐδενί. ὅθεν ἔπεισί μοι λέγειν, ὡς ὁ μὴ θέλων πονεῖν σχεδὸν καταδικάζει αὐτὸς αὑτοῦ μηδενὸς εἶναι ἀγαθοῦ ἄξιος, ὅτι τὰ ἀγαθὰ πόνῳ πάντα κτώμεθα.

---

1 *πετώμενοι* M ‖ 3 *δρῶσιν* S M | *ἀνεξώμεθα* M | infinitivus ne offensioni sit, conferatur I p. 155, 13 et 157, 28 Mein. ‖ 4 *ἄλλο τι* pro *ἄλλο τί γε* mavult Meineke ‖ 7 *πάνυ τι* S: *πάνυ δὴ* M A Br ‖ 9 *ἀλεκτρ.*] cf. Philo *Περὶ τοῦ πάντα σπουδ. εἶναι ἐλ.* p. 466 Mang. Lucianus Anach. 37 ‖ 11 *οὐθενὸς* S M: *οὐδενὸς* A Br ‖ 14 *ὅτε* pro *ὅταν* A[1] | *ἐπιστώμεθα* corr. A[2]: *ἐφιστώμεθα* S M A Br ‖ 16 *ἢ* ⟨*ἵνα*⟩ *πόλιν*? ‖ 17 post *ὑπερμαχήσωμεν* interpunxit lenius, fortius post *σώφρονες* (18) Meineke | *κυριώτατον* sed *ον* ex corr. Br[1] ni fallor | ante *ἵνα* quod scripserat *ἢ* A[1] delevit A | *ἵνα* (*αὐτοὶ* superscr.) *ἀγαθοὶ* A, unde *ἵν' αὐτοὶ ἀγαθοὶ* Meineke haud male ‖ 18 *καὶ δίκαιοι* om. A | *ὃ δίχα* A (sic): *δίχα* (om. *ὃ*) S M Br; *ὃ* supplementum videtur, sed verum. certe haec verba *δίχα — οὐδενὶ* parum apte vulgo copulantur cum superioribus | *οὐ παραγίνεται* S M Br: *παραγίνεται* A; fortasse *οὐ περιγίνεται* collatis eis quae dixit III 1, 209 p. 176, 4 *ὃ περιγίνεται τῷ προθύμως εὐεργετοῦντι* (ubi *ὅπερ γίνεται* A) ‖ 20 *αὐτοῦ* M ‖ 21 *πόνῳ πάντα* M A Br: *πάντα πόνῳ* S

ταῦτα μὲν καὶ τοιαῦθ' ἕτερα εἶπε τότε, ἐπεγείρων καὶ παρορμῶν τοὺς παρόντας πόνου καταφρονεῖν.

76 *Ξενοφῶντος* (Cyneg. XII 1—5).

Περὶ μὲν αὐτῶν τῶν πράξεων τῶν ἐν τοῖς κυνηγεσίοις εἴρηται. ὠφελήσονται δ' οἱ ἐπιθυμήσαντες τούτου τοῦ ἔργου πολλά. ὑγείαν τε γὰρ τοῖς σώμασι παρασκευάζει καὶ ὁρᾶν καὶ ἀκούειν μᾶλλον, γηράσκειν δὲ ἧττον, τὰ δὲ πρὸς τὸν πόλεμον μάλιστα παιδεύει. πρῶτον μὲν γὰρ τὰ ὅπλα ὅταν ἔχοντες πυρεύωνται ὁδοὺς χαλεπάς, οὐκ ἀπορυῦσιν· ἀνέξονται γὰρ τοὺς πόνους διὰ τὸ εἰθίσθαι μετὰ τούτων αἱρεῖν τὰ θηρία. ἔπειτα εὐνάζεσθαί τε σκληρῶς δυνατοὶ ἔσονται καὶ φύλακες εἶναι ἀγαθοὶ τοῦ ἐπιταττομένου. ἐν δὲ ταῖς προσόδοις ταῖς πρὸς τοὺς πολεμίους ἅμ' οἷοί τε ἔσονται ἐπιέναι καὶ τὰ παραγγελλόμενα ποιεῖν διὰ τὸ οὕτω καὶ αὐτοὶ αἱρεῖν τὰς ἄγρας. τεταγμένοι δὲ ἐν τῷ πρόσθεν οὐ λείψουσι τὰς τάξεις διὰ τὸ καρτερεῖν δύνασθαι. ἐν φυγῇ δὲ τῶν πολεμίων ὀρθῶς καὶ ἀσφαλῶς διώξονται τοὺς ἐναντίους ἐν παντὶ χωρίῳ διὰ συνήθειαν. δυστυχήσαντος δὲ οἰκείου στρατοπέδου ἐν χωρίοις ὑλώδεσι καὶ ἀποκρήμνοις ἢ ἄλλως χαλεποῖς οἷοί τ' ἔσονται [τε] καὶ αὐτοὶ σῴζεσθαι μὴ αἰσχρῶς καὶ ἑτέρους σῴζειν· ἡ γὰρ συνήθεια τοῦ ἔργου παρέξει αὐτοῖς πλέον τι εἰδέναι. καὶ ἤδη τινὲς τῶν τοιούτων πολλοῦ ὄχλου συμμάχων τρεφθέντος τῇ αὐτῶν

---

1 *ποτε* pro *τότε* corr. A² ‖ 2 *καταφρονεῖν* S M Br: *μὴ καταφρονεῖν* A Tr., inde vulg. inscriptionem eclogae recte comparat P. Thomas *le cod. Br.* p. 35 ‖ 3 ecl. cum lemm. hab. SMA ‖ 4 *αὐτῶν τῶν πράξεων* SM Xen.: *αὖ τῶν πράξεων* A ‖ 6 *ὑγίειαν* Xen.: *ὑγείαν* SMA | *παρασκευάζει* SMA: *παρασκευάζουσι* libri Xen., inde Gesn.¹ p. 198, vulg. ‖ 7 *ὥραν* ex *ὁρᾶν* M² ‖ 9 *μὲν γὰρ* SMA: *μὲν* libri Xen. ‖ 10 *ἀπεροῦσιν* Xen. rectius ‖ 11 *αἱρεῖν* M Xen.: *αιρειν* (sic) S *αἵρειν* A¹ ‖ 14 *ἅμ' οἷοί τε* scripsi: *αλλοῖοι τὲ* fere SMA; *ἅμα οἷοί τε* Xen. ‖ 15 *οὕτω* ex *οὗτοι* corr. M¹ | *αὐτοι αιρειν* (sic) S ‖ 18 *ἀσφαλῶς* SM Xen.: *ἀσφαλέως* A | *ἐναντίους* SM Xen.: *πολεμίους* A ‖ 20 *ἄλλως* SMA: *ἄλλοις* libri Xen. ‖ 21 *ἔσονται* Xen.: *ἔσονταί τε* SMA | *σῴζεσθαι* SM Xen.: *σῴζεσθαί τε* sed delevit ni fallor punctis subditis A ‖ 24 *αὐτῶν* Xen.: *αὐτῶν* SMA

εὐταξίᾳ καὶ θράσει διὰ δυσχωρίαν ἁμαρτόντας τοὺς πολεμίους νενικηκότας ἀναμαχόμενοι ἐτρέψαντο· αἰεὶ γάρ ἐστι τοῖς τὰ σώματα καὶ τὰς ψυχὰς εὖ ἔχουσιν ἐγγὺς τὸ εὐτυχῆσαι.

77 (ibidem XII 10—13).

Λέγουσι δέ τινες, ὡς οὐ χρὴ ἐρᾶν κυνηγεσίων, ἵνα μὴ τῶν οἰκείων ἀμελῶσιν, οὐκ εἰδότες ὅτι οἱ τὰς πόλεις καὶ τοὺς φίλους εὖ ποιοῦντες πάντες τῶν οἰκείων ἐπιμελέστεροί εἰσιν. εἰ οὖν οἱ φιλοκυνηγέται παρασκευάζουσιν αὑτοὺς τῇ πατρίδι χρησίμους εἶναι εἰς τὰ μέγιστα, οὐδ' ἂν τὰ ἴδια ἀργοῖεν· σὺν γὰρ τῇ πόλει καὶ σῴζεται καὶ ἀπόλλυται τὰ οἰκεῖα ἑκάστου· ὥστε πρὸς τοῖς αὑτῶν καὶ τὰ τῶν ἄλλων ἰδιωτῶν οἱ τοιοῦτοι σῴζουσιν. πολλοὶ δὲ ὑπὸ φόβου ἀλόγιστοι τῶν ταῦτα λεγόντων αἱροῦνται διὰ τὴν αὑτῶν κακίαν ἀπολέσθαι μᾶλλον ἢ ἑτέρων ἀρετῇ σῴζεσθαι. αἱ γὰρ ἡδοναὶ ⟨αἱ⟩ πολλαὶ καὶ κακαί, ὧν ἡττώμενοι λέγειν ἢ πράττειν ἐπαίρονται τὰ χείρω. εἶτα ἐκ μὲν τῶν ματαίων λόγων ἔχθρας αναιροῦνται, ἐκ δὲ τῶν κακῶν ἔργων νόσους καὶ ζημίας καὶ θανάτους καὶ αὐτῶν καὶ παίδων καὶ φίλων, ἀναισθήτως μὲν τῶν κακῶν ἔχοντες, τῶν δὲ ἡδονῶν πλέον τῶν πολλῶν αἰσθανόμενοι.

---

1 *εὐταξία* SMA: *εὐεξίᾳ* libri Xen. | *ἁμαρτόντας* libri nisi quod *ἁμαρτῶντας* Tr. p. 164, inde vulg. ‖ 2 *αἰεὶ* SMA: *ἀεὶ* tacite ex Xen. Gesn.[2] p. 203, inde vulg. ‖ 3 *ἐγγὺς τὸ* SMA: *ἐγγὺς εἶναι τοῦ* libri Xen. ‖ 5 ecl. sine lemmate cum praegressa coniungunt SMA: separavit Gesn.[1] p. 200, inde vulg. *Τοῦ αὐτοῦ* addunt Gaisford et Meineke ‖ 9 *φιλοκυνηγῆται* M ‖ 10 *αὑτοὺς* SA Xen.: *αὐτοὺσ* M | *εἰς τὰ μέγιστα* (*μάλιστα* pro *μέγ.* Tr.) SM Xen.: *τὰ μέγιστα* A quem male secuti sunt Gaisford et Meineke ‖ 11 *ἀργοῖεν* (vel *ἀργοὶ εἶεν*) proposuit L. Dindorf: *ἀργοί εἰσιν* (*ἀργοὶ εἰσὶν* M) libri; *πρόοιντο* Xen. ‖ 12 *τὰ οἰκεῖα ἑκάστου* MA Xen.: *τὰ ἑκάστου οἰκεῖα* S ‖ 13 *αὐτῶν* M | *σώζουσιν* SM ‖ 14 *ὑπὸ* SMA: *ἀπο* libri Xen. | *φόβου* SMA: *φθόνου* Xen. ‖ 15 *αὑτῶν* Xen.: *αὐτῶν* libri | *ἀπόλλυσθαι* ci. Cobet n. l. p. 780 | *ἑταίρων* A[1] ‖ 16 *αἱ* tacite ex Xen. addidit Gesn.[1] p. 200 ‖ 17 post *ἡττώμενοι* addiderim *ἢ* ex Xenophonte ‖ 20 *αὑτῶν* SA ut videtur: *αὐτῶν* M Xen. ‖ 21 *πολλῶν* SMA: *ἄλλων* Xen. qui post *αἰσθανόμενοι* pergit: *οἷς τίς ἂν χρήσαιτο εἰς πόλεως σωτηρίαν;*

[redacted]

78 *Μουσωνίου Περὶ ἀσκήσεως* (rel. p. 177 Peerlk.).

Παρώρμα δὲ πρὸς ἄσκησιν τοὺς συνόντας ἐντεταμένως ἀεὶ τοιοῖσδέ τισι λόγοις χρώμενος. ἡ ἀρετή, ἔφη, ἐπιστήμη ἐστὶν οὐ θεωρητικὴ μόνον, ἀλλὰ καὶ πρακτικὴ καθάπερ ἥ τε ἰατρικὴ καὶ ἡ μουσική. δεῖ οὖν ὥσπερ τὸν ἰατρὸν καὶ τὸν μουσικὸν μὴ μόνον ἀνειληφέναι τὰ θεωρήματα τῆς αὑτοῦ τέχνης ἑκάτερον, ἀλλὰ καὶ γεγυμνάσθαι πράττειν κατὰ τὰ θεωρήματα, οὕτω καὶ τὸν ἐσόμενον ἀγαθὸν ἄνδρα μὴ μόνον ἐκμανθάνειν ὅσα μαθήματα φέρει πρὸς ἀρετήν, ἀλλὰ καὶ γυμνάζεσθαι κατὰ ταῦτα φιλοτίμως καὶ φιλοπόνως. ἐπεὶ πῶς μὲν ἂν εὐθὺς γένοιτό τις σώφρων, εἰ μόνον εἰδείη ὅτι οὐ χρὴ ἡττᾶσθαι ἡδονῶν, ἀγύμναστος δ' εἴη ἀντέχειν ταῖς ἡδοναῖς; πῶς δ' ἂν δίκαιός τις γένοιτο, μεμαθηκὼς μὲν ὅτι χρὴ τὸ ἴσον ἀγαπᾶν, μὴ μεμελετηκὼς δὲ φεύγειν τὸ πλεονεκτεῖν; πῶς δ' ἂν ἀνδρείαν κτησαίμεθα, τὸ μὲν ὅτι μὴ φοβερὰ τὰ δοκοῦντα τοῖς πολλοῖς δεινὰ κατανενοηκότες, ἄφοβοι δ' εἶναι εἰς αὐτὰ μὴ μεμελετηκότες; πῶς δ' ἂν φρόνιμοι γενοίμεθα, τὰ μὲν ὡς ἀληθῶς ἀγαθὰ καὶ κακὰ τίνα ἐστὶν ἐγνωκότες, μὴ γεγυμνασμένοι δὲ καταφρονεῖν τῶν δοκούντων ἀγαθῶν; διὸ χρὴ τῇ μαθήσει τῶν προσηκόντων ἀρετῇ ἑκάστῃ μαθημάτων καὶ τὴν ἄσκησιν ἐπακο-

---

1 ecl. cum lemm. hab. S M A (post ecl. 29, 77), praemisso lemm. *τοῦ αὐτοῦ*: Br (post ecl. 29, 75). scripserim *Μουσωνίου ⟨ἐκ τοῦ⟩ Π. ἀσκ.* collatis Musonianis lemmatis reliquis ‖ 2 *ἐντεταμένως* M A Br Tr. p. 164, inde vulg.: *ἐντεταλμένως* S ‖ 5 v. *καθάπερ ἥ τε ἰατρικὴ* cum omisisset A[1], v. *καὶ ἡ μουσική* induxit A[2] et in marg. scripsit *καθάπερ ἥ τε ἰατρικὴ καὶ μουσική* (sic), sed fortasse diversa est manus quae supplementum marg. scripsit ab ea quae delevit v. *καὶ ἡ μουσική* ‖ 7 *μελετήματα* ex *θεωρήματα* fecit Br[1] ‖ *αὐτοῦ* libri: tacite corr. Meineke. vide quae dixi ad III 6, 23 p. 286, 22 ‖ 8 *κατὰ τὰ* ex *καὶ τὰ* fecit A[2], sicut ci. Gesn.[1] p. 200 mrg: *καὶ τὰ* S M A Br | *οὕτως* M Br | 11 *μὲν* sup. lin. suppl. S[1] ‖ 12 *μόνον*] *μόνων* M ‖ 14 *ἂν*, sed *ν* vix ut agnoscere possis M | *μὴ* ante *μεμαθ.* add. M | *μεμαθηκὼς*] acc. in ras. M ‖ 15 *ἴσον* an *ἴσην* voluerit M aegre discernas | *μελετηκὼς* A[1], corr. A[2] | 16 *ἀνδρίαν* M A ‖ 18 *μελετηκότες* A ‖ 20 *καταφρονεῖν*] *φρονεῖν* A[1]

λουθεῖν πάντως, εἴγε μέλλει καὶ αὐτῆς τῆς μαθήσεως ὄφελός τι γενήσεσθαι ἡμῖν. καὶ τοσούτῳ γε χρὴ μᾶλλον ἀσκεῖν τὸν φιλοσοφεῖν ἀξιοῦντα ἤπερ τὸν ἰατρικῆς ἢ τινος τέχνης ὁμοίας ἐφιέμενον, ὅσῳ μεῖζον καὶ δυσκατεργαστότερον φιλοσοφία παντὸς ἐπιτηδεύματος ἑτέρου. καὶ γὰρ οὖν ἐπὶ μὲν τὰς ἄλλας τέχνας † εἶναι οἱ ἐφιέμενοι αὐτῶν, οὐ προδιεφθαρμένοι τὰς ψυχὰς οὐδ' ἐναντία μεμαθηκότες οἷς μαθήσεσθαι μέλλουσιν· οἱ δὲ φιλοσοφεῖν ἐπιχειροῦντες, ἐν διαφθορᾷ γεγενημένοι πρότερον πολλῇ καὶ ἐμπεπλησμένοι κακίας, οὕτω μετίασι τὴν ἀρετήν, ὥστε καὶ ταύτῃ πλείονος δεηθῆναι τῆς ἀσκήσεως. πῶς οὖν καὶ τίνα τρόπον τούτοις ἀσκητέον; ἐπεὶ τὸν ἄνθρωπον οὔτε ψυχὴν μόνον εἶναι συμβέβηκεν οὔτε σῶμα μόνον, ἀλλά τι σύνθετον ἐκ τοῖν δυοῖν τούτοιν, ἀνάγκη τὸν ἀσκοῦντα ἀμφοῖν ἐπιμελεῖσθαι, τοῦ μὲν κρείττονος μᾶλλον, ὥσπερ ἄξιον, τουτέστι τῆς ψυχῆς· καὶ θατέρου δέ, εἴγε μέλλει μηδὲν ἐνδεῶς ἔχειν τοῦ ἀνθρώπου μέρος. δεῖ γὰρ δὴ καὶ τὸ σῶμα παρεσκευάσθαι καλῶς πρὸς τὰ σώματος ἔργα τὸ τοῦ φιλοσοφοῦντος, ὅτι πολλάκις αἱ ἀρεταὶ καταχρῶνται τούτῳ ὄντι ὀργάνῳ ἀναγκαίῳ πρὸς

---

1 *μέλλει*] *μέλλοι* A² ‖ 2 *τοσούτω* ex *τοσοῦτο* corr. S¹ *τοσοῦτο* Br | *χρὴ* sup. lin. S¹ ‖ 3 *τὸν* (ante *φιλοσ.*) M, sed duae litt. priores in ras. M² ‖ 4 *ὁμοίως* S M A Br: tacite corr. Gesn.¹ p. 200, inde vulg. | *μεῖζον* S M Br, *καὶ μεῖζον* A quem suo more sequuntur Gaisford et Meineke, non recte ‖ 6 *εἶναι* S (solito compendio quod non accurate typis expressit Gaisford), M A Br: *ἔρχονται* (sicut ci. Gesn.¹ p. 200 mrg) ex em. A²; *ἴασιν* ci. Preller hist. philos. p. 440 et Hirschig *εἰ⟨ώθασιν ἰέ⟩ναι* Mekler *ἵενται* Buecheler ‖ 7 $^{\text{προ}}$*διεφθαρμένοι* A² ‖ 9 *διαφορᾷ* Br ‖ 10 *οὕτωσ* M ‖ 13 *″εἶναι ′μόνον* S, *μόνον εἶναι* M Br *μόνην εἶναι* A; *εἶναι μόνον* Tr. p. 165, inde vulg. ‖ 14 *δοιοῖν* S¹, corr. S² | post *δοιοῖν* distinxit S, sed ante *ἀνάγκη* litura, qua colon deletum videtur; contra colon post *δυοῖν* del. et post *τούτων* posuit A² | *τούτων* S M A Br: tacite corr. Gesn.³ p. 204, inde vulg. ‖ 16 *ἄξιον*] *ἄξια* A¹, corr. A² | v. *τουτέστι* (*τουτ' ἔστιν* M) *τῆς ψυχῆς* secludi iubet Meineke probante Cobeto (mnemos. IX p. 120) ‖ 17 *μέλλει* etiam A, fallitur Gaisford ‖ 18 ante *γὰρ* una littera eras. M | *παρ*$^{\text{ε}}$*ασκευάσθαι* A, *ε* superscr. A², *ά* ex *ᾶ* corr. A¹, ut videtur; fallitur Gaisford

[redacted]

τὰς τοῦ βίου πράξεις. τῆς οὖν ἀσκήσεως ἡ μέν τις ἰδία τῆς ψυχῆς μόνης γίνοιτ' ἂν ὀρθῶς· ἡ δέ τις κοινὴ ταύτης τε καὶ τοῦ σώματος. κοινὴ μὲν οὖν ἄσκησις ἀμφοῖν γενήσεται, συνεθιζομένων ἡμῶν ῥίγει θάλπει, δίψει λιμῷ, τροφῆς λιτότητι κοίτης σκληρότητι, ἀποχῇ τῶν ἡδέων ὑπομονῇ τῶν ἐπιπόνων. διὰ γὰρ τούτων καὶ τῶν τοιούτων ῥώννυται μὲν τὸ σῶμα καὶ γίνεται δυσπαθές τε καὶ στερεὸν καὶ χρήσιμον πρὸς ἅπαν ἔργον, ῥώννυται δὲ ἡ ψυχὴ γυμναζομένη διὰ μὲν τῆς ὑπομονῆς τῶν ἐπιπόνων πρὸς ἀνδρείαν, διὰ δὲ τῆς ἀποχῆς τῶν ἡδέων πρὸς σωφροσύνην. ἰδία δὲ τῆς ψυχῆς ἄσκησίς ἐστι πρῶτον μὲν τὰς ἀποδείξεις προχείρους ποιεῖσθαι τάς τε περὶ τῶν ἀγαθῶν τῶν δοκούντων ὡς οὐκ ἀγαθά, καὶ τὰς περὶ τῶν κακῶν τῶν δοκούντων ὡς οὐ κακά, καὶ τὰ ἀληθῶς ἀγαθὰ γνωρίζειν τε καὶ διακρίνειν ἀπὸ τῶν μὴ ἀληθῶς ἐθίζεσθαι· εἶτα δὲ μελετᾶν μήτε φεύγειν μηδὲν τῶν δοκούντων κακῶν μήτε διώκειν μηδὲν τῶν δοκούντων ἀγαθῶν, καὶ τὰ μὲν ἀληθῶς κακὰ πάσῃ μηχανῇ ἐκτρέπεσθαι, τὰ δὲ ἀληθῶς ἀγαθὰ παντὶ τρόπῳ μετέρχεσθαι.

Ἐν κεφαλαίῳ μὲν οὖν σχεδὸν εἴρηται ὁποῖος ἑκάτερος τρόπος ἀσκήσεως· οὐ μὴν ἀλλὰ καὶ κατὰ μέρος ὡς ποιητέον ἕκαστα, πειράσομαι εἰπεῖν, οὐ διακρίνων οὐδὲ χωρίζων οὐκέτι τά τε κοινὰ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀσκήματα καὶ τὰ ἴδια τῆς ψυχῆς, ἀλλὰ ἀναμὶξ τὰ ἑκατέρου μέρους διεξιών. οὐκοῦν ἐπειδὴ ταῦτα μὲν τυγχάνο-

1 *ἰδία* Buecheler: *διὰ* libri, cf. 11 et 24 || 3 *τοῦ* om. M Br | 5 *λιτότητι* an *λειτότητι* voluerit M aegre dignosco || 6 *ἐπιπόνων*] *ἐπιμόνων* S || 9 in *ὑπομονῆς* syllabae *ὑπομο* in ras. M² || 10 *ἀνδρείαν* S *ἀνδρίαν* M A Br || 11 *ἰδία* reposui ex Br: *διά*, sed m. rec. corr. *ἰδία* S, *διὰ* M, *διὰ* sed ante *δ* nescio an rasurae vestigium A; cf. 24 || 12. 13 *τῶν* ante *ἀγαθῶν* et *κακῶν* deleri iubet Nauck || 13 *περὶ τῶν* etiam S, errat Gaisford || 15 *ἀληθιν(ῶν)* S scribere instituisse videtur Meklero, sed *ἀληθῶν* corr. S¹, *ἀληθῶσ* M¹ *ἀληθῶν* corr. ut videtur M¹, *ἀληθῶν* A¹ Tr. p. 166 sed *ν* corr. in *σ* A² ut videtur, *ἀληθῶς* Br; *ἀληθῶς ἀγαθῶν* ci. Meineke v. IV p. LXIII || 17 *μήτε* A Br Tr., inde vulg.: *μὴ* S M || 18 *πάσῃ*] *πᾶσι* A¹ || 21 *μὴν* etiam S, non ut Gaisford adnotavit *μὲν* || 22 *ἕκαστα* S A *ἅπαντα* M Br

μεν ἀκηκοότες τε καὶ ὑπειληφότες, ὅσοι γε φιλοσόφου διατριβῆς μετεσχήκαμεν, ὡς οὔτε πόνος οὔτε θάνατος οὔτε πενία κακὸν οὐδαμῶς ἐστιν οὐδ' ἄλλο τι τῶν κακίας ἀπηλλαγμένων, οὐδ' αὖ πάλιν ἀγαθὸν πλοῦτος ζωὴ ἡδονὴ ἤ τι ἕτερον τῶν μὴ μετεχόντων ἀρετῆς· ὅμως δὲ καὶ ταῦθ' ὑπειληφότες διὰ τὴν ἀπὸ παίδων εὐθὺς γεγονυῖαν ἡμῖν διαφθορὰν καὶ τὴν ὑπὸ τῆς διαφθορᾶς συνήθειαν πονηρὰν πόνου μὲν προσερχομένου κακὸν ἡγούμεθα προσέρχεσθαι ἑαυτοῖς, ἡδονῆς δὲ παραγινομένης ἀγαθὸν ἡγούμεθα παραγίνεσθαι ἡμῖν, καὶ τὸν μὲν θάνατον ὡς ἐσχάτην συμφορὰν πεφρίκαμεν, τὴν δὲ ζωὴν ὡς τῶν ἀγαθῶν μέγιστον ἀσπαζόμεθα, καὶ διδόντες μὲν ἀργύριον ὡς βλαπτόμενοι λυπούμεθα, λαμβάνοντες δὲ ὡς ὠφελούμενοι χαίρομεν, παραπλησίως δὲ καὶ ἐπὶ πλειόνων ἄλλων οὐκ ἀκολούθως ταῖς ὀρθαῖς ὑπολήψεσι τοῖς πράγμασι χρώμεθα, τῷ δὲ φαύλῳ ἔθει μᾶλλον ἀκολουθοῦμεν· ἐπεὶ οὖν ταῦτα φημὶ ταύτῃ ἔχειν, δεῖ τὸν ἀσκοῦντα ζητεῖν περιγίνεσθαι ἑαυτῷ τῇ μὲν ἡδονῇ μὴ ἀσμενίζειν, τὸν πόνον δὲ μὴ ἐκτρέπεσθαι, καὶ τῷ μὲν ζῆν μὴ φιληδεῖν, τὸν δὲ θάνατον μὴ δεδιέναι, καὶ ἐπὶ χρημάτων μὴ προτιμᾶν τοῦ προΐεσθαι τὸ λαμβάνειν.

79 *Πλουτάρχου ἐκ τοῦ Περὶ εὐθυμίας* (p. 465 C—D).

Ὁ μὲν οὖν εἰπὼν ὅτι δεῖ τὸν εὐθυμεῖσθαι μέλλοντα

οὐδὲ τι
3 *οὐδ' ἄλλο τι τῶν*] *ἀλλ' ἄλλο τῶν* A, ubi *οὐδὲ* superscr. A[2], *τι* A[1] ‖ 5 *ἤ τι* (possis etiam *ἢ εἴ τι*) scripsi: *ὅτι* S A *ἤτι* vel *ὅτι* (accentum corr. M[1]) M *εἴ τι* sed *εἴ* ex corr. Br; *οὐδ' ἄλλο τι* tacite Gesn.[1] p. 202, inde vulg., sed male ex prioribus ‖ 6 *συγγεγονυῖαν* mavult Peerlkamp ‖ 7 *διαφορὰν* et mox *διαφορᾶς* A | *ἀπο* (ὑ superscr.) A, corr. manus dubia ‖ 10 *παραγίνεσθαι* S *παραγίγνεσθαι* alii ‖ 15 *τοῦ πράγματοσ* A[1] *γρ. τοῖς πράγμασι* A[2] ‖ 17 *ἔχει* operarius Gesn.[1] ‖ 18 *περιγίνεσθαι* tacite Meineke: *περιγίγνεσθαι* libri cf. ad 645, 19 | *ἑαυτοῦ* Halm lect. Stob. p. 4 (*se ipsum vincere*) | fort. *τὸν δὲ πόνον* ‖ 19 *τῷ* (ὸ superscr.) M A Br: *τὸ* S ‖ 21 *τῶ λαμβ.* A ‖ 22 ecl. cum lemm. hab. S M A ‖ 23 Democriti verba servavit Stob. flor. 103, 25 (fr. 92 Mull.), cf. Hirzel Herm. XIV p. 376 sq.

μὴ πολλὰ πρήσσειν μήτε ἰδίῃ μήτε ξυνῇ, πρῶτον μὲν ἡμῖν πολυτελῆ τὴν εὐθυμίαν καθίστησι γινομένην ὥνιον ἀπραξίας, οἷον ἀρρώστῳ παραινῶν ἑκάστῳ

μέν' ὦ ταλαίπωρ' ἀτρέμα σοῖς ἐν δεμνίοις.

καίτοι κακὸν μὲν ἀναισθησία σώματι φάρμακον απονίας· οὐδὲν δὲ βελτίων ψυχῆς ἰατρὸς ὁ ῥαθυμίᾳ καὶ μαλακίᾳ καὶ προδοσίᾳ φίλων καὶ οἰκείων καὶ πατρίδος ἐξαίρων τὸ ταραχῶδες αὐτῆς καὶ λυπηρόν.

79ᵃ *Ἐν ταὐτῷ* (p. 465 F).

Ὅθεν οὐδὲ Ἐπίκουρος οἴεται δεῖν ἡσυχάζειν, ἀλλὰ τῇ φύσει χρῆσθαι πολιτευομένους καὶ πράσσοντας τὰ κοινὰ τοὺς φιλοτίμους καὶ φιλοδόξους, ὡς μᾶλλον ὑπὸ ἀπραγμοσύνης ταράττεσθαι καὶ κακοῦσθαι πεφυκότας, ἂν ὧν ὀρέγονται μὴ τυγχάνωσιν. ἀλλ' ἐκεῖνος μὲν ἄτοπος οὐ τοὺς δυναμένους τὰ κοινὰ πράττειν προτρεπόμενος, ἀλλὰ τοὺς ἡσυχίαν ἄγειν μὴ δυναμένους. δεῖ δὲ μὴ πλήθει μηδὲ ὀλιγότητι πραγμάτων, ἀλλὰ τῷ καλῷ καὶ τῷ αἰσχρῷ τὸ εὔθυμον ὁρίζειν καὶ τὸ δύσθυμον. τῶν γὰρ καλῶν ⟨ἡ⟩ παράλειψις οὐχ ἧττον ἢ τῶν βλαβερῶν ἡ πρᾶξις ἀνιαρόν ἐστι καὶ ταραχῶδες.

80 *Πρωταγόρου.*

Πρωταγόρας ἔλεγε μηδὲν εἶναι μήτε τέχνην ἄνευ μελέτης μήτε μελέτην ἄνευ τέχνης.

81 *Πλάτωνος* (de republ. VII p. 535 D).

---

1 *μὴ* S M A, flor. 103: *μήτε* Plut. | *πρήσειν* M | *ἰδίᾳ* Plut. flor. 103: *ἰδίαι* vel *-ία* S M A | *μήτε* supra lin. S ‖ 4 Eur. Or. 258 | *μέν' ὦ ταλαίπωρε* S M A | *ἀτρέμα* Eur.: *-ας* S M A; vide Kirchhoffii adn. | 5 *ἀπονίας* reposui ex S: *ἀπονοίας* M A (*indolentia* superscr. A m. rec.) *απονία* Plut. recte verba interpretatur Cobet mnemos. IX p. 92 sq. ‖ 6 *βελτίω* S M A[1]: tacite ex Plut. corr. Gesn.[1] p. 202, vulg. ‖ 7 *φιλωσ*(?) M 9 ecl. cum lemm. hab. S, om. M A. lemma cum ignorarent editores vel neglegerent, male lacunam indicarunt ante *Ὅθεν* ‖ 10 *Ἐπίκ.*] p. 325 Vsener ‖ 11 malim *πράττοντας* ‖ 12 *ὑπ'* Plut. ‖ 14 *ὀρέγονται* Plut.: *ὀρέγωνται* S ‖ 19 *ἡ* addidi ex Plut.: om. S | *τῶν φαύλων* Plut. ‖ 20 *ταραχῶδες* S: *ταραχῶδες, ὡς εἴρηται* Plut. ‖ 21 ecl. sine lemm. hab. S, addito lemm. M A; recurrit Maxim. c. 17 p. 587 Combef. (*Πρωταγ.*) et flor. Laur. p. 228, 4 Mein. ‖ 22 *εἶναι* S A Max. *εἰδέναι* M ‖ 24 ecl. cum lemm. hab. S, om. M A

Πρῶτον μὲν φιλοπονίᾳ οὐ χωλὸν δεῖ εἶναι τὸν ἁψόμενον, τὰ μὲν ἡμίσεα φιλόπονον, τὰ δὲ ἡμίσεα ἄπονον. ἔστι δὲ τοῦτο, ὅταν τις φιλογυμναστὴς μὲν ᾖ καὶ φιλομόχθηρος καὶ πάντα τὰ διὰ τοῦ σώματος διαπονῇ, φιλομαθὴς δὲ ⟨μή⟩, μηδὲ φιλήκοος μηδὲ ζητητικός, ἀλλ' ἐν πᾶσι τούτοις μισοπονῇ. χωλὸς δὲ καὶ ὁ τἀναντία τούτου μεταβεβληκὼς τὴν φιλοπονίαν.

82 *Ἀπολλώνιος Δίωνι* (epist. XC p. 126 Herch.).

Τὸ μὴ γενέσθαι οὐδέν, τὸ δὲ γενέσθαι πόνος.

83 *Ἀπολλώνιος Δαναῷ* (epist. LXXXIX p. 126 Herch.).

Οὐ κάμνει τὰ πράγματα πρασσόμενα.

84 *Ἐκ τῶν Ἐπικτήτου Ἀπομνημονευμάτων* (fr. 72 III p. 90 Schweigh.).

Εἰδέναι χρή, ὅτι οὐ ῥᾴδιον δόγμα παραγενέσθαι ἀνθρώπῳ, εἰ μὴ καθ' ἑκάστην ἡμέραν τὰ αὐτὰ καὶ λέγοι τις καὶ ἀκούοι καὶ ἅμα χρῷτο πρὸς τὸν βίον.

85 *Νικίας* (Plut. an seni res p. gerenda sit p. 786 B).

Νικίας οὕτως ἦν φιλόπονος, ὥστε πολλάκις ἐρωτᾶν τοὺς οἰκέτας, εἰ λέλουται καὶ εἰ ἠρίστηκεν.

---

1 *πρῶτον μέν, εἶπον, φιλοπονία* Plat. | *ἁψόμενον* Plat.: *ἁψάμενον* S ‖ 3 *μὲν ἠ̃ καὶ φιλομόχθηρος* S: *μὲν καὶ φιλόθηρος ᾖ* Plat. servavi cum Meinekio lectionem codicis S per se minus aptam sed fortasse ad titulum a gnomologo detortam. Meinekio irrisit Cobet mnemos.[2] II p. 105 ‖ 4 *φιλομαθὴς δὲ μή* dedi ex Platone: *φιλομαθὴς δὲ* S; *μὴ φιλομαθὴς δὲ* Gesn.[1] p. 202, inde vulg. ‖ 8 ecl. cum lemm. hab. S M A; *ἀπόλλων°* M ‖ 10 ecl. cum lemm. hab. M A, om. S; *ἀπόλλωνοσ* M. de alterius recensionis vestigio quod comparet in M A Br ante eclogam proximam vide quae dixi ad 29, 63, adde quod Mac. Chrys. ponit ecl. 29, 63 inter ecl. 29, 73 et 29, 85 ‖ 12 ecl. cum lemm. hab. S (post ecl. 29, 82) M A (post iteratam ecl. 29, 63) Br (post ecl. 29, 63); *ἐκ^τ ἐπικτη^τ* S *ἐκ τῶν ἐπικτήτου ἀπομνημονευμάτων* M A *ἐπικτήτου* nec plura Br Tr. ‖ 15 *λέγη τὶς καὶ ἀκούη* S *λέγει* (*λέγῃ* A) *τὶς καὶ ἀκούει* M A Br: corr. Halm lect. Stob. p. 26 ‖ 17 ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemm. *νικίας* (sic) M A. post 29, 63 (vide ad ecl. 83) collocat Mac., post 29, 84 ceteri. lemma testatur etiam pinacographus Photii p. 46 Elt. eclogam et lemma *Νικίας* iterat corp. Par. 670 Elt. cf. Plut. non posse suaviter vivi sec. Epic. p. 1093 E ‖ 18 *εἰ γὰρ Νικίας ὁ ζωγράφος οὕτως ἔχαιρε τοῖς τῆς τέχνης ἔργοις, ὥστε τοὺς οἰκέτας ἐρωτᾶν*

86 *Ἀρχιμήδης* (Plut. l. c. p. 786 C).

Ἀρχιμήδην δὲ τῇ σανίδι προσκείμενον ἀποσπῶντες βίᾳ οἱ θεράποντες ἤλειφον· ὁ δὲ ἐπὶ τοῦ σώματος ἀληλιμμένου διέγραφε τὰ σχήματα.

87 *Λάμπις* (Plut. l. c. p. 787 A).

Λάμπις ὁ ναύκληρος ἐρωτηθεὶς πῶς ἐκτήσατο τὸν πλοῦτον, 'οὐ χαλεπῶς' ἔφη 'τὸν μέγαν, τὸν δὲ βραχὺν ἐπιπόνως'.

88 *Δημοκρίτου* (fr. mor. 87 Mullach.).

Τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι τυγχάνωσιν ἢ εἰδέωσι κύρσοντες. ἓν δὲ ἄκος τῇ ἀποτυχίῃ τὸ πᾶν ὁμοίως ἀνιηρὸν καὶ ταλαίπωρον.

89 *Αἰσχύλου* (Plut. mor. p. 79 E).

Αἰσχύλος ἐν Ἰσθμῷ ἀγῶνα ὁρῶν πυκτῶν καὶ ἐπὶ τῇ πληγῇ τοῦ θεάτρου ἐκβοήσαντος, πρὸς Ἴωνα ἔφη 'ὁρᾷς

πολλάκις Plut. p. 786 B | *οὗτος* A | *ὡς* (pro *ὥστε*) Br ‖ **19** *λέλονται* SA (sed *-ται* in ras. A) Br Mac. corp. Par. Plut. l. c.: *λέλουκε(ν)* M Tr., inde vulg. | *καὶ εἰ* S M Mac. corp. Par.: *καὶ καὶ* A *εἰ* Br *καὶ* Plut. l. c.

1 ecl. sine lemm. hab. S, etiam lemma M A idque legit hoc loco pinacographus Phot. p. 41 Elt. iterat lemma et eclogam corp. Par. 671 Elt. cf. Plut. non posse suaviter vivi sec. Epic. p. 1094 B ‖ **2** *Ἀρχιμήδην* sed *ι* in ras. M | *ἀποσπῶντες βίᾳ καὶ ἀποδύοντες ἤλειφον οἱ θεράποντες* Plut. ‖ **3** *ἤλειφον* A Plut. ex *εἴληφον* (sic corp. Par., Tr.) corr. S²: *ἤλειφαν* M | *ἀληλιμμένου* S Plut.: *ἀληλειμένου* M corp. Par. *ἀληλειμμένου* A¹ ‖ **5** ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemm. M A; post ecl. 29, 85 ponunt Br Mac., post ecl. 29, 86 ceteri. neglexit Photii pinacographus. cf. Plut. fr. XI 21 ‖ **6** *λάμπισ* libri (*σ* in ras. M²) *-ης* Br ‖ **8** *ἐπιπόνως καὶ βραδέως* Plut. ‖ **9** ecl. cum lemm. hab. S, om. M A. et eclogae 87 et 89 sese excipiunt in Br ‖ **11** *πονέουσιν* ex *-έωσιν* corr. S¹, *πονέουσι* Tr. p. 167 | *τυγχάνωσιν* S | *εἰδέωσιν* S *-σι* Tr. | *ἓν δὲ ἄκος τῇ* S: *ἐὰν* (*ἢν* Meineke) *δὲ ἀποστῇ* (*-έῃ* Meineke) Iacobs lect. Stob. p. 18 ‖ **12** *ἀποτυχίη* 'procul dubio' S *ἐπιτυχίη* Tr. ‖ **14** ecl. sine lemm. hab. S Br, addito lemm. M A. cf. Plut. de aud. poet. p. 29 F ‖ **15** *ἐν ἰσθμῶ* S: *ἐνίεισ* M *ἐν ἰστωμ* A¹, om. verba Br, *μὲν γὰρ Ἰσθμοῖ* Plut. | *ἀγῶνα ὁρῶν* SMA Br: *θεώμενος ἀγῶνα* Plut. | *πυκτῶν* Br Plut.: *πυκτὸν* S A¹ *πυκτὴν* corr. A² *πυκτην* M; *τακτὸν* Tr. p. 167, inde vulg. ‖ **15—16** *καὶ ἐπὶ τῇ πληγῇ τοῦ θεάτρου ἐκβοήσαντος*

οἷόν ἐστιν ἡ ἄσκησις; ὁ πεπληγὼς σιωπᾷ, οἱ δὲ θεώμενοι βοῶσιν'.

90 *'Εκ τῶν 'Αριστοτέλους Χρειῶν.*

Δημοσθένης ἐρωτηθεὶς 'πῶς τῆς ῥητορικῆς περιεγένου;' 'πλέον' ἔφη 'ἔλαιον οἴνου δαπανήσας'.

91 *Δημάδης.*

Δημάδης ἐρωτηθεὶς τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη, 'τὸ τῶν 'Αθηναίων' ἔφη 'βῆμα', ἐμφαίνων, ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστίν.

92 *Διογένους.*

'Ο Διογένης ἔλεγε τὴν Μήδειαν σοφήν, ἀλλ' οὐ φαρμακίδα γενέσθαι· λαμβάνουσαν γὰρ μαλακοὺς ἀνθρώπους καὶ τὰ σώματα διεφθαρμένους ὑπὸ τρυφῆς ἐν τοῖς γυμνασίοις καὶ τοῖς πυριατηρίοις διαπονεῖν καὶ ἰσχυροὺς ποιεῖν σφριγῶντας· ὅθεν περὶ αὐτῆς ῥυῆναι τὴν δόξαν, ὅτι τὰ κρέα ἕψουσα νέους ἐποίει.

93 *Πλάτωνος ἐκ τοῦ Φαίδρου* (p. 258 D).

πρὸς ἴωνα (*πρὸς ἴωνα* om. S) *ἔφη ὁρᾷς* S M A Br: *ἐπεὶ πληγέντος τοῦ ἑτέρου τὸ θέατρον ἐξέκραγε, νύξας Ἴωνα τὸν Χῖον ὁρᾷς ἔφη* Plut.
1 *ἡ ἄσκησίς ἐστιν* Plut. sed cf. Plut. p. 29 F ‖ 3 ecl. sine lemm. hab. S Mac. Chrys., addito lemm. M A. post ecl. 29, 89 ponunt S M A, post ecl. 29, 87 Mac. iteratur ecloga corp. Par. 672 Elt. (*'Αριστοτέλους*). cf. quae collegit Sternbach gnomol. Vat. 204 ‖ 4 *ἐρωτηθεὶς* S: *ἐρωτηθεὶς ὑπό τινος* M A corp. Par. | *περιεγένου* S M A: *περιεγένετο* corp. Par. ‖ 5 *πλέον ἔφη* S: *ἔφη πλέον* M A corp. Par. | 6 ecl. sine lemm. hab. S Br, addito lemm. *δημάδης* (sic) M A; fallitur Gaisford. post ecl. 29, 90 S M A, post ecl. 29, 89 Br. fortasse haec non minus quam quae antecedit ex 'Aristotelis' chriis excerpta est, cf. III 5, 42 adn. iteratur ecloga corp. Par. 673 Elt. (*Δημαδ.*); flor. Laur. f. 154ᵛ (sine lemm.). cf. Sternbach ad gnomol. Vat. 230 ‖ 7 *αὐτῷ* flor. Laur. ‖ 8 *δια* compend. etiam S, fallitur Gaisford ‖ 9 *κρεῖττον* S corp. Par.: *κρείττων* M A flor. Laur. ‖ 10 *ὑπάρχει* pro *ἐστίν* flor. Laur. ‖ 11 ecl. sine lemm. hab. S, addito lemm. M A ‖ 13 *λαμβάνουσαν* M A: *λαμβάνουσα* S ‖ 14 *ἐν τοῖς*] *τοῖς* ex *τῷ* S[1] ‖ 15 *τοῖς* om. A | *πυριατηρίοις* Meineke: *πυρατηρίοις* (sic) S M *πειρα-* A *πηρα-* Tr. p. 168 ‖ 16 *σφριγῶντας* S M A[1]; *καὶ σφριγῶντας* tacite Gesn.[1] p. 204 (inde vulg.), ex Gesn. fortasse A[2] ‖ 17 *ἑψοῦσα* M ‖ 18 ecl. cum lemm. hab. S, om. M A

θανομένους, οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς ἀμελοῦσι λήθην ἐγγιγνομένην. ὅταν δὲ τῶν νουθετικῶν λόγων ἐπιλάθηταί τις, ἐπιλέλησται καὶ ὧν ἡ ψυχὴ πάσχουσα τῆς σωφροσύνης ἐπιθυμεῖ· τούτων δ' ἐπιλαθόμενον οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι. ὁρῶ δὲ καὶ τοὺς εἰς φιλοποσίαν προαχθέντας καὶ τοὺς εἰς ἔρωτας ἐγκυλισθέντας ἧττον δυναμένους τῶν τε δεόντων ἐπιμελεῖσθαι καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι. πολλοὶ γὰρ καὶ χρημάτων δυνάμενοι φείδεσθαι πρὶν ἐρᾶν, ἐρασθέντες οὐκέτι δύνανται, καὶ τὰ χρήματα καταναλώσαντες, ὧν πρόσθεν ἀπείχοντο κερδῶν, αἰσχρὰ νομίζοντες εἶναι, τούτων οὐκ ἀπέχονται. πῶς οὖν οὐκ ἐνδέχεται σωφρονήσαντα πρόσθεν αὖθις μὴ σωφρονεῖν καὶ δίκαια δυνηθέντα πράττειν αὖθις ἀδυνατεῖν; πάντα μὲν οὖν ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἀσκητὰ εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη· ἐν τῷ γὰρ αὐτῷ σώματι συμπεφυτευμέναι τῇ ψυχῇ αἱ ἡδοναὶ πείθουσιν αὐτὴν μὴ σωφρονεῖν, ἀλλὰ τὴν ταχίστην ἑαυταῖς τε καὶ τῷ σώματι χαρίζεσθαι.

96 *Ἐκ τῶν Σερήνου.*

Συβαρίτης ἐπιδημήσας Λακεδαίμοσι καὶ τὰ ἔθη ἰδὼν καὶ τὰς καρτερήσεις οἷς ἐκ παίδων ἀνατρέφονται, οὐδὲν ἔφη θαυμαστὸν αὐτοὺς ποιεῖν ῥᾳδίως ἐν τοῖς πολέμοις ἀποθνήσκοντας ὑπὲρ τοῦ μὴ οὕτω ζῆν.

---

2 *νουθετικῶν* S M A Xen.: *νομοθετικῶν* Tr. p. 168, inde vulg. ‖ 3 *ἐπιλέλησται* S M Xen.: *ἐπιλέληθε* A¹ ‖ 4 *ἐπιθυμεῖ* S M A sicut Xenophontis non nulli: *ἐπεθύμει* Xen. ‖ 6 *φιλοπονίαν* M | *παραχθέντας* ci. Cobet n. l. p. 685 ‖ 7 *ἐγκυλισθέντας* S M A sicut Xenophontis optimi: *ἐκκυλισθέντας* Xenophontis non nulli. illud Xenophonti vindicat Gilbert ‖ 11 *κερδέων* L. Dindorf | *αἰσχρὰ* libri nisi quod *αἰσχρὸν* A ‖ 16 *ἐν τῷ γὰρ* S M A Br et Xenophontis A: *ἐν γὰρ τῷ* Xenophontis B et editorum plerique ‖ 18 *ἑαυταῖ* una litt. erasa Br ‖ 20 ecl. cum lemmate *ἐκ τῶν Σερίνου* hab. S M A (post ecl. 29, 95), sine lemmate Br (post ecl. 29, 91). cf. Plutarchus vit. Pelopid. c. 1 ‖ 21 *Λακεδαίμοσι* Br: *λακεδαίμονι* S M A, inde vulg. ‖ 22 *οἷς* S M A: *ὡς* Br ‖ 23 *πολεμίοις* Tr. p. 169 ‖ 24 *οὕτως* Br

97 *Πλάτωνος* (Theaet. p. 153 B).

Ἡ τῶν σωμάτων ἕξις ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας διόλλυται, ὑπὸ γυμνασίων δὲ καὶ κινήσεων ὡς ἐπὶ τὸ πολὺ σῴζεται· ἡ δ' ἐν τῇ ψυχῇ ἕξις ὑπὸ μαθήσεως μὲν καὶ μελέτης, κινήσεων οὐσῶν, κτᾶται μαθήματα καὶ σῴζεται καὶ γίγνεται βελτίων· ὑπὸ δ' ἡσυχίας, ἀμελετησίας τε καὶ ἀμαθίας οὔσης, οὔτε τι μανθάνει ἅ τε ἂν μάθῃ ἐπιλανθάνεται.

98 *Κηφισοδώρου.*

Κηφισόδωρος ἔλεγεν, ὅτι οὐδεὶς οὐσίαν, ἣν αὐτὸς ἐκτήσατο, κατέφαγεν, ἣν δὲ παρ' ἄλλου παρέλαβεν.

99 *Πυθαγόρου.*

Πυθαγόρας παρῄνει τοῖς ἑταίροις αἱρεῖσθαι βίον τὸν ἄριστον· καὶ γὰρ εἰ ὁ ἐπιπονώτατος εἴη, ἀλλὰ τῇ συνηθείᾳ ἡδὺν αὐτὸν ποιήσειν.

100 *Διονυσίου.*

Διονύσιος Λακωνικὸν μάγειρον πριάμενος, ἐκέλευσεν

---

1 ecl. cum lemm. hab. S M A. eadem verba supra exhibentur fidelius intra amplius Theaeteti excerptum Stob. I 19, 9 p. 169, 7 Wachsm. ‖ 2 sqq. *οὐχ ὑπὸ ἡσυχίας ... σῴζεται; — Ναί. — Ἡ δ' ἐν τῇ ψυχῇ ἕξις οὐχ ὑπὸ μαθήσεως ... ἐπιλανθάνεται;* Plato Stobaeus I ‖ 2 *ἀργείας* A[1] ‖ 3 *γυμνασιῶν* Buecheler recte | *κινήσεων* S M A Plato: *κινήσεως* Stob. I | *ὡς ἐπὶ τὸ πολὺ* fere S M A: *ἐπὶ τὸ πολὺ* Platonis B Stob. I *ὡς ἐπὶ πολὺ* sed *ὡς* supra versum Platonis T ‖ 5 *κινήσεων οὐσῶν* S M A: *κινήσεων ὄντων* libri Platonis Stob. I; *κινησέοιν* (*κινήσεῳν*) *ὄντοιν* Buttmann | *κτᾶται* Stobaeus I: *κατὰ τὰ* S M A; *κτᾶταί τε* tacite ex Platone Gesn.[1] p. 204, inde vulg. | *καὶ* ante *σώζ.* om. A ‖ 6 *γίνεται* libri | *ὑπὸ δ' ἡσυχίας* Plato Stobaeus I: *ὑπὸ δὲ ἡσυχίας* S A *ὑπὸ δὲ τῆς ἡσυχίας* M | *ἀμελησίας* A[1] ‖ 7 *μάθη* A sed *οι* superscr. man. dub. ‖ 9 ecl. sine lemm. hab. S, addito lemm. M A ‖ 10 *Κηφισίδωρος* M[1], *ι* in *ό* corr. M rubr. ‖ 12 ecl. sine lemm. hab. S Br, addito lemmate M A, et S M A post ecl. 29, 98, Br post ecl. 29, 96. eadem sententia supra legitur paulo brevior III 1, 29 ubi testimonia collegi ‖ 13 *βίον τὸν* S M A Br: *βίοτον* Tr., inde vulg. ‖ 14 *εἰ* sup. lin. add. A | *ὁ* om. A Br | *τῇ συνηθείᾳ* libri: *τὴν συνήθειαν* Gaisford coll. III 1, 29 praeter necessitatem: ‘usu dulcem vitam facturos’ ‖ 16 ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemm. M A. post ecl. 29, 90 Mac., post ecl. 29, 99 ceteri. de Dionysio res narratur Ps.-Plut. inst. Lac. p. 236 F, Cic. Tusc. V 34, 98, de Ponticorum regum aliquo Plut. vit. Lycurg. c. 12

[redacted]

αὐτὸν σκευάσαι τὸν Λακωνικὸν ζωμόν· καὶ σκευάσαντος οὐκ ἤσθιεν, ἤρετο δὲ κατί αὐτῷ ἥδονται ἀηδεστάτῳ ὄντι οἱ Λάκωνες· ὃ δὲ οὐκ ἔχειν ἔφη τοῦτον τὰ ἡδύσματα, ἃ ἐκείνους ἔχειν, διὰ τοῦτο αὐτῷ μὴ ἀρέσαι. καὶ ὃς ἐπύθετο τίνα εἴη ταῦτα, αὐτὸς γὰρ κελεῦσαι τῷ ταμίᾳ πάντα ἔκπλεα αὐτῷ δοῦναι· ὃ δ' εἶπεν 'ἃ μὴ ἔστι παρὰ σοί, ⟨οἱ⟩ πρὸ τοῦ δείπνου πόνοι καὶ τὸ ἐν τῷ Εὐρώτᾳ λουτρόν'.

101 *Πλάτωνος ἐκ τοῦ Λάχητος* (p. 188 A).

Καὶ οὐδὲν οἶμαι κακὸν εἶναι τὸ ὑπομιμνήσκεσθαι ὅ τι μὴ καλῶς ἢ πεποιήκαμεν ἢ ποιοῦμεν· ἀλλ' εἰς τὸν ἔπειτα βίον προμηθέστερον ἀνάγκη εἶναι τὸν ταῦτα μὴ φεύγοντα, ἀλλ' ἐθέλοντα κατὰ τὸ τοῦ Σόλωνος καὶ ἀξιοῦντα μανθάνειν ἕωσπερ ἂν ζῇ, καὶ μὴ οἰόμενον αὐτῷ τὸ γῆρας νοῦν ἔχον προσιέναι.

102 *Ἐν ταὐτῷ* (p. 194 D).

Πολλάκις ἀκήκοά σου λέγοντος, ὅτι ταὐτὰ ἀγαθὸς ἕκαστος ἡμῶν, ἅπερ σοφός· ἃ δὲ ἀμαθής, ταῦτα δὲ κακός.

---

1 *αὐτῷ* pro *αὐτὸν* A ‖ 2 *ἤρετο* A Br ex *εἴρετο* corr. S[2] *εἴρετο* M | *κατί* M, sine acc. S quod servandum putavi cf. Meisterhans *gr.*[3] p. 178, sed *καὶ τί* A[1] Mac. unde *καττί* potest: *κατὰ τί* Tr., hinc A[2] supra lin., vulg. | *ἥδονται* S A Mac. *ἥδεν τῶ* M *ἥδοντο* Br ‖ 3 *δὲ* M | *τοῦτον* S M A[2] (om. A[1]) Br Mac.: *τοῦτο* Tr. ‖ 4 *ἐκείνους* scripsi: *ἐκεῖνος* libri | *ἔχειν* scripsi: *ἔχοι* S M Br Mac. *ἔχει* A (?) Tr., inde vulg. ‖ 5 *αὐτὸν* libri: corr. Buecheler; cf. quae ipse monui p. 295, 8 adn. ‖ 6 *ἔστη* Mac. | 7 *οἱ* addidi | *πόνοι* S M: aut *πόνοι* aut *πονεῖν* compend. voluit A[1], suprascr. *ος* A[2] (eadem manus ante *πρὸ τοῦ* add. *ὁ*), *πόνοι* (suprascr. *ος*) A[2] mrg, *πόνει* Br | *τὸ — λουτρόν*] *τοῦ — λούτρου* Br | *εὐρώτα* M *εὐρώτα* A *εὐρώτᾳ* Br: *εὐρῶτι* S; *Εὐρώτῃ* tacite Gesn.[1] p. 206, inde vulg. ‖ 8 ecl. cum lemm. hab. S M A, sine lemm. Br ‖ 11 *προθυμεστερον* A, corr. A[2] (suprascr. *μηθε*) | *εἶναι τὸν ταῦτα* Br Plat.: *τὸν ταῦτα εἶναι* S M A ‖ 12 *ἀλλ' ἐθέλοντα* S A Plat.: *ἀλλὰ ἐθέλοντα* M *ἀλλα θέλοντα* Br | *τὸ τοῦ* S A (*τὸ* supra lin. A), *τὸν τοῦ* M Br: *τοῦ* Platonis B, *τοὺς* Platonis T | post *Σόλωνος* add. *λόγον· πολλὰ γηράσκων ἀεὶ διδασκόμενος* (post *κο* in v. *διδασκόμ.* aliquid eras.) Br manifesta interpolatione | *Σόλωνος*] respicit fr. 18 p. l.[4] II p. 47 B. ‖ 13 *ἕωσπερ* M A Br Plat.: *ἕως* S Tr., inde vulg. | *αὐτῶ* (vel *-ῷ*) S M A Br Platonis B T: *αὐτὸ* Platonis Vindob. suppl. 7, *αὐτῷ αὐτὸ* Orelli ‖ 15 ecl. sine lemm. hab. S, addito lemm. M A ‖ 16 *ταῦτα* M A Plat.: *ταυτὰ* S Tr., inde vulg.

103 *Πλάτωνος ἐκ τοῦ Φαίδρου* (p. 258 E — 259 D).

Σχολὴ μὲν δή, ὡς ἔοικεν· καὶ ἅμα μοι δοκοῦσιν ὡς ἐν τῷ πνίγει ὑπὲρ κεφαλῆς ἡμῶν οἱ τέττιγες ᾄδοντες καὶ ἀλλήλοις διαλεγόμενοι καθορᾶν καὶ ἡμᾶς. εἰ οὖν ἴδοιεν καὶ νὼ καθάπερ τοὺς πολλοὺς ἐν μεσημβρίᾳ μὴ διαλεγομένους, ἀλλὰ νυστάζοντας καὶ κηλουμένους ὑφ' αὑτῶν δι' ἀργίαν τῆς διανοίας, δικαίως ἂν καταγελῷεν, ἡγούμενοι ἀνδράποδ' ἄττα σφίσιν ἐλθόντα εἰς τὸ καταγώγιον ὥσπερ προβάτια μεσημβριάζοντα περὶ τὴν κρήνην εὕδειν· ἐὰν δὲ ὁρῶσι διαλεγομένους καὶ παραπλέοντας σφᾶς ὥσπερ Σειρῆνας ἀκηλήτους, ὃ γέρας παρὰ θεῶν ἔχουσιν ἀνθρώποις διδόναι, τάχ' ἂν δοῖεν ἀγασθέντες. — Ἔχουσι δὲ δὴ τί τοῦτο; ἀνήκοος γάρ, ὡς ἔοικε, τυγχάνω ὤν. — Οὐ μὲν δὴ πρέπει γε φιλόμουσον ἄνδρα τῶν τοιούτων ἀνήκοον εἶναι· λέγεται δ' ὥς ποτ' ἦσαν οὗτοι ἄνθρωποι τῶν πρὶν Μούσας γεγονέναι, γενομένων δὲ Μουσῶν καὶ φανείσης ᾠδῆς οὕτως ἄρα τινὲς τῶν τότε ἐξεπλάγησαν ὑφ' ἡδονῆς, ὥστε ᾄδοντες ἠμέλησαν σίτων τε καὶ ποτῶν, καὶ ἔλαθον τελευτήσαντες αὑτούς· ἐξ ὧν τὸ τεττίγων γένος μετ' ἐκεῖνο φύεται, γέρας τοῦτο παρὰ Μουσῶν λαβόν, μηδὲν τροφῆς δεῖσθαι γενόμενον, ἀλλ' ἄσιτόν τε καὶ ἄποτον εὐθὺς ᾄδειν, ἕως ἂν τελευτήσῃ, καὶ μετὰ ταῦτα ἐλθὸν παρὰ Μούσας ἀπαγγέλλειν, τίς τίνα

---

1 ecl. cum lemm. hab. S M A. quae apud Platonem proxime praecedunt, ea supra dederat Ioannes ecl. 29, 93 ‖ 2 *σχολῇ* S A | *ἔοικεν* S M | *δοκοῦσιν ὡς* M libri Platonis: *δοκοῦσιν* (om. *ὡς*) S A; *δοκοῦσι νώ* Badham ‖ 4 *καθορᾶν καὶ ἡμᾶς* S M A Platonis T: *καθορᾶν* Platonis B ‖ 5 *καὶ νὼ* S e *καινῶ* corr. M^1 A^1: *καινῶ* Platonis B T | *μὴ* supra lin. A^2 ‖ 8 *σφίσιν* sed *ῑ* in *ι* corr. M^1 | *ἐλθόντα* S A Plato: *ἐλθόντασ* M | *καγώγιον* A^1 ‖ 11 *ἀκηλίτους* A | *παρὰ θεῶν ἔχουσιν* S M Plat.: *ἔχουσι παρὰ θεῶν* A ‖ 12 *τάχ' ἂν* S A Plato: *τάχα δ' ἂν* M ‖ 13 *τοῦτο* S M Plato: *τοιοῦτον* A in textu *τοῦτο* A^2 in margine ‖ 14 *πρέπει γε* libri ut Platonis T: *πρέπει* Platonis B ‖ 18 *ὡς ὅτε* A *ὥστε* superscr. A^2 ‖ 19 *τὲ* in ras. M^2 | *αὐτοὺσ* M Tr. p. 170 ‖ 20 *ἐκεῖνο* Plato: *ἐκείνων* S M A ‖ 21 *λαβὼν* M | *δεῖσθαι γενόμενον* (*γεννώμενον* A^2) *ἀλλ' — εὐθὺς ᾄδειν* S M A sicut libri Platonis: *δεῖσθαι, ἀλλ' — εὐθὺς γενόμενον ᾄδειν* Badham ‖ 23 *ἐλθὸν* S Plato: *ἐλθὼν* M A

αὐτῶν τιμᾷ τῶν ἐνθάδε. Τερψιχόρᾳ μὲν οὖν τοὺς ἐν τοῖς χοροῖς τετιμηκότας αὐτὴν ἀπαγγέλλοντες ποιοῦσι προσφιλεστέρους, τῇ δὲ Ἐρατοῖ τοὺς ἐν τοῖς ἐρωτικοῖς, καὶ ταῖς ἄλλαις οὕτω, κατὰ τὸ εἶδος ἑκάστης τιμῆς· τῇ δὲ πρεσβυτάτῃ Καλλιόπῃ καὶ τῇ μετ' αὐτὴν Οὐρανίᾳ τοὺς ἐν φιλοσοφίᾳ διάγοντάς τε καὶ τιμῶντας τὴν ἐκείνων μουσικὴν ἀγγέλλουσιν, αἳ δὴ μάλιστα τῶν Μουσῶν περί τε οὐρανὸν καὶ λόγους οὖσαι θείους τε καὶ ἀνθρωπίνους ἱᾶσι καλλίστην φωνήν.

CAPVT XXX.

ΠΕΡΙ ΑΡΓΙΑΣ.

1 *Εὐριπίδου Ἀντιόπῃ* (fr. 187 N.²).

Ἀνὴρ γὰρ ὅστις εὖ βίον κεκτημένος
τὰ μὲν κατ' οἴκους ἀμελίᾳ παρεὶς ἐᾷ,
μολπαῖσι δ' ἡσθεὶς τοῦτ' ἀεὶ θηρεύεται,
ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται,
φίλοισι δ' οὐδείς· ἡ φύσις γὰρ οἴχεται,
ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ.

2 *Εὐριπίδου Ἱππολύτου* (380—384).

---

1 τερψιχόρα SM τερψιχόρ (superscr. α, η) (sic) A η superscr. A² ‖ 4 οὕτωσ M ‖ 9 ἱᾶσιν Plat.: ἱᾶσι (-σιν M) ut videtur libri

Caput XXX legitur in SMA, aliquot eclogae in Br Mac. Chrys. titulum habent omnes ut Photius, adiciunt numerum SMA Mac., sed κε' S ‖ 12 ecl. hab. S, om. MA; εὐριπι (superscr. δ) ἀντιο (superscr. π) S. versu primo usus est Diphilus ap. Athen. VI p. 247 c (com. IV p. 411 fr. 1 v. 7), versus 15 μολπαῖσιν ἡσθεὶς — 18 τις ᾖ sine p. et fab. n. affert Sextus empir. p. 755. 15 ‖ 14 ἀμελεία παρειάσει S: ἀμελίᾳ παρεὶς ἐᾷ Valckenaer diatr. p. 71 ‖ 15 θηρεύεται S et sic tacite Gesn.² p. 209, unde vulg., θηρεύσεται Tr. p. 170 ‖ 16 οἴκοις] ἀστοῖς Elmsley in Eur. Heracl. 4 ‖ 17 φίλοισί τ' οὐθείς, ἀλλ' ἄφαντος οἴχεται Sext. Emp. ad Eur. Or. 1557 aberrans ‖ 18 ἥσσων tacite Gesn.¹ p 206, unde vulg.: ἧσσον S ‖ 19 ecl. cum lemm. hab. SMA; ἱππολύτω M

Τὰ χρήστ' ἐπιστάμεσθα καὶ γιγνώσκομεν,
οὐκ ἐκπονοῦμεν δ'· οἱ μὲν ἀργίας ὕπο,
οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ
ἄλλην τιν'· εἰσὶ δ' ἡδοναὶ πολλαὶ βίου,
μακραὶ δὲ λέσχαι καὶ σχολὴ τερπνὸν κακόν.

3 *Εὐριπίδου Ἑκάβῃ* (375—378).

Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι πόνων,
φέρει μέν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ·
θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος
ἢ ζῶν· τὸ γὰρ ζῆν ἐν κακοῖς πόνος μέγας.

4 *Φιλήμονος* (fab. inc. fr. 1 com. IV p. 30).

Ὦ Κλέων, παῦσαι φλυαρῶν· ἂν ὀκνῇς τὸ μανθάνειν,
ἀνεπικούρητον σεαυτοῦ τὸν βίον λήσεις ποῶν.
οὔτε γὰρ ναυαγός, ἂν μὴ γῆς λάβηται φερόμενος,
οὔποτ' ἂν σώσειεν αὐτόν· οὔτ' ἀνὴρ πένης γεγώς,
μὴ οὐ τέχνην μαθὼν δύναιτ' ἂν ἀσφαλῶς ζῆν τὸν βίον.
ἀλλὰ χρήματ' ἔστιν ἡμῖν. ἅ γε τάχιστ' ἀπόλλυται.
κτήματ', οἰκίαι. τύχης δὲ μεταβολὰς οὐκ ἀγνοεῖς,
ὅτι τὸν εὔπορον τίθησι πτωχὸν εἰς τὴν αὔριον·

---

1 *χρηστ'* s. acc. M | *ἐπιστάμεσθα* ex Euripide Gesn.[1] p. 206: *ἐπιστάμεθα* SMA operarius Gesn.[2] p. 209 ‖ 4 *βίου πολλαὶ* M ‖ 5 Olympiodor. in Plat. Alcib. p. 139 | *μακραί τε λέσχαι καὶ σχολή, τερπνὸν κακόν, Αἰδώς τε* Eur. ‖ 6 ecl. hab. SMA (post ecl. 30, 2) Mac. Chrys. (tamquam capitis primam); lemma fere M Mac. sed *αἰκάβη* M *τοῦ αὐτοῦ ἑκάβη* A, poetae nomine non iterato nil nisi *ἐκ*[α] S. duo versus extremi leguntur infra flor. 121, 20 Mein. (*Εὐρ. Ἑκάβης*) ‖ 7 *πόνων*] *κακῶν* ex Eur. suprascr. A[2] ‖ 9 *μᾶλλον*] *πάντων* A sed superscr. *μᾶλλον* A[2] diversa tamen manu ab ea quae *κακῶν* corr. ‖ 10 *ἐν κακοῖς* SMA: *μὴ καλῶς* Mac. ut Stob. 121 et Eur. | *πόνος μέγας* SMA Mac.: *μέγας πόνος* flor. 121 et Eur. ‖ 11 ecl. cum lemm. hab. SMA Mac. Chrys. (post ecl. 30, 3) Br (post ecl. 30, 10) ‖ 12 *ὦ Κλέων* — p. 664, 6 *ἔρανον εἰσοίσουσιν* om. Br Mac. | *κλέον* Gesn.[2] p. 210, inde vulg. | *ὀκνῇς γὰρ μανθάνειν* ci. Cobet mnemos. IV p. 258 *τι μανθάνειν* Meineke com. V 1 p. CCXXXII ‖ 13 *σεαυτῷ* Cobet mnemos. IX p. 120 | *λήσεις* Cobet l. c.: *λήσῃ* SMA | *ποῶν* SM: *ποιῶν* A ‖ 15 *αὐτὸν* S: *αὐτὸν* M *ἑαυτὸν* A ‖ 16 post verba *ζῆν τὸν βίον* versus p. 664, 1—4 *κἂν μὲν ὁρμισθῇ* — *ἔχει σωτηρίαν* transposuit Kidd poetae consilium non adsecutus

κἂν μὲν ὁρμισθῇ τις ἡμῶν εἰς λιμένα τὸν ⟨τῆς⟩ τύχης,
ἐβάλετ' ἄγκυραν καθάψας ἀσφαλείας εἵνεκα·
ἂν δ' ἀπαιδεύτου μετάσχῃ πνεύματος φορούμενος,
τῆς ἀπορίας εἰς τὸ γῆρας οὐκ ἔχει σωτηρίαν.
ἀλλ' ἑταῖροι καὶ φίλοι σοι καὶ συνήθεις, νὴ Δία,
ἔρανον εἰσοίσουσιν. εὔχου μὴ λαβεῖν πεῖραν φίλων.
εἰ δὲ μή, γνώσῃ σεαυτὸν ἄλλο μηδὲν πλὴν σκιάν.

5 *Ἡσιόδου Ἔργων καὶ ἡμερῶν* (303 sqq.).

Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅστις ἀεργὸς
ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὀργήν,
οἵ τε μελισσάων κάματον νήποινον ἔδουσιν.

6 *Σοφοκλέους Ἰφιγενείας* (fr. 287 N.[2]).

Τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή.

6ᵃ (trag. adesp. fr. 527 N.[2])

---

1 *τῆς* addidit Grotius dict. poet. p. 133 | *τύχης* libri: *τέχνης* Bentley ‖ 2 *εἵνεκα* A: *εἵνεκεν* SM; *οὕνεκα* Meineke. *πείσματα* ci. Kock com. II p. 534 ‖ 3 *ἀπαιδεύτου* SMA: *ἀπαίδευτος* Bentley; *ἀπαίδευτον* ci. Kock | *φορούμενος* SA: *φερόμενος* M ‖ 5 *μοι* pro *σοι* mavult Kock, recte, opinor | *καὶ* ante *συνήθεις* om. A ‖ 6 *πεῖραν φίλων* SM Br: *φίλων πεῖραν* A; cf. Eur. fr. 993 N.[2] ‖ 7 *γνώσει* Meineke | *ἄλλο μηδὲν πλὴν* SM A *οὐδὲν ἄλλο πλὴν* Br; *οὐδὲν* (vel *μηδὲν*) *ὄντ' ἀλλ' ἢ* proposuit Kock ‖ 8 ecl. cum lemm. hab. SMA; *ἔργων καὶ ἡμερῶν* om. S (*ἔργ*)*οις* (*καὶ ἡμερ*)*αῖς* superscr. A[2] ‖ 9 *τῷ δὲ* Hes.: *τῶδε* SMA | *νεμέσουσι* (σ superscr.) A[1] | *ὅς κεν ἀεργὸς* Hes. ‖ 10 *κηφήνεσι* M | *κοθούροις* S Hes.: *κουθούροις* MA, *κο* superscr. A[2] | *εἴκελος* Hes.: *ἴκελος* SMA | *ὀργὴν* MA Hesiodi non nulli: *ὁρμὴν* (vel *ὀρ-*) S Tr. p. 171, inde vulg. Hesiodei plerique ‖ 11 *οἵ τε* SM Hes.: *οἵγε* A | *κάματον* corr. ex *πόνον* S[1] | *νήποινον ἔδουσιν* (vel -*σι*) SMA: *τρύχουσιν ἀεργοὶ Ἔσθοντες* Hes.; illud prodit hominem vel reluctante titulo studiosum Homeri (Od. I 160) ‖ 12 ecl. cum lemm. hab. SMA post ecl. 30, 5, Mac. Chrys. post ecl. 30, 4, sine lemmate quasi primam capitis Br ‖ 13 *εἰκαία* (*εἰκέα* Mac.) *σχολή* S Br Mac. *εἰ καὶ ἀσχολῇ* (sed *ῇ* ex parte in ras. M[2]) M *εἰ καὶ ἀσχολὴ* (in margine *ζη* m. rec.) A: *ἡ λίαν σχολή* Nauck *mél. gr.-rom.* IV p. 227. *εἰκαία* nescio an philosophi sit otium 'eligentis', puto Chrysippi, cf. Seneca de otio 3, 3. 8, 1 ‖ 14 versum a priore separandum esse vidit Wagner: cum priore sine lemmate coniunctum exhibent SMA Br Mac. Chrys. fallitur de S Gaisford. poterit eiusdem videri fabulae versus (cf. III 24, 6), si lemma non omissum sit, sed non iteratum. sed *παρίσταται* clausula hodie non reperiri videtur nisi apud Euripidem. iteratur versus Men. monost. 242. cf. ibid. 252

Θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται.

7 *Μενάνδρου Ἐπιτρεπόντων* (fr. 2 com. IV p. 119).

Ἀργὸς δ' ὑγιαίνων τοῦ πυρέττοντος πολὺ
ἔστ' ἀθλιώτερος, διπλάσια † γοῦν ἐσθίει μάτην.

8 *Ἀλέξιδος ἐξ Ἀτθίδος* (fr. 3 com. V 1 p. CCII).

Ὅστις ἥδεται γὰρ ἐσθίων
ὁσημέραι, δεῖ καὶ ποιεῖν τῶν σιτίων
ἐπάξιόν τι, μηδὲ περινοστεῖν [δὲ] σχολὴν
ἄγοντα, τῷ ζῆν πολεμιώτατον κακόν.

9 *Εὐριπίδου Ἀντιόπης* (fr. 220 N.²).

Πολλοὶ δὲ θνητῶν τοῦτο πάσχουσιν κακόν·
γνώμῃ φρονοῦντες οὐ θέλουσ' ὑπηρετεῖν
ψυχῇ, τὰ πολλὰ πρὸς φίλων νικώμενοι.

10 *Ἡσιόδου Ἔργων* (498—501).

Πολλὰ δ' ἀεργὸς ἀνὴρ κενεὴν ἐπὶ ἐλπίδα μίμνων,
χρηίζων βιότοιο, κακὰ προσελέξατο θυμῷ.
ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει

---

1 *δὲ* libri nisi quod *γὰρ* A | *τοῖς ἀργοῖσιν* mon. 242 ‖ 2 ecl. cum lemm. hab. SMA, sine lemmate Br. vertit Pseudausonius epigr. 117. respicit Theophylactus Simoc. ep. 61 p. 781 Herch.: *ἀργὸς γὰρ ὢν ἀθλιώτερος εἶ τοῦ πυρέσσοντος, ἐσθίων μάτην διπλάσια* ‖ 4 versus nondum sanatus: *ἔστ' ἀθλιώτερος διπλᾶ οἷα γ' οὖν* S *ἐστ' ἀθλιώτερος διπλάσια γ' οὖν* M et sic fere Br *ἔστ' ἀθλιώτερος δίπλαοι ἄγουν* A. *ἀχρειότερος, διπλάσια δ' ἐσθίει μάτην* Dobree adv. II p. 274 et *ἀχρειότερος* iam Bentley. *ἔστ' ἀθλιώτερος, διπλάσι' ἔσθει μάτην* Buecheler. numeris trochaicis proposuit Meineke —◡— *ἀργὸς ὑγιαίνων τοῦ π. π. Ἀθλιώτερος· διπλάσια γοῦν κατεσθίει μάτην* ‖ 5 ecl. cum lemm. hab. S, om. MA ‖ 7 *δεῖ* Porson adv. p. 303: *ἀεὶ* S ‖ 8 *ἐπάξιόν τι* Tr.: *ἐπάξιόν τοι* S; *ἐπάξιον* operarius Gesn.¹ p. 208, inde vulg. | *μηδὲ περινοστεῖν* Porson: *μηδὲν περινοστεῖν δὲ* S ‖ 10 ecl. cum lemm. hab. SMA ‖ 11 *πάσχουσι* SM ‖ 12 *ῥώμῃ φρονοῦντες* ci. Vnger Theb. parad. p. 373, *αὐτοὶ φρονοῦντες* ego exerc. cr. p. 48 sq. ‖ 13 *ψυχῇ* in -ῃ corr. M¹. *τύχῃ* coniecit Meineke in Stob., postea *πρὸς κακῶν* Fleckeiseni annal. v. LXXXVII p. 384, *ψυχῇ τὰ πολλὰ προσφιλῶν νικώμενοι* H. Weil ‖ 14 ecl. cum lemm. hab. SMA (post ecl. 30, 9) Br (post ecl. 30, 7); *ἔργων* in lemm. om. S Br ‖ 15. 16 om. Br | post *ἀεργὸς ἀνὴρ* magnus hiatus in A, proximum fol. 58ʳ incipit a verbis *ἢ βρωμάτων* id est a capitis 34 ecloga 14 media

ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη.

11 *Εὐριπίδου Μελανίππῃ* (fr. 512 N.²).

Ἀργὸς πολίτης κεῖνος, ὡς κακός γ' ἀνήρ.

12 (Eur. El. 80—81)

Ἀργὸς γὰρ οὐδεὶς θεοὺς ἔχων ἀνὰ στόμα
βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνων.

13 *Ἀναξάρχου.*

Ἀνάξαρχος ἔλεγεν, εἰ μέν τινί τις καταράσαιτο ἀχρήστους αὐτῷ γενέσθαι τὰς χεῖρας καὶ τοὺς πόδας, ὀργίζεσθαι ἂν αὐτῷ, τοὺς δὲ πλουσίους ἔργῳ ἀχρήστους τοὺς πόδας καὶ τὰς χεῖρας ποιοῦντας αὐτῶν μακαρίζειν σφᾶς ἐπὶ τούτῳ.

14 *Δημοσθένους Ὀλυνθιακῶν α'* (I § 15 p. 13).

Πρὸς θεῶν, τίς οὕτως εὐήθης ὑμῶν, ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρ' ἥξοντα, ἂν ἀμελήσωμεν; ἀλλὰ μὴν εἰ τοῦτο γενήσεται, δέδοικα, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον ὥσπερ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς με-

---

1 versum om. Br ‖ 2 ecl. hab. S M; *ευρι*^πδ^ *μελανι*^π^ S *εὐρ. μελανίππη* M ‖ 3 *ὡς ἀνὴρ κακός* mavult Nauck ‖ 4 ecl. sine lemmate cohaeret cum praegressa in S M: separavit Gaisford. *Τοῦ αὐτοῦ* praefigunt Gaisford et Meineke. melius inseruissent *Ἠλέκτρᾳ*, poetae nomen non iteratur solito more ‖ 6 *ξυλλέγειν ἄνευ πόνου* Eur. ‖ 7 ecl. sine lemmate hab. S, lemma addidit M. num genuinum, dubito. fortasse desumpta est ecloga ex apomnemoneumatis Sereni qui Abderitae dialectum hic non magis curaverit quam supra Stob. II 31, 116 p. 229 Wachsm. de Anaxarcho Stobaei videatur III 34, 19 p. 686, 14 ‖ 9 *ὀργίζεσθαι* S: *ὀργίζεσθε* M ‖ 10 *αὐτῷ* M: *αὐτὸν* S ‖ 11 *ποιοῦντας* ex *ποιούντων* corr. accentu non mutato S¹ ‖ 12 *τούτωι* S: *τούτων* M Tr. p. 172 ‖ 13 ecl. cum lemm. hab. S M; *Δημοσθένους* (*Δημοσθ*^ε^ S) *ὀλυνθιακῶν* (compend. S) *α'* S M, *Δημοσθένης* nec pl. Tr. p. 172 ‖ 14 *οὕτως* S Demosth.: *οὕτοσ* M | *εὐήθης* (quod Demostheni nuper reddidit Blass) S: *ἐστὶν εὐήθης* M; *εὐήθης ἐστὶν* Demosth., ubi *ἐστιν εὐήθης* A et Y | *τὸν*, sed litt. *τὸ* in ras. M² ‖ 15 *ἥξοντ', ἐὰν* Blass ‖ 16 *ω*^θθ^ (i. e. *ὦ ἄνδρες Ἀθηναῖοι*, ut Demosth.) S *τῶ* (quod ortum puto ex comp. *ω*^θ^) M: *ὦ ἀθηναῖοι* Tr., inde vulg.

γάλοις τόκοις, μικρὸν εὐπορήσαντες χρόνον ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν, οὕτω καὶ ἡμεῖς ἂν ἐπὶ πολὺ φανῶμεν ἐρρᾳθυμηκότες, καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπὰ ὧν ἐβουλόμεθα ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ.

15 *Εὐσεβίου* (fr. 33 phil. gr. III p. 12 Mull.).

Σῶμα ἀργίη τήκει, ψυχὴν δὲ ἀμελετησίη ἀσκήσιος τῶν αὐτὴν ἀειρόντων πρὸς τὸ θεοειδέστατον.

16 *Ξενοφῶντος ἐν γ' Ἀπομνημονευμάτων* (III 9, 9).

Σχολὴν δὲ σκοπῶν τί εἴη, ποιοῦντας μέν τι τοὺς πλείστους εὑρίσκειν ἔφη· καὶ γὰρ τοὺς πεττεύοντας καὶ τοὺς γελωτοποιοῦντας ποιεῖν τι, πάντας δὲ τούτους ἔφη σχολάζειν ἰέναι πράξοντας τὰ βελτίω τούτων· ἀπὸ μέντοι τῶν βελτιόνων ἐπὶ τὰ χείρω ἰέναι οὐδένα σχολάζειν· εἰ δέ τις ἴοι, τοῦτον ἀσχολίας αὐτῷ οὔσης τοῦτο πράττειν.

17 *Πλάτωνος* (de leg. VII p. 807 E — 808 C).

---

1 '*τόκοις* om. Priscian. XVIII § 295. ita explicatur articulus *τοῖς ante μεγάλοις*' Blass ‖ 2 *οὕτω* SM, Demosth. vulg.: *οὕτως* Demosthenis SB, Voemel, Blass | *καὶ ἡμεῖς ἂν* secludit Blass, *ἂν* delet Dobree | *ἐπὶ πολλῷ* Demosth. ‖ 4 *ἐβουλόμεθα* SM: *οὐκ ἠβουλόμεθα* Demosthenis libri, unde *οὐκ* recepit Meineke, sed vid. Blass comm. crit. p. XXIX ‖ 7 ecl. cum lemm. hab. SM (post ecl. 30, 14) Br (post ecl. 30, 17) ‖ 8 *ἀμελετησίη* libri; *ἀμελησίη* Meineke v. IV p. LXIV. *ἀμελετησίη ἀσκήσιος* scripsit et adiectivorum structurae memor velut horum *ἄπαιδα ἄρσενος καὶ θήλεος γόνου* (Herodot. III 66) *ἀπαθέες πόνων τοιούτων* (ibid. VI 12) sim. ‖ 9 *ἀειρόντων* S *αἰρόντων* M *ἐγειρόντων* Br sed *ἐγ* in ras. Br[1] ‖ 10 eclogam et lemma hab. S, om. M; *ξ^ε ἐν α̂ αμν* (superscr. *π η*) S, numerum correxit Meineke ‖ 11 *μέν τι* tacite ex Xen. Gesn.[1] p. 208, inde vulg.: *μέντοι* S ut Xenophontis B al. ‖ 14 *σχολάζειν· ἐξεῖναι γὰρ αὐτοῖς ἰέναι* tacite ex Xen. Gesn.[1], inde vulg., potius secundum Stobaeum mala codicum Xenoph. emblemata resecanda esse hic et 16 perspexit Buecheler ‖ 16 *οὔσης κακῶς ἔφη τοῦτο* tacite ex Xen. scripsit Gesn.[1], inde vulg. ‖ 18 ecl. cum lemm. hab. S (post ecl. 30, 16) M (post ecl. 30, 15) Br (post ecl. 30, 4). tmema *ὕπνος δὲ* (p. 668, 13) usque ad fin. legitur supra III 1, 203 p. 159, 4 (*Τοῦ αὐτοῦ Νόμων ζ'*), ubi nostri capitis eclogam debui respicere

Τὸ γὰρ ὅλην διατελεῖν ἥντινοῦν νύκτα καθεύδοντα, καὶ ὅντινοῦν τῶν πολιτῶν, καὶ μὴ φανερὸν εἶναι πᾶσι τοῖς οἰκέταις ἐγειρόμενόν τε καὶ ἐξανιστάμενον αἰεὶ πρῶτον, τοῦτ᾽ αἰσχρὸν δεῖ δεδόχθαι πᾶσι, καὶ οὐκ ἐλευθέρου, εἴτ᾽ οὖν νόμον εἴτ᾽ ἐπιτήδευμα τὸ τοιοῦτον καλεῖν ἐστι χρεών. καὶ δέσποιναν ἐν οἰκίᾳ ὑπὸ θεραπαινίδων ἐγείρεσθαί τινων, καὶ μὴ πρώτην αὐτὴν ἐγείρειν τὰς ἄλλας, αἰσχρὸν λέγειν χρὴ πρὸς αὐτοὺς δούλην τε καὶ δοῦλον καὶ παῖδα καὶ εἴ πως οἷόν τε ὅλην καὶ πᾶσαν τὴν οἰκίαν. ἐξεγειρομένους δὲ νύκτωρ δεῖ πάντας πράττειν τῶν τε πολιτικῶν μέρη πολλὰ καὶ τῶν οἰκονομικῶν, ἄρχοντας μὲν κατὰ πόλιν, δεσποίνας δὲ καὶ δεσπότας ἐν ἰδίαις οἰκίαις. ὕπνος γὰρ δὴ πολὺς οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἡμῶν οὐδ᾽ αὖ ταῖς πράξεσι ταῖς περὶ ταῦτα πάντα ἁρμόττων ἐστὶ κατὰ φύσιν. καθεύδων γὰρ οὐδεὶς οὐδενὸς ἄξιος, οὐδὲν μᾶλλον τοῦ μὴ ζῶντος· ἀλλ᾽ ὅστις τοῦ ζῆν ἡμῶν καὶ τοῦ φρονεῖν μάλιστά ἐστι κηδεμών, ἐγρήγορε χρόνον ὡς πλεῖστον, τὸ πρὸς ὑγίειαν αὐτοῦ φυλάττων μόνον χρήσιμον· ἔστι δὲ τοῦτο οὐ πολὺ καλῶς εἰς ἔθος ἰόν. ἐγρηγορότες δὲ ἄρχοντες ἐν πόλεσι

---

1 *Τὸ γὰρ — ἐν οἰκίαις ἰδίαις* (12) om. Br | *νύκτα εὕδοντα* Plat. || 3 *ἀεὶ* Plat. || 5 *τοιοῦτον* M Tr. Plat.: *τοιοῦτο* S | *ἐστιν* M || 6 *καὶ δέσποιναν* SM: *καὶ δὴ καὶ δέσπ.* Plat. Stobaeo fortasse reddendum; *καὶ δὴ δέσπ.* non recte Gesn.[1] p. 210, vulg. || 7 *ἐγείρειν* sed *εί* ex corr. M[1] || 8 *αὐτοὺς* Ast: *αὑτοὺς* SM et fere libri Platonis | *δούλην τε* (vel *τὲ*) *καὶ δοῦλον* (*δούλων* compend. M) SM: *δοῦλόν τε καὶ δούλην* Plat. || 9 *εἴ πως ἦν οἷόν τε* Plat., inde tacite Gesn.[1], vulg. || 10 *πάντας* SM Plat.: *πάντως* Tr., vulg. || 11 *μέρη* tacite ex Platone Gesn.[1], inde vulg.: *ἡμέρα* SM || 12 *ἐν ἰδίαις οἰκίαις* reposui ex M Plat.: *ἐν οἰκίαις ἰδίαις* S Tr., inde vulg.; *ἰδίαις* suspectum Buechelero || 13 *ὕπνος δὲ πολὺς* Stob. III 1 || 14 *αὖ ταῖς* libri nisi quod *αὐταῖς* S ut supra M[d] | *πράξεσιν* SM *-σι* Tr. Br || 15 *καθεύδων κτέ.*] cf. p. 159, 7 adn. || 18 *ὑγίειαν* M Plat.: *ὑγείαν* S Br | *αὑτοῦ* Ast || 19 *φυλάττων μόνον* SM: *μόνον φυλάττων* Br, Stob. III 1, Plat. | *τοῦτο* (*τοῦτ᾽* Gesn.[1], vulg.) om. Br, Stob. III 1, Plat. || 20 v. *καλῶς — πόλεσι* om. S | *καλὸν* pro *καλῶς* M, fuerit igitur *καλὸς* in libro primitivo ut in compluribus Platonis

νύκτωρ φοβεροὶ μὲν κακοῖς, πολεμίοις ἅμα καὶ πολίταις, ἀγαστοὶ δὲ καὶ τίμιοι τοῖς δικαίοις τε καὶ σώφροσιν, ὠφέλιμοι δὲ αὑτοῖς τε καὶ ξυμπάσῃ τῇ πόλει.

CAPVT XXXI.

ΠΕΡΙ ΑΙΔΟΥΣ.

1 *Εὐριπίδου Τημένῳ* (fr. 746 N.[2]).

Αἰδὼς γὰρ ὀργῆς πλείον' ὠφελεῖ βροτούς.

2 *Εὐριπίδου Ἰφιγενείας* (Aul. 378—380).

Βούλομαί σ' εἰπεῖν κακῶς εὖ, βραχέα, μὴ λίαν ἄνω
βλέφαρα πρὸς τἀναιδὲς ἀγαγών, ἀλλὰ σωφρονεστέρως,
ὡς ἀδελφὸν ὄντ'. ἀνὴρ γὰρ χρηστὸς αἰδεῖσθαι φιλεῖ.

3 *Εὐριπίδου Ἱππολύτου* (fr. 436 N.[2]).

Ὦ πότνι' αἰδώς, εἴθε τοῖς πᾶσιν βροτοῖς

---

1 *πολεμίοις ἅμα* M: *πολεμίοις τε ἅμα* Br, Stob. III 1, Plat.; malim *πολεμίοις θ' ἅμα* ‖ 3 *αὑτοῖς* Plat.: *αὐτοῖς* libri

Caput XXXI habent SLM, paucas eclogas Br. inscriptio legitur sic ut apud Photium in SMBr, numerus in SM, sed *κϛ'* in S. genuinus eclogarum ordo nec in SM servatus videtur nec in L, secutus sum illos ‖ 6 ecl. sine lemm. hab. S (in capitis principio), addito lemm. *εὐρ. τιμαίω* M (eodem quo S loco), poetae nomine non iterato, fabulae omisso L (post ecl. 31, 2). legitur ecloga et lemma *Εὐριπίδου* corp. Par. 674 Elt. *Τημένῳ* revocavit Nauck. de codice S fallitur Gaisford. nullum ibi legitur lemmatis vestigium frustraque olim cogitabant de *Τέννῃ* pseudeuripidea. deceptum esse Gaisfordum lineamentis quibusdam quae in tituli praecedentis calce posuit more solito S[1] suspicatur Mekler ‖ 7 *Αἰ* in *Αἰδὼς* om. rubro addendum L | *πλείον'* Nauck: *πλεῖον* libri ‖ 8 ecl. cum lemm. hab. SM (post ecl. 31, 1) L (tamquam primam); *ἐξ ἴφ.* L fortasse recte ‖ 9 *σ'* om. M | *αὖ* pro *εὖ* Markland ‖ 10 *φρονεστέρως* (*σω* superscr.) S[1] ‖ 11 *ἀνὴρ γὰρ χρηστὸς αἰδεῖσθαι φιλεῖ* M et sic suspicatus erat Grotius: *ἀνὴρ γὰρ χρηστος χρηστὸν αἰδεῖσθαι φιλεῖ* LS *ἀνὴρ γὰρ αἰσχρὸς* (vel *αἰσχρῶς*) *οὐκ αἰδεῖσθαι φιλεῖ* Euripidis libri ‖ 12 ecl. cum lemm. hab. SM (post ecl. 31, 2), poetae nomine non iterato, fabulae omisso L (post ecl. 31, 1), sine lemm. Br (tamquam primam capitis); *τοῦ αὐτοῦ* pro *εὐρ.* S ‖ 13 *Ὦ* om. rubr. addendum L | *πότνια* LSM | *εἶτε* S | *πᾶσιν* tacite Grotius dict. poet. p. 137: *πᾶσι* SMLBr | *βροτοῖς* ex *βροτῶν* corr. S[1]

συνοῦσα τἀναίσχυντον ἐξῆρον φρενῶν.

4 *Ἡσιόδου Ἔργων* (318).

Αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.

5 *Μενάνδρου Ὁμοπάτριοι* (fr. 1 com. IV p. 178).

Πᾶς ἐρυθριῶν χρηστὸς εἶναί μοι δοκεῖ.

6 *Μουσωνίου* (p. 256 Peerlk.).

Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσῃ, ἐὰν πρῶτον ἄρξῃ σαυτὸν αἰδεῖσθαι.

7 *Δημοκρίτου* (cf. fr. mor. 98 Mullach.).

Φαῦλον, κἂν μόνος ᾖς, μήτε λέξῃς μήτ' ἐργάσῃ· μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.

8 *Πυθιάδος.*

Πυθιὰς ἡ Ἀριστοτέλους τοῦ φιλοσόφου θυγάτηρ ἐρωτηθεῖσα ποῖον κάλλιστον χρῶμα, ἔφη 'τὸ διὰ τὴν αἰδῶ τοῖς ἐλευθέροις ἐπιγιγνόμενον'.

---

2 ecl. hab. SM (post ecl. 31, 3) L (post ecl. 31, 15); *Ἡσιόδου ἔργων* reposui ex M, *Ἡσιόδου* nec plura SL. cf. III 29, 4 ‖ 4 ecl. hab. SML: *Μενάνδρου ὁμοπάτριοι* M *Μενάνδρου* (μ$^{\varepsilon}$ S) fabulae nom. omisso SL. cf. lemma III 37, 10. *Ὁμοπατριῶν* (voluit *-ίων*) Gaisford ‖ 5 *πᾶς* libri: *ἅπας* Grotius dict. poet. p. 137. malui mancum edere, possunt plura cogitari ‖ 6 ecl. cum lemm. hab. SM (post ecl. 31, 5) L (post ecl. 31, 17) Br (post ecl. 31, 3). iterat eclogam et lemma corp. Par. 675 Elt. recurrit in florilegio Schenkelii (*Wien. stud.* XI p. 10) 3 ‖ 7 *ἄρξῃι* S *ἄρξη* L Br *ἄρξῃ* flor. Schenk.: *ἄρξῃς* M, inde vulg. | *σεαυτὸν* flor. Schenk. ‖ 9 ecl. hab. SMLBr; *Δημο*$^{\kappa\tau\iota}$ L (sic, non ut adnotavit Meineke v. IV p. LXIV) M *δημο*$^{\kappa\rho}$ Br *δημο*$^{\varsigma}$ suo more S. sed cum eclogae lemmati subiectae nullum insit dialecti vestigium (cf. Meineke l. c.), paene in eo fuit, ut lacunam signarem. intercidit autem ni fallor gnoma quam tradidit Democrates qui dicitur n. 50 Orell.: *Ἑωυτὸν πρῶτον αἰσχύνεσθαι χρεὼν τὸν αἰσχρὸν ἔρδοντα,* nisi males conicere eam sententiam quae legitur flor. 46, 46 hoc loco a Stobaeo praeceptam esse. certe ionicas formas rescribere dubitavi. ceterum Musonii dicto sententia Democritea subicitur saepius velut III 5, 22. 7, 25 ‖ 10 *μήτ'* S: *μὴ δ'* ML *μηδ'* Br ‖ 11 *ἄλλων* libri nisi quod *ἄθλεων* L | *σεαυτὸν* (*σαυ-* Br) S Br: *ἑαυτὸν* LM ‖ 12 ecl. cum lemm. hab. SM, sine lemm. L. recurrit apophth. Vind. 187 ‖ 13 *τοῦ φιλοσόφου* secluserim, om. L apophth. Vind. | *ἐρωτηθεῖσα* SL apophth. Vind.: *ἐρωτηθεῖσα ὑπό τινοσ* M ‖ 14 *ποῖόν*

9 *Ἰαμβλίχου Σωπάτρῳ περὶ ἀρετῆς.*

Τοιαῦτα δ' ἂν εἴη καὶ τὰ τῆς αἰδοῦς ἀντεχόμενα, τιμῶντα δὲ τὰ χρηστὰ ἤθη, δι' ἣν τῶν αἰσχρῶν πάντων ἀπεχόμεθα· τὴν δὲ ἀναίδειαν ἐξορίζοντα τῆς ψυχῆς, δι' ἣν ὑπὸ τῶν αἰσχρῶν οἱ πολλοὶ ἁλίσκονται.

10 *Θεοφράστου* (fr. CLV Wimmer.).

Αἰδοῦ σαυτόν, καὶ ἄλλον οὐκ αἰσχυνθήσῃ.

11 *Κάτωνος.*

Μάλιστα δ' ἐνόμιζε δεῖν ἕκαστον αἰδεῖσθαι ἑαυτόν· μηδένα γὰρ ἑαυτοῦ μηδέποτε χωρὶς εἶναι.

12 *Στασίνου ἐκ τῶν Κυπρίων* (fr. 20 Kinkel.).

Ζῆνα δὲ τὸν ῥέξαντα καὶ ὃς τάδε πάντ' ἐφύτευσεν, οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

13 *Ὁμήρου* (Il. III 172).

Αἰδοῖός τέ μοι ἐσσί, φίλε ἑκυρέ, δεινός τε.

14 *Τοῦ αὐτοῦ* (Od. XVII 188).

Ἀλλὰ τὸν αἰδέομαι καὶ δείδια.

ἔστι κάλλιον apophth. Vind. | *εἶπε* pro *ἔφη* apophth. Vind. ‖ 15 *ἐπιγιγνόμενον* S M *ἐπιγινόμενον* L apophth. Vind.

1 ecl. et lemma hab. S M L, sed pro lemmate nil nisi *Ἰαμβλϊ* (superscr. *ων*) / (*Ἰ* om. rubr. addend.) L ‖ **3** *δὲ* S M L; *μὲν* tacite Gesn.² p. 212, vulg. *εἴη ⟨τὰ⟩ τιμῶντα μὲν τὰ χρηστὰ ἤθη καὶ τὰ τῆς αἰδοῦς ἀντεχόμενα* ci. Meineke parum probabiliter, v. *τιμῶντα δὲ τὰ χρηστὰ* secludi vult Wachsmuth ‖ **6** ecl. cum lemm. hab. S M L. iterat lemma et eclogam corp. Par. 676 Elt. ‖ **8** ecl. cum lemm. hab. S M L (post ecl. 31, 10) Br (post ecl. 31, 7); *Πλάτωνος* (*Π* rubr.) L. iterat eclogam et lemma *Κάτωνος* corp. Par. 677 Elt. ‖ **9** *δ' ἐνόμιζε* S L: *δὲ νόμιζε* M Br Tr. p. 173 *νόμιζε* corp. Par. ‖ **10** *μηδένα* L idque suspicatus erat Meineke: *μηδὲν* S M corp. Par. ‖ **11** ecl. cum lemm. hab. S M L; *Στασίνου ἐκ τῶν κυπρίων* M: *στασίμου ἐκ τ̃ κυπρῖ* S nil nisi (*Στ*)*ασίνου* sed *Στ* om. rubr. addend. L. conferatur ecloga 18 ‖ **12** *Μῆνα* (*M* rubr.) L | *δὲ* etiam S, moneo propter Gaisfordum | *τὸν ῥέξαντα* L S M flor. 31, 18: *τόν θ' ἕρξαντα* Plat. Euthyphr. p. 12 A ‖ **13** *Ἵνα γὰρ κτἑ.* (*Ἵ* om. rubr. addend.) tamquam nova ecloga a prioribus separatur lemmate non iterato in L ‖ **14** ecl. cum lemm. hab. S M (post ecl. 31, 12) L (post ecl. 31, 5) ‖ **15** *δέ μοι* Apoll. Soph. p. 57, 22 | *ἐσσὶ* S L Hom. al.: *ἐπὶ* M | *ἑκυρέ, δεινός τε* om. L ‖ **16** ecl. hab. lemmate non iterato L, addito lemmate M: om. eclogam ut tamen sub articuli insequentis lemmate facile litterae *αλλ* agnoscantur S, plane om. Tr. ‖ **17** *Ἀλλὰ τὸν* M L Hom.: *Ἀλλ'* temere Gesn.² p. 212, vulg. | *αἰδέομαι* M Hom.: *αιδρόμαι* (sic, teste Schoellio) L

15 *Εὐριπίδου ἐκ Κρεσφόντου* (fr. 457 N.²).

Αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται, τέκνον.

16 *Θεόγνιδος* (1161—1162).

Οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω
αἰδοῦς, ἣν ἀγαθοῖς ἀνδράσι, Κύρνε, διδῷς.

17 *Ἀγάθωνος* (fr. 22 p. 767 N.²).

Ἀδικεῖν νομίζων ὄψιν αἰδοῦμαι φίλων.

18 *Πλάτωνος ἐκ τοῦ Εὐθύφρονος* (p. 12 A — C).

Λέγω γὰρ δὴ τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας

Ζῆνα δὲ τὸν ῥέξαντα καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

ἐγὼ οὖν τούτῳ διαφέρομαι τῷ ποιητῇ. εἴπω σοι ὅπῃ;

---

1 ecl. hab. addito lemmate S M (post ecl. 31, 14), sine lemm. cum ecl. 31, 3 coniunctam L; *χρησφον*^τ (*η* ex corr., sine acc.) S *χρησφόντου* M | 2 *δ' ἐν* Tr. | *φαίνεται* mavult Nauck. cf. Ar. Vesp. 447 ‖ 3 ecl. cum lemm. hab. S M (post ecl. 31, 15) L (post ecl. 31, 14) ‖ 4 *καταθήσεται* M. libri Theognidei v. 409—410 exhibent *Οὐδένα θησαυρὸν παισὶν* (*παισὶ* A O) *καταθήσει* (sic A O, *καταθήσῃ* rel.; *καταθήσεαι* suasit Osc. Crueger diss. de Theogn. p. 24) *ἀμείνω Αἰδοῦς ἥ τ' ἀγαθοῖς ἀνδράσι, Κύρν', ἕπεται*, cum versus 1161—1162 ibidem legantur sic *Οὐδένα θησαυρὸν παισὶν καταθήσειν* (sic A; ceteri metro consulentes *καταθήσειν παισὶν*) *ἄμεινον, Αἰτοῦσιν δ' ἀγαθοῖς ἀνδράσι, Κύρνε, δίδου.* atque illud quidem distichon genuinum aestimant, hoc quod gravibus vitiis laborat putant male interpolatum esse sive per parodiam ex illo detortum. immo *αἰτοῦσιν δ' — δίδως* corruptum videtur ex *αἰδοῦς, ἣν — διδῷς* (*δίδῳς* Bergk), quod vidit Bergk p. l.⁴ II p. 219 reddendum esse Stobaeo, ubi libri *αἰδοῦς ἣν — δίδως*. Stobaei lectionem etiam Theognidi vindicat Buecheler ‖ 6 ecl. cum lemm. hab. S M L; *Ἀγα*^θ L | 7 *ἀδικεῖν* S: *ἀδικεῖ* M *Δοκεῖν* (*Δ* rubr.) L ‖ 8 ecl. cum lemm. hab. S M (post ecl. 31, 17) L (post ecl. 31, 12) ‖ 9 *ὁ ποιητὴς* L Plat.: *ὁ ποι*^η (*ὅπη* Tr. p. 173) S *ὁ ποι . τὴς* priore *η* eraso M ‖ 11 videatur ecloga 12 | *τόν θ' ἕρξαντα* Plat. | *πάντα* M ‖ 12 *ἵνα — αἰδώς*] cf. quae collegit Kinkel ep. gr. fr. I p. 31 | *ἔνθα* L S Plat.: *ἐνθάδε* M ‖ 13 *ἐγὼ οὖν τούτω* in ras. L¹ | *ὅπου* L

— Πάνυ γε. — Οὐ δοκεῖ μοι εἶναι ἵνα δέος, ἔνθα καὶ αἰδώς· πολλοὶ γάρ μοι δοκοῦσι καὶ νόσους καὶ πενίας καὶ ἄλλα πολλὰ τοιαῦτα δεδιότες δεδιέναι μέν, αἰδεῖσθαι δὲ μηδὲν ταῦτα ἃ δεδίασιν. οὐ καὶ σοὶ δοκεῖ; — Πάνυ γε. — Ἀλλ' ἵνα γε αἰδώς, ἔνθα καὶ δέος εἶναι· ἐπεὶ ἔστιν ὅστις αἰδούμενός τι πρᾶγμα καὶ αἰσχυνόμενος οὐ πεφόβηταί τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας; — Δέδοικε μὲν οὖν. — Οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς· ἀλλ' ἵνα μὲν αἰδώς, ἔνθα καὶ δέος, οὐ μέντοι γε ἵνα γε δέος, πανταχοῦ αἰδώς· ἐπὶ πλέον γὰρ οἶμαι δέος αἰδοῦς· μόριον γὰρ αἰδὼς δέους, ὥσπερ ἀριθμοῦ περιττόν, ὥστε οὐχ ἵνα περ ἀριθμός, ἔνθα καὶ περιττόν, ἵνα δὲ περιττόν, ἔνθα καὶ ἀριθμός.

CAPVT XXXII.

ΠΕΡΙ ΑΝΑΙΔΕΙΑΣ.

1 (32, 5 Mein.) *Εὐριπίδου Μηδείᾳ* (469—472).

Οὔ τοι θράσος τόδ' ἐστίν, οὐδ' εὐτολμία,
φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν·
ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν, ἀναίδει'. εὖ δ' ἐποίησας μολών.

---

1 ἔνθα L S Plat.: ἐνθάδε M ‖ 3 δεδιότες L, om. ceteri fortasse recte; tacite ex Platone addidit Gesn.^{1} p. 210, inde vulg. ‖ 4 μὲν pro δὲ L ‖ 7 πονηρίας] ν vel σ ex ν L ‖ 9 ἔνθα S Plat.: ἐνθάδε M ‖ 9 et 10 αἰδὼς sed ὼ ex ῶ corr. M^1 ‖ 10 γε ἵνα γε S Platonis E: ἵνα γε M L Platonis B D e γε ἵνα Platonis C

Caput XXXII offerunt S M L, duas eclogas etiam Br, titulum sic ut Photius S M Br: numerum λβ' addit M, κζ' S. dispositionem repraesentavi codicis L propter eclogas nonnullas ab hoc solo asservatas ‖ 16 ecl. hab. L (in initio capitis) S M (post ecl. 32, 4 Mein.); ευρι$^{\pi\delta}$ μη S εὐρ. μηδεία M Εὐριπίδου (Ἐ rubr.) compendiose nec plura L. versus duos priores afferunt Herodian. περὶ ἀκυρολ. in Boiss. an. gr. III p. 268, Etym. Gud. p. 255 ‖ 18 φίλοις M ‖ 20 ἀναίδεια S M | μολὼν Eur.: μολων sine acc. S μολῶν M Eur. non nulli μόλων compend. L

2 (deest Mein.: trag. fr. adesp. 556 N.²)

Αἰδὼς ἀπώλεσ' αὐτόν, ἐρρέτω κακή·
πολλὴν γὰρ αὐτὴν δειλὸς ὢν ἐκτήσατο.

3 (deest Mein.: Eur. fr. 285 N.²)

* * *

κἀγὼ μετ' ἀνδρῶν ἡνίκ' εὐτύχουν βίῳ.

4 (deest Mein.: trag. fr. adesp. 557 N.²)

Τοῖς γὰρ κακῶς πράσσουσιν οἱ σεμνοὶ λόγοι
κόσμον μὲν ἂν δοίησαν· ἡ δ' εὐπραξία
ξὺν τοῖς ἀναισχύντοισιν ὥρισται βροτῶν.

5 (deest Mein.: trag. fr. adesp. 558 N.²)

Ὦ παῖ, τὸ δεῖσθαι τῶν πέλας θνητοῖς μέγα
διδασκαλεῖον τῆς ἀναιδείας ἔφυ.

---

1 ecl. sine lemm. hab. L (post ecl. 32, 5 Mein.), om. S M. Euripidis ecloga cum non solum antecedat sed etiam insequatur, secundum Laurentiani consuetudinem Euripidi vindicavi etiam mediam probante Nauckio. et *ἐρρέτω* sic saepius Euripides (Phoen. 625 Androm. 1194), de *ἐκτήσατο* clausula monui supra 29, 31 ‖ 4 ecl. sine lemm. (vel potius poetae nomine non iterato, fabulae non addito) L, om. S M. ante versum *κἀγὼ κτἑ.* indicavi lacunam. rectius esset, si versus ex Bellerophonte petitos quos admodum in deliciis habuit gnomologus (vide quae de Stobaeo communicavi cum Nauckio), in contextum reciperemus. sic demum intellegitur quo pacto locum habere potuerit versus *κἀγὼ κτἑ.* in capite *περὶ ἀναιδείας*. sunt enim versus hi *Ὅστις δὲ γαῦρον σπέρμα γενναιόν τ' ἔχων Βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ, Πενίᾳ δ' ἐλάσσων ἐστίν, ἐν δ' ἀλγύνεται Φρονῶν, ὑπ' αἰδοῦς δ' ἔργ' ἀπωθεῖται χερῶν· Ὁ δ' οὐδὲν οὐδείς, διὰ τέλους δὲ δυστυχῶν Τοσῷδε νικᾷ· τοῦ γὰρ εὖ τητώμενος Οὐκ οἶδεν, ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων. Οὕτως ἄμεινον μὴ πεπειρᾶσθαι καλῶν. Ἐκεῖνο γὰρ μεμνήμεθ'· οἷος ἦν ποτε Κἀγὼ μετ' ἀνδρῶν ἡνίκ' εὐτύχουν βίῳ* ‖ 6 recurrit cum compluribus aliis (*ὁ δ' οὐδὲν οὐδείς κτἑ.*) post flor. 97, 9 Mein. (*Εὐρ. Βελλεροφόντῃ*) ubi *ποτέ* ex versu praegresso pro *βίῳ* ‖ 7 ecl. sine lemmate cum versu priore coniunctam hab. L, om. S M, separavit Nauck ‖ 9 *ἂν δοίησαν* ut tamen malit *ἂν διδοῖεν* Nauck: *ἐνδοίησαν* L ‖ 10 *ᾤκισται* ci. Nauck | *βροτῶν* L, testantur Vitelli et R. Schoell, monitum volo propter Nauckium qui *βίου* codici tribuere videtur et nuperrime coniecit *ᾠκίσθαι φιλεῖ* ‖ 11 ecl. sine lemm. hab. L, om. S M ‖ 13 *διδασκαλία* (superscr. *εῖον*) (sic) L

6 (deest Mein.) *Ὁμήρου* (Il. XXIV 44—45).

Ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς
γίνεται, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.

7 (deest Mein.)* *ωκειῶν.*

Αἰδώς τοι ξυνετοῖσιν ἐπὶ βλεφάροισι κάθηται,
ὕβρις δ' ἀξυνέτοισι· σοφὸς δέ κε τοῦτο δαείη.

8 (32, 4 Mein.) *Θεόγνιδος* (647—648).

Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν,
αὐτὰρ ἀναιδείη γαῖαν ἐπέρχεθ' ὁμῶς.

9 (32, 1 Mein.) *Μενάνδρου* (fab. inc. fr. 287 com. IV p. 294).

Ἀπερυθριᾷ πᾶς, ἐρυθριᾷ δ' οὐδεὶς ἔτι.

10 (32, 2 Mein.: Menandri fab. inc. fr. 173 com. IV p. 273).

Ὅς
οὔτ' ἐρυθριᾶν ἐπίσταται' οὔτε δεδιέναι,

---

1 ecl. hab. L, om. S M; lemma post alterum versum (ante *ωκειῶν*) offert L, traiecit Sarti ‖ 2 *Ὣς* Hom.: *Ὡς* (*Ὡ* rubr.) L | *Ἀχιλεὺς* Hom.: *Ἀχιλλεὺς* L ‖ 3 versus ex Hes. Opp. 318 in Homerum venisse visus est iam veteribus criticis, vide schol. | *γίνεται* L Hom. plerique: *γίγνεται* Hom. A L Lips. ‖ 4 ecl. cum lemm. hab. L, om. S M; ante *ωκειῶν* spatium relictum rubricatori. *ἐκ τῶν Φωκυλιδείων* ci. Bergk p. l.[4] II p. 72 ‖ 6 *καὶ* L: corr. Sarti ‖ 7 ecl. cum lemm. hab. L (post ecl. 32, 7 H.) S M (post ecl. 32, 3 Mein.) ‖ 8 *ἢ δὴ νῦν* mavult Bergk ‖ 9 *ἀτὰρ* ut videtur S | *ἐπέρχεθ' ὁμῶς* S: *ἐπιστρέφεται ἐπέρχεσθ ὅμως* M *ἐπιστρέφεται* Theogn. *ἐπιστρέφεται ὁμῶς* L. fuit tamen cum *ὁμῶς* vel *ὅμως* ortum putarem ex vocabulo *ὤμοις*, quod huc irrepere poterat ex syllogae Theognideae versibus proximis (649—652), sive quia hi olim in ipso Stobaei *περὶ ἀναιδείας* capite locum habebant sive quia legebantur in gnomologio vetustiore *Ἆ δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις Σῶμα καταισχύνεις—κἄλ' ἐπιστάμενον.* eidem versus leguntur infra flor. 96, 14 Mein. ‖ 10 ecl. cum lemm. hab. L (post ecl. 32, 4 Mein.) S M (in initio capitis) ‖ 11 *Ἀπερῠϊθριᾷ* sed *ῠι* ex corr. L | *πᾶς* S L: *πῶσ* M ‖ 12 ecl. sine lemm. cum versu priore coniunctam hab. L S M: separavit Gesn.[2] p. 212 *Diphili* lemmate eclogae proximae (3 Mein.) temere huc retracto, quod fraudi fuit Meinekio com. IV p. 422 et in Stob. ed., Kockio com. II p. 579. Menandri esse locum firmatur dispositione codicis L. ad Adelphos rettulit Clericus propter Terent. Adelph. IV 5, 9 ‖ 13 *ὅς οὔτ'* L M: *ὅς δ' οὔτ'* S | *ἐπίσταται* S M *ἐπίσταται'* L: *οἶδεν* tacite scripsit Gesn.[1] p. 212 (inde vulg.), temere. exempli gratia proposuit Meineke: *ὅς δ' ⟨ὦ Πάμφιλε⟩ Οὔτ' ἐρυθριᾶν ἐπίσταται'* vel *ὅς οὖν* (aut *ὅστις οὖν*) *Οὔτ' ἐρ. ἐπ.* ci. Meineke. sed *ὅς* vel *ὅς δ'*

τὰ πρῶτα πάσης τῆς ἀναιδείας ἔχει.

11 (32, 7 Mein.) *Μενάνδρου Καρίνῃ* (fr. 2 com. IV p. 144).

Ὦ μεγίστη τῶν θεῶν
νῦν οὖσ' Ἀναίδει', εἰ θεὸν καλεῖν σε δεῖ.
δεῖ δέ· τὸ κρατοῦν γὰρ νῦν νομίζεται θεός.
ἐφ' ὅσον βαδίζεις, ἐφ' ὅσον ἥξειν μοι δοκεῖς.

12 (32, 3 Mein.) *Διφίλου* (fr. 29 com. IV p. 425).

Οὐκ ἔστ' ἀναιδοῦς ζῷον εὐθαρσέστερον.

13 (32, 3ᵃ Mein.: trag. fr. adesp. 528 N.²)

Κακὴ γὰρ αἰδὼς ἔνθα τἀναιδὲς κρατεῖ.

14 (32, 6 Mein.) *Θεοδέκτου* (fr. 12 p. 805 N.²).

Ἅπαντ' ἐν ἀνθρώποισι γηράσκειν ἔφυ
καὶ πρὸς τελευτὴν ἔρχεται ταχτοῦ χρόνου,
πλήν, ὡς ἔοικε, τῆς ἀναιδείας μόνον.
αὕτη δ' ὅσῳπερ αὔξεται θνητῶν γένος,
τοσῷδε μείζων γίγνεται καθ' ἡμέραν.

15 (32, 8 Mein.) *Ἡροδότου ἱστορίας α'* (I 8).

---

a poeta alienum esse vidit Buecheler. gnomologi si est, sufficiet in extremo versu collocasse | *οὔτε* S M: *εὔτε* L

1 *ἀναιδείας* L M: *ἀναιδείης* S ‖ 2 ecl. hab. lemmate non iterato L (post ecl. 32, 2 Mein.), addito lemmate S M (post ecl. 32, 6 Mein.); *Καρίνῃ* Meineke: *χαρίνῃ* S M ‖ 3 *Ἡ μεγίστη* (*Ἡ* rubr.) L ‖ 4 *οὖσα ἀναίδεια* fere libri ‖ 5 *κρατοῦν* S M: *κρατεῖν* L. respicit Artemid. oniroer. II 36 *ὀρθῶς τοῦτο τὸ παλαιὸν ἔχει 'τὸ κρατοῦν δύναμιν ἔχει θεοῦ'* et 69 *εἶτα βασιλεῖς καὶ ἄρχονται· τὸ κρατοῦν γὰρ πᾶν δ. ἔχει θεοῦ.* hoc immerito praeoptari ab Hirschigio et Cobeto bene exposuit Meineke v. II p. V ‖ 6 *δοκεῖ* L ‖ 7 ecl. cum lemm. hab. L (post ecl. 32, 7 Mein.) S M (post ecl. 32, 2 Mein.); *Διφίλου* M ‖ 8 *ἔστ'* (sic ut correxit Meineke) L *ἔστιν* S M | *ζῷον* ex *ζώων* corr. L ‖ 9 ecl. sine lemmate cum praegresso versu iunctam hab. L S M, separavit Meineke ‖ 10 *κακὸν* Herwerden | *γ' ἀναιδὲς* libri: corr. Valckenaer ad Eur. Hipp. 385 ‖ 11 ecl. cum lemm. hab. L (post ecl. 32, 3 Mein.) S M (post ecl. 32, 5 Mein.), sine lemm. Br (tamquam capitis primam) ‖ 13 versum inter lineas habet S, seclusit Nauck | *ταχτοῦ* Buecheler: *τὰ τοῦ* S M L Br *τὴν τοῦ* Tr., vulg. ‖ 14 *μόνης* Meineke apud Nauckium ‖ 15 *αὕτη* S *αὐτὴ* M L Br ‖ 16 *γίγνεται* libri, etiam Tr., *γίνεται* S ‖ 17 ecl. cum lemm. hab. L (post ecl. 32, 6 Mein.) S M (post ecl. 32, 7 Mein.). *ηρο^δ ἱστ^ο α'* (unde *ἱστοριῶν α'* non recte Meineke) S, *ἡροδότου ἱστορίας α'* M: *Ἡροδότου* (corr. rubr. ex *ῥόδοτ^ο*) *α͞* nec plura L.

Ἅμα δὲ κιθῶνι ἐκδυομένῳ ἐκδύεται καὶ τὴν αἰδῶ γυνή.

16 (32, 9 Mein.) *Ξενοφῶντος ἐκ τῆς Κύρου παιδείας* (I 2, 7).

Ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἀναισχυντία· καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών.

17 (deest Mein.) *Δημοσθένους* (I § 27 p. 17).

Καὶ ἔτι ἡ τῶν πραγμάτων αἰσχύνη οὐδεμιᾶς ἐλάττων ζημίας τοῖς γε σώφροσιν.

18 (deest Mein.: Demosth. IV § 10 p. 43)

Ἐγὼ μὲν οἶμαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὸ τῶν πραγμάτων αἰσχύνην εἶναι.

19 (deest Mein.) *Θουκυδίδου* (I 84).

Πολεμικοί τε καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον γινόμεθα, τὸ μὲν ὅτι αἰδὼς σωφροσύνης πλεῖστον μετέχει, αἰσχύνης δὲ εὐψυχία.

---

iteratur flor. 74, 36 Mein. (*Ἡροδότου*). cf. Plut. rat. aud. p. 37 D coniug. praec. p. 139 C. Clemens Alex. paed. II 10, 100 p. 230 P. (schol. ad h. l. p. 444 Dind.)

1 *κιθῶνι* L Her.: *χιτῶνι* sed tres priores litt. in ras., ut adpareat veram formam deletam esse S *κιθόνη* M; *χιτῶνι* flor. 74 | *ἐκδύεται* L S M: *συνεκδύεται* flor. 74, Her. ‖ **2** ecl. cum lemm. hab. L S M (post ecl. 32, 8 Mein.), sine lemm. Br (post ecl. 32, 6 Mein.); pro lemmate nihil nisi *Ξενοφῶντος παι*^δ L, Xenophontis nom. om. S. leguntur verba in ampliore tmemate II 46, 22 p. 264, 2 Wachsm. (*Ξενοφῶντος Κύρου παιδείᾳ*), item infra flor. 44, 23 Mein. (*Ξενοφῶντος ἐκ τῆς Κύρου παιδείας*) ‖ **4** *ἀχρηστία* L | *ἀναισχυντία* sine articulo L S M Br et sic libri ecl. II p. 264 Wachsm. et flor. 44, 23: *ἡ ἀναισχυντία* Xen. ‖ **5** *αυτη δοκεῖ εἶναι μεγίστη* S M, ecl. II p. 264 flor. 44, 23 *αὕτη δο::εῖ εἶναι* (om. *μεγίστη*) L Br: *αὕτη μεγίστη δοκεῖ εἶναι* Xen. | *πάντα* om. L ‖ **7** ecl. cum lemm. hab. L (post ecl. 32, 9 Mein.), om. S M ‖ **8** *καὶ πρόσεσθ' ἡ ὕβρις καὶ ἔθ' ἡ τῶν πρ.* Demosth. | *οὐδὲ μιᾶς* L | *ἐλάττων* Demosth.: *ἐλάττω* L ‖ **9** *ζημίας* L Demosthenis S: *ζημία* Demosth. ‖ **10** ecl. hab. lemmate non iterato L, om. S M ‖ **11** *ἐγὼ μὲν γὰρ οἶμαι* Demosth. | *τὴν ὑπὸ τῶν πρ.* L: *τὴν ὑπὲρ τῶν πρ.* Demosth.; *τὴν τῶν πραγμάτων* ex schol. p. 150, 7 Blass comment. crit. p. XLII ‖ **13** ecl. cum lemm. hab. L, om. S M ‖ **14** *πολεμικοί τε* Thuc.: *πολέμιοί* (*π* rubr.) *τε* L. *τὲ* particulam cum superioribus cohaerere voluit Thucydides, cum insequenti *καὶ* gnomologus | *γιγνόμεθα* Thuc. ‖ **15** *τομὲν* L

CAPVT XXXIII.

ΠΕΡΙ ΣΙΓΗΣ.

1 *Καρκίνου* (fr. 7 p. 800 N.^{2}).
Πολλοῖς γὰρ ἀνθρώποισι φάρμακον κακῶν
σιγή, μάλιστα δ' ἐστὶ σώφρονος τρόπου.
1^a (deest Mein.: Soph. Ai. 293)
Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
2 *Μενάνδρου* (fab. inc. fr. 288 com. IV p. 294).
Οὐθὲν σιωπῆς ἔστι χρησιμώτερον.
3 *Σοφοκλέους Ἀλεάδαις* (fr. 78 N.^{2}).
Ὦ παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά.
4 *Χάρητος* (fr. 2 p. 826 N.^{2}).
Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν,

Caput XXXIII exstat in S M, eclogae non nullae in Br Mac. Chrys. titulum *περὶ σιγῆς* quem reposui offerunt Photius M Br Mac. (sed *σιωπῆς* superscr. Mac. m. rec. Br^2), *περὶ σιωπῆς* S Tr. p. 175, inde vulg. numerum addunt S M Mac., sed *κη'* S ‖ 3 ecl. cum lemm. hab. S M tamquam primam capitis, sine lemm. Br post ecl. 33, 3 ‖ 4 *Πολλῶν* recte Nauck | *κακῶν* S Br: *κακὸν* M ‖ 6 ecl. hab. Br post ecl. 33, 1 Mein., om. S M. iteratur cum versu qui apud Sophoclem praecedit infra flor. 85, 1 Mein. (*Σοφ. Αἴαντι*). nostrum habet Apostol. cent. V 78 a. aliorum testimonia, inter quos est Aristoteles polit. I 13, vide apud Lobeckium. cf. etiam Wachsmuth ad apophth. Vind. 173 ‖ 7 *γυναικὶ* Arist. ‖ 8 ecl. cum lemm. hab. S M (post ecl. 33, 1) Mac. Chrys. (tamquam capitis primam). legitur versus inter monostichos, vide Meyer *Vrbin. samml.* p. 442. v. *σιωπῆς εὐκαίρου χρησιμώτερον οὐδὲν* reperiuntur floril. Schenkel. (*Wien. stud.* XI p. 32) 112 ‖ 9 *οὐδὲν* Mac. ‖ 10 ecl. cum lemm. hab. S M (post ecl. 33, 2 Mein.) Br (tamquam capitis primam); *Ἀλεάδαις* Meineke: *αἰλέασι* M quod omittunt S Br. *Μενάνδρου ἡ παραίνεσις* Apostolius cent. XVIII 62 a, sed pendet a Tr. p. 175 ubi lemmate omisso adfertur tamquam altera Menandrea post ecl. 33, 2. hinc deceptus est Meineke com. IV p. 280. omisso poetae nom. legitur apud Plutarchum de garrulitate p. 502 E ‖ 11 *σιγὴ* M Br Plut.: *σιωπὴ* S ‖ 12 ecl. cum lemm. hab. S M. de Charete dubitans Crateti versus adsignat Bergk p. l.^{4} II p. 372. recepta ecloga est in corp. Par. 478 Elt. (*Χάρητος*). versus primus inter Menandri monosticha relatus est 80, cf. Meyer *Vrbin. samml.* p. 423 ‖ 13 *πανταχῇ* Men. mon.

ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει,
ἡ γλῶσσα σιγὴν καιρίαν κεκτημένη.

5 *Ἀθηνοδώρου* (Ps.-Plut. apophth. reg. et duc. p. 207 C).
Ἔστι καὶ τὸ σιγᾶν ἀκίνδυνον γέρας.

6 *Ἀμφιδος* (fab. inc. fr. 9 com. III p. 319).
Οὐκ ἔστι κρεῖττον τοῦ σιωπᾶν οὐδὲ ἕν.

7 *Φιλωνίδου* (com. II 1 p. 425).
Κρεῖττον σιωπᾶν ἐστιν ἢ λαλεῖν μάτην.

8 *Κλεάνθους.*

Σιωπῶντος τοῦ Κλεάνθους, ἐπεί τις ἔφη 'τί σιγᾷς; καὶ μὴν ἡδὺ τοῖς φίλοις ὁμιλεῖν', 'ἡδύ' ἔφη 'ἀλλ' ὅσῳ ἥδιον, τοσῷδε μᾶλλον αὐτοῦ τοῖς φίλοις παραχωρητέον'.

9 *Πλουτάρχου ἐκ τοῦ Πῶς ἔστιν ἀπὸ ἐχθρῶν ὠφεληθῆναι* (p. 90 B).

Ἄνευ δὲ τούτου τὴν περὶ τὴν γλῶτταν ἐγκράτειαν, οὐ

---

1 *ὃ καὶ* SM: *ὃ δὲ* corp. Par. *ὡς καὶ* ci. Nauck, *καὶ γὰρ* ego dubitanter ‖ 2 versum interpolatori tribuit F. G. Schmidt *krit. stud.* III p. 27. probabilior est sententia Buecheleri, qui plenius post *φέρει* distinguens proximae eclogae initium putat interceptum esse ‖ 3 ecl. cum lemm. hab. SM; de cod. Phot. vide Elteri diss. p. 50. poetae Cei esse versum testatur Aristides II p. 192, ubi schol. III p. 501: *τὸ δὲ σιωπῆς ἀκ. γ. ἐκ Σιμωνίδους ἐστὶ τοῦ Κίου* (Simonid. fr. 66 B.). lemma *Ἀθηνοδώρου* temeritatis eclogariae est exemplum memorabile. fontem erroris aperit Ps.-Plut. l. c. p. 207 C, ubi hoc versu usus Augustus dicitur Athenodorum apud se retinuisse: *καὶ κατέσχεν αὐτον ὅλον ἐνιαυτὸν εἰπὼν ὅτι ἐστὶ καὶ σιγῆς ἀκίνδυνον γέρας.* fere in proverbium abiit versus, respiciunt multi, quorum locos indicarunt Leutsch in Apostol. cent. VII 97 Bergk p. l.[4] III p. 418 ‖ 4 *τὸ* quo metrum destruitur rectius om. Plut. alii | *σιγῆς* S *σιγᾶν* M (et sic epigr. *1137 Kaib.), et fortasse · indicio articulus est *σιγᾶν* scripsisse gnomologum. *σιγᾶς* dederat poeta ‖ 5 ecl. cum lemm. hab. SM ‖ 6 *οὐδὲ ἕν* S: *οὐδέν* M ‖ 7 ecl. cum lemm. hab. SM. recurrit versus corp. Par. 678 Elt. (*Φιλονίδου* sic); Men. monost. 290. cf. monost. 484 ‖ 8 *κρεῖττον* SM monost. 290: *κρεῖσσον* corp. Par. ‖ 9 ecl. cum lemm. hab. SM ‖ 11 *ὅσῳ* SM: *ὅσον* Tr. p. 175, inde vulg. ‖ 12 *αὐτοῦ* M Tr.: *αὑτοῦ* S ‖ 13 ecl. lemmate compend. addito hab. M, om. S ‖ 15 *τούτου* tacite ex Plut. Gesn.[2], inde vulg.: *τοῦ* M | *τὴν περὶ τὴν* tacite Gesn.[2]: *τὴν περιττὴν* M; *τὴν περὶ* libri Plut. | *γλῶτταν* M Plut.; *γλῶσσαν* Gesn.[2], inde vulg.

μικρὸν ἀρετῆς μέρος οὖσαν, ὑπήκοον ἀεὶ τῷ λογισμῷ καὶ πειθήνιον ἔχειν * * *

10 *Ζήνωνος.*

Ζήνων Ἀντιγόνου πρέσβεις Ἀθήναζε πέμψαντος, κληθεὶς ὑπ' αὐτῶν σὺν ἄλλοις φιλοσόφοις ἐπὶ δεῖπνον, κἀκείνων παρὰ πότον σπευδόντων ἐπιδείκνυσθαι τὴν αὑτῶν ἕξιν, αὐτὸς ἐσίγα. τῶν δὲ πρέσβεων ζητούντων τί ἀπαγγείλωσι περὶ αὐτοῦ πρὸς Ἀντίγονον 'τοῦτ' αὐτό' ἔφη 'ὃ βλέπετε' δυσκρατέστατον γὰρ πάντων ὁ λόγος.

11 *Ξενοκράτους.*

Ξενοκράτης διαιρῶν ἕκαστον μέρος τῆς ἡμέρας εἰς πρᾶξίν τινα καὶ τῇ σιωπῇ μέρος ἀπένεμεν.

12 *Σιμωνίδου* (Plut. de tuenda sanit. p. 125 D).

Σιμωνίδης ἔλεγε μηδέποτε αὐτῷ μεταμελῆσαι σιγήσαντι, φθεγξαμένῳ δὲ πολλάκις.

---

1 *ἀεὶ* tacite ex Plut. Gesn.[2], inde vulg.: *δὴ* M ‖ 2 post *ἔχειν* lacunam signavi: *οὐκ ἔστιν* (*οὐκ ἔνεστιν* Hercher), *ἂν μή τις ἀσκήσει καὶ μελέτῃ καὶ φιλοπονίᾳ τὰ κάκιστα τῶν παθῶν, οἷόν ἐστιν ἡ ὀργή, κατεργάσηται* tacite ex Plut. supplevit Gesn.[2], inde vulg. ‖ 3 ecl. sine lemm. hab. S Br, addito lemm. M, sed post 1ª Br. cf. Plut. de garrul. p. 504 A Diog. Laert. VII 24 ‖ 4 *πέμψαντος*, sed *ψ* ex *π* ut videtur corr. M[1] ‖ 8 *τοῦτο* M Br | eclogae 10 solus Br subicit haec sine lemmate: *ξένοι βασιλέως ἐν συμποσίῳ φιλοφρονούμενοι Ζήνωνα προπιόντες αὐτῷ ἠρώτων ἡσυχίαν ἄγοντα 'περὶ σοῦ δὲ τί* (*δέ τι* cod.) *χρὴ λέγειν τῷ βασιλεῖ;' κἀκεῖνος 'ἄλλο μηδὲν ἢ ὅτι πρεσβύτης ἐστὶν* (*ἐστιν* sine acc. cod.) *ἐν Ἀθήναις παρὰ πότον σιωπᾶν δυνάμενος'* ex Plutarcho nimirum derivata. cf. Maxim. c. 20 p. 596 Combef. ‖ 10 ecl. hab. S M (post ecl. 33, 10) Br (post eclogam ad 33, 10 indicatam) Mac. Chrys. (post ecl. 33, 2). lemma recepi ex M, om. S Br Mac. recurrit corp. Par. 515 Elt. ('*Ξενοκράτους* exstabat, sed abluisse videtur cod. Par. 1168' Elter). cf. Laert. IV 11 ‖ 12 *τῇ* om. Mac. | *τὴν σιωπην* corp. Par. | *ἀπενέμε(ν)* libri Stob. *ἀπένειμεν* corp. Par. cf. Laert. *καὶ ὥραν μίαν, φασίν, ἀπένεμε σιωπῇ* ‖ 13 ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemm. M. recurrit Anton. I c. 73 p. 74 (*Σιμωνίδου*) Maxim. c. 20 p. 598 Combef. (male *Δημοσθ.* sed post Simonid.). cf. Plut. de garrul. p. 515 A de liberis educ. p. 10 F. temere Apollonio (cf. ecl. prox.) tribuit Kayser post Philostr. (Turici a. 1844) p. 56, unde idem error apud Hercherum ‖ 14 *ἔλεγε μηδέποτε αὐτῷ* S M Br Mac. Plut.: *μηδέποτε μὲν αὐτῷ ἔλεγε* Ant. *μηδέποτε ἑαυτῷ ἔλεγε* Max. | *αὑτῷ* pro *αὐτῷ*

13 *Ἀπολλώνιος τοῖς γνωρίμοις* (deest edit. Hercher.).

Πολλὴν ἐπιμέλειαν ποιεῖσθε περὶ τοῦ μὴ λέγειν ἃ μὴ δεῖ. παντελῶς γὰρ ἀπαιδεύτου τινός ἐστι τὸ μὴ δύνασθαι σιωπᾶν, ἀλλ' ἐκλαλεῖν τὰ μὴ καλῶς ἔχοντα.

14 *Διογένους.*

Διογένης πρὸς τὸν φιλόσοφον εἶναι φήσαντα, ἐρωτῶντα δὲ ἐριστικῶς 'κακόδαιμον' ἔφη 'τὸ βέλτιστον τῶν ἐν τῷ βίῳ τοῦ φιλοσόφου λυμαινόμενος τῷ λόγῳ φιλοσοφεῖν φῄς'.

15 *Θεοκρίτου.*

Θεόκριτος ἐρωτηθεὶς ὑπὸ ἀδολέσχου ὅπου αὐτὸν αὔριον ὄψοιτο, 'ὅπου' ἔφη 'ἐγὼ σὲ οὐκ ὄψομαι'.

16 (33, 17 Mein.) *Πλουτάρχου* (fr. XXXIV 1).

Περὶ τῆς καθ' Ὅμηρον ἐχεμυθίας διὰ τούτων σαφῶς δείκνυται. λέγει γάρ

Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητὴς
ἴσχεο μηδ' ἔθελ' οἶος ἐριζέμεναι βασιλῆι.

καὶ τοῦ Τηλεμάχου εἰπόντος

ἦ μάλα τις θεῶν ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν

ἐπιλαμβανόμενος ὁ πατὴρ ἔφη

σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ' ἐρέεινε·
αὕτη τοι δίκη ἐστὶ θεῶν οἳ Ὄλυμπον ἔχουσι.

τοῦτο ἐχσίγησιν οἱ Πυθαγορικοὶ καλοῦντες οὐδὲν ἀπεκρί-

---

tacite Meineke. post eclogam 12 praecepit ecl. 36, 25 (sine lemm.) Br 1 ecl. cum lemm. hab. SM; lemma compend. S. iteratur ecloga et lemma *Ἀπολλωνίου* corp. Par. 679 Elt. ‖ **2** *ποιεῖσθε* (ut coniecit Meineke v. IV p. LXIV) S: *ποιεῖσθαι* M Tr. p. 175 corp. Par. ‖ **4** *ἀλλ'* S: *ἀλλὰ* M corp. Par. ‖ **5** ecl. sine lemm. hab. S, addito lemm. M, om. A ‖ **7** *κακόδαιμον* (sine acc. M) *ἔφη* M Tr.: *κακόδαιμον ὢν ἔφη* S dittographia ut videtur, nisi praeoptes *κακοδαιμονῶν* cum Buechelero ‖ **10** ecl. sine lemm. hab. S, addito lemm. M; sine lemm. etiam Mac. Chrys. sed post ecl. 35, 1 ‖ **11** *ὅπου* M ‖ **13** ecl. cum lemm. hab. S post ecl. 15, Tr. p. 176 post ecl. 16 Mein. (inde vulg.), om. M A. ex parte concordat cum Ps.-Plut. vit. Hom. c. 149, vide Diels dox. p. 97 sqq. ‖ **14** *διὰ τούτων* compend. S: *διὰ τούτου* Tr., inde vulg. ‖ **15** Il. II 246 sq. ‖ **17** *βασιλῆι* S *βασιλεῦσιν* Hom. ‖ **19** Od. XIX 40 | *θεῶν* S *θεὸς* Hom. ‖ **21** Od. XIX 42 sq. ‖ **23** *ἐχσίγησιν* Gomperz *Wien. stud.* II p. 12 coll. Eustath. Od. XXIV 485 p. 1968, 25 opusc. p. 95, 18: *ἐξήγησιν* S

νοντο τοῖς περὶ θεῶν ὅ τι τύχοιεν ἰταμῶς καὶ εὐχερῶς ἐρωτῶσιν.

17 (33, 16 Mein.) *Δημοσθένους* (?).

Μὴ νομίσητέ με, ὦ Ἀθηναῖοι, ἀγνοεῖν, ὅτι ἀσφαλὲς τὸ σιγᾶν ἐστι.

CAPVT XXXIV.

ΠΕΡΙ ΤΟΥ ΕΥΚΑΙΡΩΣ ΛΕΓΕΙΝ.

1 *Διονυσίου* (fr. 6 p. 795 N.[2]).

Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε.

2 *Εὐριπίδου Ἀρχελάῳ* (fr. 253 N.[2]).

Ἁπλοῦς ὁ μῦθος, μὴ λέγ' εὖ· τὸ γὰρ λέγειν εὖ δεινόν ἐστιν, εἰ φέροι τινὰ βλάβην.

3 *Εὐριπίδου Αἰγέως* (fr. 5 N.[2]).

---

1 *τοῖς* (ut coniecit Wyttenbach) S: *τῶν* Tr., inde vulg. | *ὅ τι* Wyttenbach: *ὅτε* S | *εὐχερῶς* S: *δυσχερῶς* operarius ap. Gesn.[2] p. 214, inde vulg. ‖ 3 ecl. sine lemm. hab. S (post ecl. 17 Mein.), addito lemm. M Tr. (post ecl. 15), sed M omissa ecl. 17 Mein.; *δημοσθένουσ* M, *δίωνος* Tr., unde vulg. lemma *δίωνος* male huc retractum ex prima ecloga capitis proximi, ubi *δι*ͦ, i. e. *διονυσίου* S ‖ 4 *ω* cum θθ S *ὦ ἀθηναῖοι* Tr.: *ὦ θεοὶ* compendio male explicato M; malim *ὦ ἄνδρες Ἀθηναῖοι*, cf. p. 323, 16 adn.

Caput XXXIV est in SM, paucae eclogae in Br Mac. Chrys. titulum habent omnes sic ut Photius, numerum S M Mac., sed *κθ'* S. ab ecloga 14 rursus incipit A ‖ 8 ecl. cum lemm. hab. S M Mac., sine lemm. Br; *δι*ͦ S *διονυσίου* M Mac.: *Εὐριπίδου* (ex prox. ecl.) Tr., inde vulg. quam male secutus est etiam Meineke. iteratur versus et lemma *Διονυσίου* corp. Par. 682 Elt. relatus est inter Men. mon. 208, inter paroemias Mac. cent. IV 44, Greg. Cypr. Mosq. cent. III 61, prov. app. cent. III 7 ‖ 9 *κρεῖττον* S M Br corp. Par. et reliqui testes. quod in Stobaeo ferendum ‖ 10 ecl. cum lemm. hab. S M. iterat eclogam et lemma *Εὐριπίδ⟨ου⟩* corp. Par. 683 Elt. sine lemmate supra leguntur versus III 13, 9 ‖ 11 *μὴ λέγ' εὖ* quod coniectura reppererat Valckenaer diatr. p. 256 flor. 13 ut videtur: *μὴ λέγε* S M corp. Par. ‖ 12 *φέροι* SM corp. Par.: *φέρει* flor. 13 ut coniecit Cobet coll. crit. p. 203 ‖ 13 ecl. cum lemm. hab. SM; *ἔτ αυτ* pro *Εὐρ.* S

Εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά.

4 *Ἀντιφάνους* (fab. inc. fr. 46 com. III p. 149).

Οὐκ ἔστιν οὐδὲν λεγόμενον μακρῶς, ὅτε
ὁ λέγων ὑποτάττει τοῖς λόγοις τὰ πράγματα.

5 *Αἰσχύλου* (fr. 397 N.[2]).

Πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα.

6 *Ἐκ τοῦ Ἰσοκράτους πρὸς Δημόνικον* (§ 41 p. 11 b).

Δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν ἢ λέγειν.

7 *Πυθαγόρου.*

Ἔλεγεν ὁ Πυθαγόρας ʻχρὴ σιγᾶν ἢ κρείσσονα σιγῆς λέγειν᾽.

8 *Τοῦ αὐτοῦ.*

Ἢ σιγὴν καίριον ἢ λόγον ὠφέλιμον ἔχε.

9 *Σόλωνος.*

---

1 *καθέξεις* Porson adv. p. 274: *καθέξῃς* S M | *ἔσται* tacite ed. Wechel. p. 389: *ἔστι* S M ‖ 2 ecl. cum lemm. hab. S M; *ἀντιφ*^{α} perspicue S *ἀντιφάνουσ* M: *Ἀντιλόχου* Tr. ‖ 3. 4 *ὅτε ὁ* S *ὅτ᾽ ὁ* (sic) ex *ὅτε* ut videtur corr. M² ‖ 4 *ὑποτάττει* S: *ὑποτάττοι* M; *ὅταν Ὁ λ. ὑποτάττῃ* malit Meineke | *τοὺς λόγους τοῖς πράγμασιν* ci. Kock com. II p. 123. intellego *ὑποτάττει τοῖς λ. τὰ πράγματα* tamquam *κρηπῖδα* ‖ 5 ecl. cum lemm. hab. S M ‖ 7 ecl. hab. S M (post ecl. 34, 5) Br Mac. Chrys. (post ecl. 34, 1): *ἐκ τοῦ ἰσοκράτουσ πρὸς δημόνι* (with *ξ* above) M: *ἰσοκράτους* nec plura S Br Mac. iterat eclogam et lemma *Ἰσοκράτους* corp. Par. 684 Elt., eclogam Georgid. p. 25 (post Isocr.) ‖ 8 *ποιοῦ καιροὺς* S M Br Mac. corp. Par. Is. Georg.: *καιροὺς ποιοῦ* Tr., inde vulg. | *σαφῶς* om. Georgid. ‖ 10 *σιγῆς* S M Br Mac. corp. Par. Is. Georg.: *σιωπῆς* Tr., inde vulg. ‖ 12 ecl. cum lemm. hab. S, om. M. iterat eclogam et lemma corp. Par. 685 Elt. cf. mantiss. proverb. cent. III 46 (paroemiogr. gr. II p. 779); gnomol. Vatic. 459 ‖ 15 ecl. hab. S M; *τ̆ αυ*^{τ} (quod praetervidit Gaisford) S *πυθαγόρου* M. cf. floril. Schenkelii (*Wien. stud.* XI p. 20) 59: *Ἢ σιγὴν καίριον ἔχειν δεῖ ἢ λόγον ὠφέλιμον* ‖ 17 ecl. cum lemm. hab. S M. iteratur ecloga et lemma corp. Par. 687 Elt. eadem supra legitur III 1, 172 p. 114, 8, cf. Laert.

Σφραγίζου τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ.

10 *Αἰσχίνου* (C. Fr. Hermann. disput. de Aesch. Socrat. rel. p. 11).

Αἰσχίνης ὁ Σωκρατικὸς ἐπιπληχθείς, ὅτι Σωκράτει ἐσχολακὼς σιωπᾷ, ‘οὐ γὰρ μόνον’ εἶπε ‘λέγειν ἔμαθον παρὰ Σωκράτει, ἀλλὰ καὶ σιωπᾶν’.

11 *Πυθαγόρου.*

Αἱρετώτερόν σοι ἔστω λίθον εἰκῇ βάλλειν, ἢ λόγον ἀργόν.

12 *Εὐριπίδου ἐν Ἀνδρομέδᾳ* (fr. 126 N².).

Σιγᾶς· σιωπὴ δ' ἄπορος ἑρμηνεὺς λόγων.

13 *Θεόγνιδος* (625—626).

Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν,
καὶ σιγᾶν αἰεί· τοῦτο γὰρ οὐ δυνατόν.

14 *Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου* (c. 33).

Τάξον τινὰ ἤδη σεαυτῷ χαρακτῆρα καὶ τύπον, ὃν

I 58 *ἔφασκέ τε σφραγίζεσθαι τὸν μὲν λόγον σιγῇ, τὴν δὲ σιγὴν καιρῷ.* ceterum vide Brunco act. sem. philol. Erlang. III p. 339

1 *σραγίζου* M ‖ 2 ecl. hab. S M (post ecl. 34, 9) Mac. Chrys. (post ecl. 34, 6); lemma om. S Mac. cf. gnomol. Vat. 207 ‖ 7 ecl. cum lemm. hab. S M Maç. iteratur ecloga lemmate non denuo signato (post ecl. 34, 7) corp. Par. 686 Elt. cf. Sext. 152 Clit. 28 Elt.; Pyth. Vind. 7 (Syr. 7) Porphyr. ad Marc. 14; cod. Vind. 199 f. 188^{r}; gnomol. Byz. 141 p. 189 Wachsm. (Pal. 109 Bar. 176 Mon. 66 Leid. 65); flor. Laur. p. 241, 11 Mein., Nili sent. 2 p. 320 Or. et quae adnotarunt Elter Schenkl Wachsmuth ‖ 8 *βαλεῖν* (*βάλεῖν* Mac.) Mac. corp. Par. ‖ 10 ecl. hab. SM; *εὐρι*$^{\pi\delta}$ *ἐν ἀνδρομε*$^{\delta}$ S *εὐρ. ἐν ἀνδρομέδα* M quod recepi; *Εὐρ. Ἀνδρομέδας* temere Gaisford. fabularum series *Ἀρχελάῳ* (2) *Αἰγέως* (3) *ἐν Ἀνδρομέδᾳ* (12) indicium est alphabetici gnomologii manifestum ‖ 11 *λόγον* M ‖ 12 ecl. cum lemm. hab. S M. prior versus legitur poetae n. non addito Diogenian. cent. II 90, Gregor. Cypr. cent. I 86, Apostol. cent. IV 6; Suid. v. *ἀργαλέον* (vide Bergk ad Theogn. 625) ‖ 14 *αἰεὶ* Tr. et Theogn.: *ἀεὶ* S M ‖ 15 ecl. hab. S M A; *Ἐκ τοῦ Ἐπικτήτου ἐγχειριδίου* M: *Ἐκ τῶν Ἐπικτήτου* S, inde vulg., lemma cum eclogae verbis *Τάξον τινὰ* — 685, 5 *περὶ ἵππων* om. A ‖ 16 *σεαυτῷ* (-*τον* M) *χαρακτῆρα* S M: *χαρακτῆρα σαυτῷ* Arr.

φυλάξεις ἐπί τε σαυτοῦ ὢν καὶ ἀνθρώποις ἐντυγχάνων. σιωπὴ τὰ πολλὰ ἔστω ἢ λαλείσθω τὰ ἀναγκαῖα καὶ δι' ὀλίγων. σπανίως δέ ποτε καιροῦ καλοῦντος ἐπὶ τὸ λέγειν τι ἥξομεν, ἀλλὰ περὶ οὐδενὸς τῶν εἰκαίων, μὴ περὶ ἀθλητῶν ἢ μονομάχων ἢ περὶ ἵππων ἢ βρωμάτων ἢ πομάτων τῶν ἑκασταχοῦ, μὴ περὶ ἀνθρώπων ψέγοντα ἢ ἐπαινοῦντα ἢ συγκρίνοντα. λοιπὸν ἐκείνου ἔχου τοῦ μὴ καθιέναι εἰς ὁμιλίας ἰδιωτικάς, ἀλλὰ ἂν οἷός τε ᾖς, μέταγε τοὺς λόγους ἐπὶ τὸ προσῆκον· εἰ δὲ μή, ἀπόλειπε σιωπᾶν.

15 *Σόλωνος.*

Σόλων ἐρωτηθεὶς ὑπὸ Περιάνδρου παρὰ πότον, ἐπεὶ

---

1 ecl. cum lemm. hab. S M A; *σερίνου* S M A. cf. supra III 7, 69. a Sereni verbis prope abest Ps.-Plut. apophth. Lacon. p. 235 F | 2 *τῶ* M *τῷ* A: *το* S ‖ 3 *μέγαν βασιλέα* tacite Gesn.[2] p. 227 mrg: *μέγα βασιλέα* M A *πέρσην* S ‖ 4 *αὑτῷ* tacite Meineke: *αὐτῶ* S M A Ps.-Plut. | *καὶ πῶς ἄν, ἔφασαν, δυναίμεθα* Ps.-Plut. ‖ 7 ecl. sine lemm. hab. S, addito lemmate M A. eclogam et lemma *Ἀριστείδου*[ς] iterat corp. Par. 715 Elt. ‖ 10 *αὑτοῦ* tacite Meineke: *αὐτοῦ* libri ‖ 11 ecl. sine lemm. hab. S (post ecl. 39, 28) Br (post ecl. Aristophaneam quam exhibui infra p. 735, 2) Mac. Chrys. (post ecl. 39, 21), addito lemmate M A (post ecl. 39, 28); idem de Anacharside Galen. protr. 14, flor. Mon. 161, apophth. Vindob. 61, ubi vide reliqua testimonia ‖ 12 *σεριφος* Br | *ὑπο*[αθ] S | *την* (*τῆ* S *την* om. Mac.) *μικροπολιτείαν* S M A Br Mac.: *τῇ μικροπολιτείᾳ* Tr. p. 189, inde vulg. ‖ 15 ecl. sine lemm. hab. S, addito lemmate M A ‖ 19 ecl. cum lemm. hab. S M A; *Χρύσερμος* pinacographus Photii p. 62 Elt. ‖ 20 *περσικῶν* S M A: *Ἱστορικῶν* Plutarchi vulg.; fortasse hoc, non illud scripserat falsarius

λαβὼν ἔμελλε προδιδόναι τὴν Σπάρτην. τῶν δὲ ἐπιστολῶν μεσολαβηθεισῶν, Ἡγησίλαος ὁ πατὴρ τοῦ προειρημένου περὶ τῶν συμβεβηκότων ἀκούσας τὸν υἱὸν μέχρι τοῦ ναοῦ τῆς χαλκιοίκου συνεδίωξεν Ἀθηνᾶς, καὶ τὰς θύρας τοῦ τεμένους πλίνθοις ἐμφράξας μετὰ τῆς γυναικὸς τὴν εἴσοδον ἐφρούρησε καὶ λιμῷ τὸν προδότην ἀνεῖλεν, ὃν ἡ μήτηρ ἀείρασα ὑπὲρ τοὺς ὅρους ἔρριψεν.

32 *Δημαράτου ⟨ἐν⟩ β' Ἀρκαδικῶν* (ib. p. 309 C).

Τεγεατῶν πρὸς Φενεάτας πόλεμον ἐχόντων καὶ χρονίου τῆς παρατάξεως ὑπαρχούσης, συνεφώνησε τοῖς δήμοις τριδύμους ἀδελφοὺς πέμψαι τοὺς μαχησομένους ὑπὲρ τῆς νίκης. ἀρέσαντος δὲ τοῦ δόγματος ἔπεμψαν Τεγεᾶται μὲν τοὺς Ῥηξιμάχου παῖδας, Φενεᾶται δὲ τοὺς Δημοστράτου. συμβληθείσης δὲ τῆς παρατάξεως ἐφονεύθησαν ἐκ τῶν Ῥηξιμάχου δύο, ὁ δὲ τρίτος, τοὔνομα Κριτόλαος, στρατηγήματι τῶν ἀντιπάλων περιεγένετο· προσποιητὴν γὰρ σκηψάμενος φυγὴν καθ' ἕνα τῶν ἐπιδιωκόντων ἀνεῖλεν, καὶ ἐγκρατὴς γενόμενος τῆς νίκης περιχαρὴς

---

2 *Ἀγησίλαος* Plut.: *ἡγησίλαος* SMA *κλεόμβροτος* A² mrg; voluitne *ἡγησίλεως*? ‖ 6 *ἐφρούρησιν* S ‖ 7 *ἀείρασα* SMA: *ἄρασα* ci. Meineke ‖ 8 ecl. cum lemm. hab. SMA; *Δημάρατος* pinacographus Photii p. 59 Elt. | *ἐν* addidi ex Plut., ubique hac praepositione utitur impostor: vide Hercheri conspectum Plut. de fluv. praef. p. 20 | *ἀρκαδικῶν* MA Plut.: *ἀρκαδιακῶν* S ‖ 9 *ἴσως φενεάτας* A² mrg: *φανέας* S *φαινε* (superscr. *ά*) M *φαινεάς* A ‖ 12 *δόγματος* M: *δόγματος*, sed *ογ* in ras. (videtur *δόματος* fuisse) S *δόματος* A ‖ 13 *διὰ* pro *τοὺς* (ante *Ῥηξ.*) oscitanter Gesn.² p. 228, inde vulg. | *Φενεάται* (debebat *Φενεᾶται*) tacite ex Plut. Gesn.², inde vulg.: *φαινεάται* SM; *φαινεάται* (superscr. *ε*) corr. A² | *τοὺς* Plut.: *τοῦ* SM *τοῦ* (superscr. *ὺς*) corr. A² ‖ 14 *δὲ* MA: om. S; *οὖν* proprio Marte suppleverat Gesn.¹ p. 232, inde vulg. | *ἐφονεύθησαν* SM Plut.: *ἐφόνευσαν* A¹ ‖ 15 *ἐνξιμάχου* M¹, *ῥη* superscr. deleta *ν* litt. M² ‖ 16 *στρατηγημάτων* (pro *στρατηγήματι τῶν*) A¹, corr. A² ‖ 17 *σκηψάμενος* A² Plut.: *σκεψάμενος* SMA; vide Hercheri in Plut. de fluv. praef. § 1 n. 48 | *τοὺς ἐπιδιώκοντας* mavult Hirschig misc. philol. p. 190 auctorem correcturus Stobaei, nam *κατὰ ἕνα τῶν διωκόντων ἀνεῖλε* etiam Plut. ‖ 18 *ἀνεῖλεν* SM | *καὶ*] *ὃς καὶ* (sed *ὃς* inducitur) A

πρὸς τοὺς οἰκείους ἔδραμε· πάντων δ' αὐτῷ περιπλοκὰς συμπαθεῖς διδόντων, οὐ συνεχάρη μόνη τῷ προειρημένῳ ἡ ἀδελφὴ Δημοδίκη· πεφονεύκει γὰρ αὐτῆς τὸν κατηγγυημένον ἄνδρα Δημόδικον. ἀναξιοπαθήσας δὲ ἐπὶ τούτοις ὁ νέος τὴν παρθένον ἀπέκτεινε, καὶ ὑπὸ τῆς μητρὸς φόνου κριθεὶς ἀπελύθη τοῦ ἐγκλήματος.

33 *Δημαράτου ἐν τρίτῳ Τραγῳδουμένων* (Plut. parall. min. p. 310 D).

Ἀθηναίων πρὸς Εὔμολπον τὸν Θρᾳκῶν βασιλέα πόλεμον ἐχόντων, Ἐρεχθεὺς ὁ τῆς Ἀττικῆς προϊστάμενος χρησμὸν ἔλαβεν, ὅτι νικήσει τοὺς ἐχθρούς, ἐὰν τὴν πρεσβυτάτην τῶν θυγατέρων Περσεφόνῃ θύσῃ. παραγενόμενος [ὁ] δ' εἰς Ἀθήνας Πραξιθέᾳ τῇ γυναικὶ τὴν πυθόχρηστον μαντείαν ἀπήγγειλεν· εἶθ' οὕτω τὴν κόρην προσαγαγὼν τοῖς βωμοῖς ἀνεῖλεν, καὶ συμβαλὼν τὸν πόλεμον ἐγκρατὴς ἐγένετο τῆς νίκης.

34 *Ἱεροκλέους ἐκ τοῦ Πῶς πατρίδι χρηστέον.*

---

2 *μόνη*] *μόν͂* S ‖ 3 *δημονίκη* in *δημοδίκη* corr. A[1] | *κατεγγιτημένον* (η supra), corr. A[1] ‖ 5 *ἀπέκτεινε* ci. Gesn.[2] p. 228 mrg, quod recepi, nam *ἀνεῖλεν* Plut.: *ἀποκτεῖναι* S M A; *ἀποκτείνει* suadente Hirschigio scr. Meineke | *μητρὸς*] *μὴ πρὸς* A, corr. A[1] ‖ 6 *κριθεὶς* ex *κληθεὶς* corr. S[1] | *ἀπελύθη* S A Plut.: *ἀπέλθη* M ‖ 7 ecl. cum lemm. hab. S M A: *τραγῳδουμένου* ni fallor M. *Δημάρατος ἐν πρώτῃ Τραγῳδουμένων* Clemens Alex. protrept. c. 37 P., qui eodem hoc parallelorum capite usus est, unde *ἐν πρώτῳ* Stobaeo reddi vult Gaisford Stob. Ecl. II p. 848. de parallelorum vulgata vide quae disseruit Hercher Plut. de fluv. praef. p. 18 ‖ 9 *τὸν θρακῶν* M A: *τῶν θρακῶν* S ‖ 11 *τὴν* S M A: *μὲν* oscitanter Gesn.[2] p. 228, inde vulg. ‖ 12 *περσεφόνη* (i. e. *περσεφόνῃ* ut ci. Hemsterhuis Anecd. p. 265) M: *περσεφόνην* S A, sed videtur ex dativo correxisse A[2]; *τῇ Φερρεφάττῃ* Clem. | *παραγενόμενος* S M A[1]: *περιγενόμενος* Tr. p. 190, *παραγενόμενος* (ερι supra) A[2] (sed deleta sunt) ‖ 13 *ὁ δ'* S M A: *δ'* tacite Gesn.[2] distinctione post *παραγενόμενος* sublata, inde vulg. | *Πραξιθέᾳ* Plut.: *θρασιθέα* S, sine acc. M, *φρασιθέᾳ* A | *πυθόχρηστον* M A: *πυθόχριστον* S ‖ 14 *οὕτωσ* M ‖ 15 *τοῖς πολεμίοις* pro *τὸν πόλεμον* Hirschig l. s. s. p. 190: tu vide Hercheri praef. Plut. de fluv. § 1 n. 51 | *ἀνεῖλεν* S M ‖ 17 ecl. cum lemm. hab. S M A (post ecl. 39, 33) Br (post ecl. 39, 29); *ἐκ τοῦ — χρηστέον* om. S Br

Μετὰ τὸν περὶ θεῶν λόγον εὐλογώτατόν ἐστιν ὑποθέσθαι πῶς πατρίδι χρηστέον. ἔστι γὰρ ὡσανεὶ δεύτερός τις θεὸς αὕτη ⟨ἢ⟩ νὴ Δία πρῶτος καὶ μείζων γονεύς· παρ' ὃ δὴ καὶ ὁ τοὔνομα τῷ πράγματι θέμενος οὐκ ἀνεντρεχὲς ἔθετο, παρασχηματίσας μὲν τῷ πατρί, θηλυκῶς δ' ἐξενεγκών, ἵν' οἷον μῖγμα τυγχάνοι τῆς τε τοῦ πατρὸς καὶ τῆς μητρῴας... καὶ δὴ οὗτος μὲν ὁ λόγος ὑπαγορεύει πατρίδα τιμᾶν ἐπίσης τοῖς δυσὶ γονεῦσι τὴν μίαν, ὥστε θατέρου μὲν τῶν γειναμένων ὁποτερουοῦν καὶ δὴ προκρίνειν τὴν πατρίδα, προτιμᾶν δ' αὐτῆς μηδ' ἅμα τοὺς δύο, δι' ἴσης δὲ μοίρας ἄγειν. ἀλλ' ἕτερος αὖ λόγος ἐστίν, ὃς παρακαλεῖ καὶ προτιμᾶν αὐτὴν τῶν γονέων ἅμα τοῖν δυεῖν, καὶ οὔ τοι μόνον τούτων, ἀλλὰ καὶ γυναικὸς σὺν αὐτοῖς καὶ τέκνων καὶ φίλων καὶ ἁπαξαπλῶς μετὰ θεοὺς τῶν ἄλλων ἁπάντων.

35 *Ἐν ταὐτῷ.*

---

2 *πῶσσ* M | *ἔστιν* M ‖ 3 *⟨ἢ⟩ πρῶτος* coniecit Meineke, praefert *αὕτη ⟨ἢ⟩ νὴ Δία πρῶτος* Wachsmuth | *μείζων* MA Br: *μείζω* S ‖ 4 *τῷ πράγματι* (*πραγμ.* sine acc. M) *θέμενος* MABr: *τὸ πρᾶγμα τιθέμενος* S Tr.; *τῷ πράγματι τιθέμενος* tacite Gesn.[2] p. 228, inde vulg. | *ἀνεντρεχὲς* tacite Gesn.[1] p. 232, inde vulg.: *ἂν* (*ἀν* S) *ἐντρεχὲς* S M A Br ‖ 6 *τυγχάνοι* SMBr: *τυγχάνῃ* A | *τῆς τε τοῦ πατρὸς καὶ τῆς μητρῴας* (*μοίρας* supplet Buecheler) SM: *τοῦ τε πατρὸς καὶ τῆς μητρός* codice A duce Meineke et sic Br *τῆς τοῦ τε* (sed *τε* supra lin. A[2] rursusque delevit) *πατρὸς καὶ τῆς μητρῴας* A sed quod fugit Gaisfordum, in textu supra lin. *μρὸς* m. rec., nunc fere evanida A *ἴσως τοῦ τε πρς καὶ τῆς μητρός· ἢ τῆς τε πατρῴας καὶ τῆς μητρῴας* A[2] mrg ‖ 8 *δυσὶ* S M A: *δισσοῖς* (e corr. ut videtur Paulo Thomas) Br ‖ 9 *θατέρου* tacite Gesn.[2] p. 228, inde vulg., idque praebere videtur Br: *θατέρους* SMA | *γειναμένων* Bentley: *γινομένων* SMA Br (sic); *γονέων* scripsit Meineke | *ὁποτέρου οὖν* S M | *δὴ* S M Br: *δεῖ* tacite Gesn.[2], inde vulg., idque ipsum exstare videtur in A | *προκρίνειν* M A Br: *προκρίνων* compend. S ‖ 10 *δὲ αὐτῆς* A | *μηδ' ἅμα* fere libri nisi quod *μηδαμοῦ* Br, qui voluit fortasse *μηδ' ὁμοῦ* ‖ 13 *ἅμα* proposuit Gesn.[1] p. 232 mrg idque est in Br: *ἀλλὰ* S M A | *τοῖν δυεῖν* Br: *τῶν δυεῖν* S *τῶν δυοῖν* M A; *τοῖν δυοῖν* Gaisford | *οὔτοι* A Br: *οὔτοι* ex *οὗτοι* corr. S[1] *οὗτοι* M Tr. | *μόνον* A Br idemque voluit S: *μόνων* ex *μόνον* corr. M[1] *μόνων* Tr. ‖ 14 *σὺν αὐτοῖς* SA: *συνατοῖσ* M, om. Br ‖ 16 ecl. cum lemm. hab. SMA (post ecl. 39, 34) Mac. Chrys. (post ecl. 39, 29); *Ἱεροκλέους* pro lemm. Mac.

[redacted]

Ὥσπερ οὖν ἀνόητος μὲν ὁ τῶν πέντε δακτύλων τὸν ἕνα προκρίνων, εὐλόγιστος δὲ ὁ τοὺς πέντε τοῦ ἑνός· ὁ μὲν γὰρ ἀτιμάζει καὶ τὸν προκεκριμένον, ὁ δ' ἐν τοῖς πέντε καὶ τὸν ἕνα περισῴζει· τοῦτον δ' αὖ τὸν τρόπον καὶ ὁ μὲν ἑαυτὸν τῆς πατρίδος πλέον σῴζειν βουλόμενος πρὸς τῷ δρᾶν ἀθέμιτα καὶ ἄλλως ἀνόητος ἱμείρων ἀδυνάτων, ὁ δὲ ἑαυτοῦ προτιμῶν τὴν πατρίδα θεοφιλής τε καὶ τοῖς λογισμοῖς ἀραρώς. εἴρηται δ' ὅμως, ὡς κἂν εἰ μὴ συναριθμοῖτό τις τῷ συστήματι, κατ' ἰδίαν δ' ἐξετάζοιτο, καθήκειν τῆς ἑαυτοῦ σωτηρίας τὴν τοῦ συστήματος προκρίνειν, ὅτι τὴν ὡς πολίτου σωτηρίαν ἀνύπαρκτον ἀπέφαινεν ἡ τῆς πόλεως ἀπώλεια, καθάπερ καὶ τὴν ὡς δακτύλου, ὡς μέρους χειρός, ἡ τῆς χειρὸς ἀναίρεσις. καὶ δὴ κατὰ τούτων ἡμῖν συγκεκεφαλαιώσθω, διότι χρὴ τὸ κοινῇ συμφέρον τοῦ ἰδίᾳ μὴ χωρίζειν, ἀλλ' ἓν ἡγεῖσθαι καὶ ταὐτόν· τό τε γὰρ τῇ πατρίδι συμφέρον κοινόν ἐστι καὶ τῶν κατὰ μέρος ἑκάστῳ, τὸ γὰρ ὅλον δίχα τῶν μερῶν ἐστιν οὐδέν, τό τε τῷ πολίτῃ συμφέρον προσήκει

---

1 *πέντε*] *ε̅* hic et infra A ‖ 2 *εὐλόγιστος* SM: *ἀλόγιστος* A¹ Mac. *εὔλογος* supra lin. A² ‖ 3 *τὸν προκεκριμένον* Buecheler: *τὸ* (*τὸν* A¹) *προκείμενον* SMA Mac.; *τὸν προκρινόμενον* Bentley | *ὁ δ'* SA Mac.: *οὐ δ'* M ‖ 4 *δ' αὐτὸν* Mac. ‖ 6 *πρὸς τῶ* S² Tr.: *πρὸς τὸ* S¹MA | *ἀθέμιστα* ante ras. A ‖ 8 v. *εἴρηται δ' ὅμως* usque ad fin. om. Mac. | *δ' ὅλως* Buecheler, *δ' οὕτως* ego malim ‖ 9 *συναριθμώη* SMA: corr. Buecheler; *συναριθμοίη* tacite Gesn.² p. 229 | *τις* vel *τὶς* SA: *τί* M | *δὲ* SM | *ἐξετάζοιτο* libri; *ἐξετάζοι* Hirschig ‖ 10 *καθήκειν* SMA; *καθήκοι* ci. Meineke | *τὴν* A sed *ὴν* denuo superscr. A² ‖ 11 *τὴν ἑνὸς πολίτου* Hirschig. tu vide Halm lect. Stob. p. 19 ‖ 12 *τὴν ὡς δακτύλου* SMA: *τὴν τοῦ ἑνὸς δακτύλου* tacite Gesn.² p. 229, inde vulg. non recte hanc recepisse Gaisfordum et Meinekium docuit Halm l. c. ‖ 13 *μέρους* SM: *μέρος* A ‖ 14 *συγκεκεφαλαιώσθω* M *συγκεφαλαιώσθω* (*κε* superscr.) S corr. S¹: *συγκεφαλαιώσθω* A Tr. p. 191, inde vulg.; *συγκεφαλαιούσθω* ci. Halm ‖ 15 *κοινῇ* Halm: *κοινὸν ἢ* SMA sed *ἢ* puncto subducto del. A | *ἰδία* (voluit *ἰδίᾳ*) *μὴ* tacite Gesn.¹ p. 232, inde vulg.: *μὴ ἰδία* SM *μὴ ἰδία* (*μὴ* superscr.) A corr. A² ‖ 18 *τό τε τῶ* MA: *τό τε το* (sic), corr. S¹ neque tamen *ο* delevit *τό τε τὸ* Tr.

καὶ τῇ πόλει, ἐάν γε ὡς πολίτῃ συμφέρον λαμβάνηται. καὶ γὰρ ⟨τὸ⟩ τῷ χορευτῇ ὡς χορευτῇ λυσιτελὲς καὶ τῷ ὅλῳ χορῷ κερδαλέον ἂν εἴη. τοῦτον οὖν τὸν λόγον ἐνθέμενοι πάντα ταῖς διανοίαις πολὺ φῶς ἕξομεν ἐν τοῖς κατὰ μέρος, ὥστε ἐν μηδενὶ παραλιπεῖν καιρῷ τὸ πρὸς τὴν πατρίδα καθῆκον.

36 Ἐν ταὐτῷ.

Ὧν οὕνεκα φημὶ δεῖν ἀποικονομεῖσθαι πᾶν καὶ πάθος καὶ νόσημα τῆς ἑαυτοῦ ψυχῆς τὸν πατρίδι χρησόμενον καλῶς. δεῖ δὲ καὶ τοὺς νόμους τῆς πατρίδος καθάπερ τινὰς θεοὺς δευτέρους συντηρεῖν αὐτόν τε βιοῦντα κατὰ τὴν τούτων ὑφήγησιν, κἂν εἰ παραβαίνειν τις αὐτοὺς ἢ νεοχμοῦν ἐπιχειροίη σπουδῇ πάσῃ κωλύοντα καὶ πάντα τρόπον ἐναντιούμενον. οὐ γὰρ ἀγαθὸν ἐπιτήδευμα πόλει δι᾽ ἀτιμίας ἀγόμενοι νόμοι καὶ τὰ νέα προκρινόμενα τῶν παλαιῶν. ὅθεν καὶ τῶν ψηφισμάτων καὶ τῆς παραθέρμου ταύτης καινουργίας εἰρκτέον τοὺς αὐθαδέστερον ἐπὶ τοῦτ᾽ ἰόντας. ἀποδέχομαι δ᾽ οὖν ἔγωγε καὶ τὸν τῶν Λοκρῶν νομοθέτην Ζάλευκον, ὃς ἐνομοθέτησε τὸν καινὸν εἰσοίσοντα νόμον βρόχου περικειμένου τῷ τραχήλῳ τοῦτο ποιεῖν, ὡς ἀκαρὴς οἴχοιτο πνιγείς, εἰ μὴ μάλα

---

1 ὡς πολίτῃ συμφέρον M A ὡς ʺσυμφέρον ʹπολίτη S: ὡς συμφέρον πολίτῃ Tr., inde vulg. ‖ 2 τὸ τῷ scripsi: τῶ S M A; τὸ tacite Gesn.[1] p. 232, inde vulg. ‖ 7 ecl. cum lemm. hab. SMA ‖ 8 ὧν οὕνεκα (vel οὔνεκα) S M: ὧν οὖν ἕνεκα A | ἀποικονομεῖσθαι S M: ἀποκομεῖσθαι A; ἀποικοδομεῖσθαι ci. Gesn.[1] p. 232 mrg ‖ 11 τε βιοῦντα Badham: τελειοῦντα SMA τελειότητα Tr. ‖ 12 τούτων tacite Gesn.[2] p. 229, inde vulg.: τούτου S M A | εἰ SMA; ἢ male Needham et Gaisford ‖ 13 ἐπιχειροίη Bentley: ἐπιχειρῶν S ἐπειχειρῶν M ἐπιχειρώη A ‖ 15 προκρινόμενα Bentley: ἀποκρινόμενα S M A ‖ 16 παραθερμοῦ M | 17 καινουργίας S M A: κακουργίας operarius Gesn.[2] p. 229, inde vulg. | εἰρκτέον tacite Gesn.[1] p. 234, inde vulg.: εἰκτέον S M A ‖ 18 δ᾽ οὖν S M: γοῦν A | τὸν S A: τὸ M ‖ 19 ζάλευκον Tr. p. 191, inde vulg.: ζάλευκρον S M A[1] | καινὸν tacite Gesn.[1], inde vulg.: κοινον S M κοινόν (αι supra) A, corr. A[2] consulta opinor Gesneri editione ‖ 21 ἀκαρὴς S A ἀκάρησ in ἀκαρὴς corr. M[1] ὁ καρὴς Tr.; ἀναρὴς operarius Gesn.[2] p. 229, inde vulg.

σφόδρα λυσιτελῶς τῷ κοινῷ παραδιατάττοιτο τὴν ἐξ ἀρχῆς τῆς πολιτείας κατάστασιν. οὐδὲν δ' ἧττον τῶν νόμων καὶ τὰ ἔθη φυλακτέον τά γε ὄντως πάτρια καὶ τάχα που πρεσβύτερα καὶ τῶν νόμων αὐτῶν· ἐπεὶ τά τε χθιζὰ ταῦτα καὶ πρωιζά, τὰ νῦν εἰς ἅπασαν εἰσηγμένα πόλιν οὔτε πάτρια ἡγητέον καὶ τάχ' οὐδὲ ἔθη τὸ σύνολον. εἶτα τὸ μὲν ἔθος ἄγραφός τις εἶναι βούλεται νόμος, καλὸν ἐπιγεγραμμένος νομοθέτην, τὴν τῶν χρωμένων ἁπάντων εὐαρέστησιν, ἴσως δέ που καὶ τοῖς φύσει δικαίοις ἐγγὺς βάλλων.

CAPVT XL.

ΠΕΡΙ ΞΕΝΗΣ.

1 *Εὐριπίδου Φιλοκτήτῃ* (fr. 798 N.[2]).

Πατρὶς καλῶς πράσσουσα τὸν † εὐτυχοῦντ' ἀεὶ
μείζω τίθησι, δυστυχοῦσα δ' ἀσθενῆ.

2 *Τοῦ αὐτοῦ Φαέθοντι* (fr. 777 N.[2]).

---

1 *καινῷ* Gesn.[1], inde vulg. | *παραδιατάττοιτο* libri (etiam Tr.) nisi quod *παραδιαττάτοιτο* S: *παραδιαλλάττοιτο* Bentley ‖ 2 ante *κατάστασιν* add. *σου* sed postea del. A[1] | *τῶν νόμων καὶ* SM: *καὶ τῶν νόμων* A ‖ 3 *ἔθνη* A[1] ‖ 4 *ἐπεὶ* Meineke: *εἰ* SMA | *τά γε* Meineke ‖ 5 *πρωιζὰ* A: *προϊζὰ* M Tr.; de S silet Mekler. utitur Hierocles Homericis Il. II 303 | *τὰ νῦν* male seclusit Meineke ‖ 6 *εἴ γε* aut *εἴπερ* ('an *εἶτα* excerptoris nota est?') Buecheler ‖ 9 *ἴκταρ βάλλων* proponit Cobet mnemos. IX p. 103 quod expulsum putat interpretamento *ἐγγύς*

Caput XL exhibent SMAL, paucas eclogas etiam Br, pauciores Mac. Chrys. inscriptio cum Photio congrua legitur in SMA Br Mac., numerus in MA Mac., *λδ'* in S. de eclogarum ordine vide ad cap. XLII ‖ 13 ecl. cum lemm. hab. SMA, sine lemmate L. in vetustiore gnomologio haec et proxima (*Εὐρ. Φ-*) fortasse conexae erant cum 39, 1—4 aut 5—10 ‖ 14 *πράττουσα* A | *εὐτυχοῦντ'* SMAL: *τυχόντ'* Matthiae quod recepit Nauck, *κρατοῦντ'* Madvig Philol. I p. 675 ‖ 15 *δυστυχοῦσα* cod. Par. 1985 teste Gaisfordo, recte emendans: *δυστυχοῦντα* SMAL ‖ 16 ecl. sine lemm. cum versibus praegressis coniungit L, addito lemm. *τοῦ αὐτοῦ* (*εὐρ.* M) *φαέθοντι* hab. SMA; eandem in cap. 39 collocat post ecl. 39, 13 (addito lemm. *εὐριπίδ*) Br. recurrit versus sine lemm. flor. Mon. 146 (flor. Leid. 139 in Philol. VI p. 578)

Ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.

2[a] (deest Mein.) Ἀριστοφάνους.

Πατρὶς δὲ πᾶσα τῷ πένητι προσφιλής,
ἀφ' ἧς τροφήν τε καὶ τὸ μὴ πεινῆν ἔχει.

3. 4 Ἐκ τῶν Πλουτάρχου Περὶ φυγῆς (p. 600 F. 601 C. 601 F. 602 B. 605 A—B).

Ὅθεν εὖ μὲν ὁ Ἡρακλῆς εἶπεν ἐρωτηθεὶς
Ἀργεῖος, ἢ Θηβαῖος; οὐ γὰρ εὔχομαι
μιᾶς· ἅπας μοι πύργος Ἑλλήνων πατρίς.

ἀλλ' ἡμεῖς, ὥσπερ μύρμηκες ἢ μέλιτται μυρμηκιᾶς μιᾶς ἢ κυψέλης ἐκπεσόντες, ἀδημονοῦμεν ⟨καὶ ξενοπαθοῦμεν⟩, οὐκ εἰδότες οὐδὲ μεμαθηκότες οἰκεῖα τὰ πάντα ποιεῖσθαι, καὶ νομίζειν ὥσπερ ἐστίν. εἶτα· ἐὰν ἀμφιγνοῶμεν ἐπὶ ξένης γενόμενοι τὴν γῆν, τὴν θάλατταν, τὸν ἀέρα, τὸν οὐρανόν, ὡς

---

1 γε om. M ‖ 2 ecl. cum lemm. hab. Br post ecl. praecedentem (ubi vide): om. S M A L. edidi eclogam, quod fugit Kockium, de Stob. flor. exc. Br. p. 35 ubi veri simile esse monui locum licenter in Br ex hoc capite retractum esse in antecedens. lemma num recte se habeat potest dubitari. an vicina olim fuit Aristophanis ecloga Plut. 1151 πατρὶς γάρ ἐστι πᾶσ' ἵν' ἂν πράττῃ τις εὖ? cf. Nauck tr. gr. fr.[2] p. 899 ‖ 5 ecl. hab. S M A L Br; integrum lemma S M A (ἐκ τῶν S Tr. p. 192, inde A[2], ἐκ τοῦ M A[1]), Πλουτάρχου (compend. L) nec plura L Br. de Mac. Chrys. vide p. 737, 3 adn. ‖ 7 Ὅ in ὅθεν om. rubr. addendum L ‖ 8. 9 trag. fr. adesp. 392 N.[2] cf. Duemmler Antisth. p. 68 ‖ 8 ἢ L Br Plut.: εἰ ἢ S M εἴη A[1] εἰ A[2], εἰ deleto ἢ corr. m. ab utraque diversa ‖ 9 πύργος] ύ in ῦ corr. M[2], ut πῦργος hab. L ‖ 10 ἀλλ' ἡμεῖς κτἑ. sine maiore distinctione vel rubrica cum prioribus cohaerent in S M A L Br, separaverat Gesn.[1] p. 235, inde vulg. libri Plutarchei diversis pannis consutis unam esse hanc eclogam qualemcunque voluit excerptor | ἡμεῖς ὥσπερ] ὥσπερ ἡμεῖς A[1], corr. A[2] | μυρμικιᾶς S ‖ 11 κυψέλλης L M | καὶ ξενοπαθοῦμεν tacite ex Plut. addidit Gesn.[1], inde vulg.: om. S M A L Br ‖ 12 οὐδὲ μεμ. om. Plut. | τὰ om. Plut. ‖ 13 post ἐστίν v. καίτοι γελῶμεν τὴν ἀβελτερίαν τοῦ φάσκοντος ἐν Ἀθήναις βελτίονα σελήνην (debuit σελήνην εἶναι) τῆς ἐν Κορίνθῳ· τρόπον τινὰ τὸ αὐτὸ πάσχοντες tacite ex Plut. supplevit Gesn.[1], inde vulg. sed ipsum illud εἶτα, quo excerptor utitur, non Plutarchus, Gesnerianae rationi obstare censeo cum amicis ‖ 13 εἶτα ἐὰν S M A L Br; ὅταν ex Plut. Gesn.[1], inde vulg. | ξένης] ξένοις A[1] ‖ 14 τὴν post γῆν om. S M A[1] L: habet Plut. suppl. Tr. A[2] Br | θάλασσαν S | τὸν ἀέρα iterat L

[redacted]

ἕτερα καὶ διαφέροντα τῶν συνήθων. ἡ μὲν γὰρ φύσις ἐλευθέρους ἡμᾶς καὶ λελυμένους ἀφίησιν, αὐτοὶ δὲ ἡμεῖς συνδέομεν ἑαυτοὺς στενοχωροῦμεν ... πλοῦτον δὲ ἀποβαλόντα ῥᾳδίως καὶ ταχέως οὐκ ἔστιν ἄλλον συναγαγεῖν· πατρὶς δὲ γίνεται πᾶσα πόλις εὐθὺς ἀνθρώπῳ χρῆσθαι μεμαθηκότι· ἂν γὰρ σκοπῇς ἄνευ κενῆς δόξης τὴν ἀλήθειαν, ὁ μίαν πόλιν ἔχων, ξένος ἐστὶ τῶν ἄλλων ἁπασῶν καὶ ἀλλότριος. Ἀριστοτέλης ἦν ἐκ Σταγείρων, Θεόφραστος ἐξ Ἐρέσου, Στράτων ἐκ Λαμψάκου, Γλαύκων [δὲ] ἐκ Τρωάδος, Ἀρίστων ἐκ Κέω. τίς οὖν τούτους ἐδίωξεν; οὐδείς, ἀλλ' αὐτοὶ διώκοντες ἡσυχίαν καὶ σπουδήν, ἧς

2 *συνδέομεν ἑαυτοὺς στενοχωροῦμεν* S M A L: *συνδέομεν ἑ. καὶ στενοχ.* Br ex em., ut etiam Gesn.[1] p. 234, inde vulg.; *συνδέομεν ἑαυτούς, στενοχωροῦμεν, ἐγκατοικοδομοῦμεν, εἰς μικρὰ καὶ γλίσχρα συνελαύνομεν* Plut. cum etiam in proximis haud pauca resecuerit (p. 601D—E) gnomologus, in Stobaeo nihil suppleverim nisi quod suadet homoeoteleuton aeque atque asyndeton: *συνδέομεν ἑαυτοὺς στενοχωροῦμεν ⟨ἐγκατοικοδομοῦμεν⟩* ‖ 3 *δὲ* reposui ex M A L Br: *μὲν γὰρ* Plut; *γὰρ* temere Gesn.[1], inde vulg. *δὲ* gnomologus recisis eis quae apud Plut. antecedunt | *ἀποβαλόντα* Br: *ἀποβάλλοντα* S L Plut., *ἀποβάλλονται* M *ἀποβάλλονται* (ï s. l.) A[1] ‖ 4 *ῥᾳδίως — οὐκ ἔστιν*] *ῥᾳδίως οὐκ ἔστι καὶ ταχέως* Plut. | *καὶ ταχέως* om. Br | *ἄλλο* (ν s. l.) A[2] | post *ἄλλον* add. *ταχέως* Br, ex Plut. ut videtur ‖ 5 *χρῆσθαι*] *χρῆμα* L | inter *μεμαθηκότι* et *ἂν γὰρ σκ.* praetermisit florilegus quae leguntur Plut. p. 602F—603B, idem multo etiam plura transsiluit quae *ἀλλότριος* inter et *Ἀριστοτέλης* habet Plut. p. 602B—605A ‖ 8 *ταγείρων* M | post *Θεόφραστος δὲ* add. L ‖ 9 *Ἐρέσου* Plut.: *ἐρεσίου* S M A L Br | *Στράτων*] *στράτωρ* A | *γλαύκων* L S M A Br, quod in Stobaeo retinendum, nam *Γλύκων* libri Plut. verum esse *Λύκων* vel ex temporum ratione qua enumerantur peripatetici manifestum | *δὲ* quod ignorat Plut. circumscripsi ‖ 10 *ἐκ κωτιεοῦν* S *ἐκ κωτιέουν* M *ἐκ κωτιέων* A *ἐκκατΐέον* L *ἐκ Κωτιέου* Br: *ἐκ Κέω. τίς οὖν* duce Plutarcho restituit Meineke. apparet hinc iam in archetypo defuisse quae inter v. *ἐκ Κέω* et *τίς οὖν* habet Plut. p. 605B: *Κριτόλαος — ἀπέλιπε.* male Gesn.[1] *ἐκ Κέω. τούτους κτἑ.*, inde vulg. ‖ 11 *καὶ σπουδὴν* om. Plut.; num *καὶ σχολὴν* ut praecipiantur quodammodo quae Plutarchus post *μεταστάντες* addit *οὐδὲ φυγαδευθέντες ἀλλὰ φυγόντες αὐτοὶ πράγματα καὶ περισπασμοὺς καὶ ἀσχολίας ἃς αἱ πατρίδες φέρουσι*? sed *σπουδή* Byzantinis est 'studium' ut *φιλοπονία*

οὐ πάνυ μέτεστιν οἴκοι τοῖς ἡντινοῦν δόξαν ἢ δύναμιν ἔχουσι, τὰ μὲν ἄλλα λόγοις, τοῦτο δὲ ἡμᾶς ἔργῳ διδάσκουσι. καὶ γὰρ νῦν οἱ δοκιμώτατοι καὶ κράτιστοι ζῶσιν ἐπὶ ξένης, οὐ μετασταθέντες, ἀλλὰ μεταστάντες.

5 Ἐν ταὐτῷ (p. 607 D).

Τὸ δ᾽ ἀληθέστατον, ἡ ψυχὴ φεύγει καὶ πλανᾶται θείοις ἐλαυνομένη δόγμασι καὶ νόμοις, εἶτα ὥσπερ ἐν νήσῳ σάλον ἐχούσῃ, καθάπερ φησὶν ὁ Πλάτων, ὀστρέου τρόπον ἐνδεδεμένη τῷ σώματι, διὰ τὸ μὴ ἀναφέρειν μηδὲ μνημονεύειν,

ἐξ οἵης τιμῆς τε καὶ ὅσσου μήκεος ὄλβου

μεθέστηκεν, οὐ Σάρδεων Ἀθήνας οὐδὲ Κορίνθου Λῆμνον, ἀλλ᾽ οὐρανοῦ καὶ σελήνης γῆν ἀμειψαμένη καὶ τὸν ἐπὶ γῆς βίον· ἂν μικρὸν δὲ ἐνταῦθα τόπον ἐκ τόπου παραλλάξῃ, δυσανασχετεῖ καὶ ξενοπαθεῖ, καθάπερ φυτὸν ἀγεννὲς ἀπομαραινομένη. καίτοι φυτῷ μὲν ἔστι τις χώρα μᾶλλον ἑτέρας ἑτέρα πρόσφορος, ἐν ᾗ τρέφεται καὶ βλαστάνει βέλτιον· ἀνθρώπου δὲ οὐδεὶς ἀφαιρεῖται τόπος εὐδαιμονίαν, ὥσπερ οὐδὲ ἀρετὴν οὐδὲ φρόνησιν.

---

1 οὐ] καὶ L | δόξην A¹ | ἢ] καὶ A || 2 δὲ ἡμᾶς ἔργῳ] δ᾽ ἔργῳ (vel δὲ ἔργοις) ἡμᾶς Plut. || 3 Πλουτάρχου. Οἱ κράτιστοι κράτιστα ζῶσιν — μεταστάνες Mac. Chrys. post ecl. 40, 6 || 5 ecl. hab. addito lemmate S M A, lemmate non iterato L Br || 6 δ᾽ Plut. δὲ S, om. M A L Br | ἀληθέστατον perspicue etiam S, fallitur Gaisford | ἡ ψυχὴ e prioribus suppl. excerptor || 7 καὶ sed κ ex ν ut videtur corr. M¹ || 8 ἐχούσῃ ex genit. corr. S¹ ut videtur | σάλον ἐχούσῃ πολὺν tacite ex Plut. Gesn.¹ p. 234, inde vulg. | φησὶν ὁ] ὁ φησὶν operarum sphalm. Gesn.² p. 230, inde vulg. || 9 ἐνδεδεμένη ex Plut. tacite Gesn.¹, inde vulg.: δεδεμένη S L M A² Br δεδεμένος A¹; ὀστρέου τρόπον δεδεσμευμένοι Plato Phaedr. p. 250 C | μὴ om. M A¹ | μὴ μνημονεύειν μηδὲ ἀναφέρειν libri Plut. || 11 Empedoclis nomine addito hab. versum (390 ed. Stein.) Clemens Alex. strom. IV p. 479 P. | τε καὶ ὅσου S M A L Br Plut. καὶ οἵου Clem.: tacite corr. Gesn.¹, inde vulg. || 12 σαρδέων M | Λῆμνον ἢ Σκῦρον tacite ex Plut. Gesn.¹, inde vulg. || 14 ἂν] ἵνα libri Plut. | accentum in ἂν sicut infra in καίτοι suppl. m. rec. M | δὲ seclusit gravi distinctione post βίον sublata Meineke auctore Plut. male | ἐκ τόπου om. L || 15 ἀγενὲσ M | μὲν ἔστι τίσ, una littera (opinor ν) post ἔστι erasa M || 18 βέλτιον] μέτριον L | ἀνθρώπου] ἄνου A² || 19 εὐδαιμονίας compend. L

6 *Δημοκρίτου* (fr. mor. 38 Mullach.).

Ξενιτείη βίον αὐτάρκειαν διδάσκει· μᾶζα γὰρ καὶ στιβὰς λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.

7 *Τοῦ αὐτοῦ* (fr. mor. 225 Mullach.).

Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος.

8 *Τέλητος περὶ φυγῆς* (p. 14 Hense.).

Μήποτε πρὸς μὲν τὸν οἰόμενον ἀλογιστοτέρους τὴν φυγὴν ποιεῖν ὀρθῶς ἂν παραβάλλοιτο τὰ ἐπὶ τῶν τεχνῶν, ὅτι ὃν τρόπον οὐδὲ αὐλεῖν οὐδὲ ὑποκρίνεσθαι χεῖρον ἔστιν ἐπὶ ξένης ὄντα, οὕτως οὐδὲ βουλεύεσθαι· πρὸς δὲ τὸν κατ' ἄλλο τι ἡγούμενον τὴν φυγὴν βλαβερὸν εἶναι, μὴ οὐδὲν λέγηται παρὰ τὸ τοῦ Στίλπωνος, ὃ καὶ πρῴην εἶπον· τί λέγεις, φησί, καὶ τίνων ἡ φυγὴ ⟨ἢ⟩ ποίων ἀγαθῶν στερίσκει; τῶν περὶ ⟨τὴν⟩ ψυχήν, ἢ τῶν περὶ τὸ σῶμα, ἢ

1 ecl. cum lemm. hab. SMALBr, etiam Mac. Chrys. sed hic tamquam capitis primam ‖ 2 *ξενιτείη* SMA Mac. *Ἡ* (rubr.) *ενιτείη* L *ξενητείη* Br | *αὐτάρκειαν* libri: *αὐταρκείην* Mullach ‖ 3 *ἰάματα* libri: *ἰήματα* Meineke ‖ 4 ecl. hab. lemmate *τοῦ αὐτοῦ* adiuncto SMA, lemmate non iterato L Br. cf. p. 749, 13; Clitarchi sent. 33 Elt., al. versus constituit Freudenthal *theol. des Xenophanes* p. 38 n. 3 ‖ 7 ecl. cum lemm. hab. SLMA; *τέλητος περὶ φυγῆς* SMA *Περὶ* (*Π* rubr.) *φυγῆς τε*^{λτ}: L. veterum de exilio locos diligentissime nuper collegit A. Giesecke Lipsiae a. 1891, sed de fontibus quae disseruit eorum non nulla minus recte se habere persuasum habeo ‖ 8 *Μήποτε* — 11 *βουλεύεσθαι* uno enuntiato comprehendit epitomator quae priore disputationis parte adversarius monuerat contraque dixit Teles. cf. Weber *Leipz. stud.* X p. 214 | *μήποτε* 'fortasse' more Alexandrino ‖ 10 *οὐδὲ* SLMA; *οὐδὲν* Tr. p. 193, inde vulg. | *αὐλεῖν* SMA: *αὐχεῖν* L | *ὑποκρίνεσθαι*] vid. Lueders *die dionys. künstler* p. 61 | *χεῖρον ἔστιν* tacite Meineke: *χεῖρον* (vel *χεῖρόν*) *ἐστιν* SMA *χεῖρον* L ‖ 12 *βλαβερὸν* SLM: *βλαβερὰν* A² sed idem habuisse videtur iam A¹ ‖ 13 *λέγηται* A: *λέγητε* SLM | *παρὰ* Meineke v. IV p. LXIV: *πρὸς* libri | *εἶπον· 'τί λέγεις' φησί* Wilamowitz *philol. unters.* IV p. 306 et Bergk *gr. literaturgesch.* IV p. 530 adn. 61: *εἰπόντι λέγει φησί* S (Tr., inde vulg.) *εἰπόν τι λέγει φησί* L *εἶπον τι λέγειν φησίν* M *εἰπόντι λέγει* (*λέγει* A¹ *λέγειν* A²) *φησί* A ‖ 14 *ἢ* addidit Iacobs animadv. in Stob. p. 248 ‖ 15 *στερίσχ*^{η}*ει* A | *τὴν* addidi | *ἢ* priore loco m. L | *τὸ* SL: om. MA; cf. p. 739, 3

τῶν ἐκτός; εὐλογιστίας, ὀρθοπραγίας, εὐπραγίας ἡ φυγὴ στερίσκει; οὐ δή. ἀλλὰ μὴ ἀνδρείας ἢ δικαιοσύνης ἢ ἄλλης τινὸς ἀρετῆς; οὐδὲ τοῦτο. ἀλλὰ μὴ τῶν περὶ τὸ σῶμά τινος ἀγαθῶν; ἢ οὐχ ὁμοίως ἔστιν ἐπὶ ξένης ὄντα ὑγιαίνειν καὶ ἰσχύειν καὶ ὀξὺ ὁρᾶν καὶ ὀξὺ ἀκούειν, ἐνίοτε δὲ μᾶλλον ⟨ἢ⟩ ἐν τῇ ἰδίᾳ μένοντα; καὶ μάλα. ἀλλὰ μὴ τῶν ἐκτὸς στερίσκει ἡ φυγή; ἢ οὐ πολλοῖς ὤφθη τὰ πράγματα κατὰ τὴν τῶν τοιούτων ὕπαρξιν ἐπιφανέστερα γεγονότα φυγάδων γενομένων; ἢ οὐ Φοῖνιξ ἐκ Δολοπίας ἐκπεσὼν ὑπὸ Ἀμύντορος εἰς Θετταλίαν φεύγει;

Πηλέα δ' ἐξικόμην,
καί μ' ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν.

Θεμιστοκλῆς ἐκεῖνος 'ὦ παῖ' φησὶν 'ἀπωλόμεθ' ἂν εἰ μὴ ἀπωλόμεθα'. νῦν δὲ πολλὴ τῶν τοιούτων ἀφθονία. ποίων οὖν ἀγαθῶν ἡ φυγὴ στερίσκει, ἢ τίνος κακοῦ παραιτία ἐστίν; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ. ἀλλ' ἡμεῖς πολλαχοῦ αὐτοὺς κατορύττομεν καὶ φυγάδες γενόμενοι καὶ ἐν τῇ ἰδίᾳ μένοντες. οὐκ ἄρχουσι, φασίν, οὐ πιστεύονται, οὐ παρρη-

1 ἡ φυγὴ (sic ut tacite scr. Gesn.[1] p. 236, inde vulg.) L: ἢ φυγῆς S ἡ φυγῆς MA ‖ 2 στερίσκει SLM: στερίσκῃ A | ἀνδρείας SLM: ἀνδρίας A ‖ 6 ἢ tacite supplevit Gesn.[1], inde vulg. ‖ 7 στερίσκει SLM: στερίσκῃ A ‖ 8 τὴν τῶν LMA: τὴν S | ἐπιφανε^στερ^ L | γεγονότα LM: γεγονότων S om. A ‖ 9 ἢ libri, sed οὐ add. S[1] (supra lin.), Tr. A[2], om. LMA[1]; εἰ — φεύγει, Πηλέα κτἑ. 'si Phoenix exulat, (et haec eius verba sunt') Buecheler ‖ 10 θετταλίαν LMA: θεσσαλίαν S | λέγει quod pro φεύγει scripserat Meineke ipse explosit v. IV p. LXIV ‖ 11 Πηλέα — 12 λαόν] Il. IX 479 sqq.: Φθίην δ' ἐξικόμην ἐριβώλακα, μητέρα μήλων Ἐς Πηλῆα ἄναχθ'· ὁ δέ με πρόφρων ὑπέδεκτο ... καί μ' ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν ‖ 12 ἔθηκα L ‖ 13 Themistoclis dictum refertur a multis, locos collegit Wyttenbach ad Ps.-Plut. apophth. reg. et duc. p. 185 F | παῖδες maluit Meineke Plutarcho duce aliisve | ἀπωλόμεθ' ἂν εἰ μὴ ἀπωλόμεθα L: ἀπολόμεσθα S ἀπωλόμε^σ^θα M[1] ἀπωλόμεθα (ἀπολ. A[1]) A ubi ἂν εἰ μὴ ἀπωλόμεθα add. m. rec. mrg ‖ 16 μὲν om. S | ἀλλ' ἡμεῖς κτἑ.] cf. Plut. de exilio p. 601 D Arr. Epict. diss. I 25, 28 | αὐτοὺς tacite Meineke: αὐτοὺς LMA αὐτὰς (sed dub. syll. fin.) S ‖ 18 κ in οὐκ evan. L | φασίν reposui ex LM: φησιν SA; φησίν tueri videtur Wilamowitz l. c. p. 306, vix recte. adfertur opinio vulgaris, fortasse ut adversarii sint verba (cf. p. 740, 12). Stilponem subaudiri vetant verba proxima

[redacted]

σίαν ἔχουσιν. ἔνιοι δέ γε καὶ φρουροῦσι τὰς πόλεις παρὰ βασιλεῦσι, καὶ ἔθνη πιστεύονται, καὶ δωρεὰς μεγάλας καὶ συντάξεις λαμβάνουσι. Λυκῖνος ἐκεῖνος οὐ παρ' ἡμῖν ἐφρούρει φυγὰς ὢν ἐκ τῆς Ἰταλίας, πιστευόμενος παρ' Ἀντιγόνῳ, καὶ τὸ προσταττόμενον ἐποιοῦμεν Λυκίνῳ ἡμεῖς ἐν τῇ ἰδίᾳ μένοντες; Ἱππομέδων ὁ Λακεδαιμόνιος ὁ νῦν ἐπὶ Θράκης καθεσταμένος ὑπὸ Πτολεμαίου, Χρεμωνίδης καὶ Γλαύκων οἱ Ἀθηναῖοι οὐ πάρεδροι καὶ σύμβουλοι; ἵνα μὴ τὰ παλαιά σοι λέγω, ἀλλὰ τὰ καθ' ἡμᾶς. καὶ τὸ τελευταῖον οὐκ ἐπὶ στόλου τηλικούτου ἐξαπεστάλη καὶ χρημάτων τοσοῦτον πιστευόμενος καὶ τὴν ἐξουσίαν ἔχων ὡς βούλοιτο χρῆσθαι; — Ἀλλ' ἔν γε τῇ ἰδίᾳ οὐκ ἄρχουσιν οἱ φυγάδες. — Οὐδὲ γὰρ αἱ γυναῖκες οἴκοι μένουσαι, οὐδ' οἱ παῖδες, οὐδὲ τὰ μειράκια ταυτί, οὐδ' οἱ ἔξωροι τῇ ἡλικίᾳ. ἀλλὰ μή τι δυσχερὲς αὐτοῖς; εἰ δ' ὠδυνῶντο ἐπὶ τούτῳ, οὐκ ἂν ἦσαν βάκηλοι; τί δὲ καὶ διαφέρει ἄρχειν ἢ ἰδιωτεύειν; σὺ πολλῶν [ἢ ὀλίγων] καὶ ἡβώντων βασιλεύεις, ἐγὼ δὲ ὀλίγων καὶ ἀνήβων παιδα-

1 γε om. S ‖ 3 παρ' ἡμῖν S A: παρὰ ἡμῖν L παρήμην M ‖ 5 ἀντιγόνων· L ‖ 6 ἱππομέδων ut tamen έδ ex εό mutaverit M[1], vid. Droysen *epig.*[2] I p. 408 ‖ 7 οὐ νῦν maluit Meineke v. IV p. LXIV posito interrogandi signo post Πτολεμαίου | καθεσταμένος M: καθεσταμενος sine acc. S καθεστάμενος L καθιστάμενος A; vide Cobet mnemos. IX p. 121 | χρεμωνι L ‖ 8 σύμβουλοι S L: σύμβολοι M A; post σύμβουλοι requirit βασιλικοί Buecheler ‖ 9 τὰ ante παλ. om. A ‖ 11 ante καὶ χρημάτων addi vult Χρεμωνίδης Meineke v. IV p. LXIV coniectura valde incerta | τοσοῦτον scripsi coll. p. 740, 2: τοσούτων S L M A sed τοσούτων ex τοσοῦτον fecit L[1]: post τοσούτων interpungi voluit Niebuhr *kl. schr.* I p. 435 χρημάτων τοσοῦτον ⟨πλῆθος⟩ πιστευόμενος requirit Cobet l. c. p. 122 ‖ 13 αἱ om. A ‖ 14 τὰ μειράκια ταυτί] vide proleg. Tel. p. XXX ‖ 15 ἀλλὰ] ἀλλὰ εἰ temere Gesn.[1] p. 236, inde vulg.; membrum interrogativum agnovit Meineke qui maluit v. IV p. LXV: ἀλλὰ τί δυσχερὲς αὐτοῖς | εἰ δ' Meineke: εἴη libri; εἰ praeiverat Gaisford ‖ 16 ὠδυνῶντο S (sic) L M A[1]; ὀδυνῶντο A[2] et Gaisford oscitanter | 17 σὺ πολλῶν Halm lect. Stob. p. 12: ἢ πολλῶν libri; emendandi viam monstraverat interpretatio Gesneri: *tu multis aut paucis ... imperabis* | ἢ ὀλίγων seclusit Halm; variantur verba Bionis supra a Telete adlata Stob. III 1, 98 p. 38, 6 ‖ 18 βασιλεύεις Wilamowitz l. c. p. 306: βασιλεύσεις libri. an praestat εἰ πολλῶν ⟨σὺ μὲν⟩ καὶ ἡβώντων βασιλεύεις?

[redacted]

γωγὸς γενόμενος, καὶ τὸ τελευταῖον ἐμαυτοῦ· τῇ γὰρ αὐτῇ ἐμπειρίᾳ χειρούμενον καὶ τοὺς πολλοὺς καὶ τὸν ἕνα, καὶ δημοσιεύοντα καὶ κατ' οἰκίας ἐργολαβοῦντα, καὶ ἐπὶ ξένης ὄντα καὶ ἐν τῇ ἰδίᾳ μένοντα, καὶ κατὰ τὴν αὐτὴν εὐβουλίαν καὶ τῇ ἀρχῇ καλῶς καὶ τῇ ἰδιωτείᾳ ἔστι χρῆσθαι. τί οὖν διοίσει μοι, εἰ μὴ ἄρξω ἀλλὰ ἰδιωτεύσω; — Ἀλλ' οὐδὲ ἐξουσίαν ἕξεις εἰσελθεῖν εἰς τὴν ἰδίαν. — Οὐδὲ γὰρ νῦν εἰς τὸ Θεσμοφόριον ἐξουσίαν ἔχω, οὐδὲ γυναῖκες εἰς τὸ τοῦ Ἐνυαλίου, οὐδ' εἰς τὰ ἄβατα ἕξομεν. ἀλλ' εἰ ἐπὶ τούτῳ ἄχθοιτό τις, οὐκ ἂν παιδαριώδης εἴη; οὐδὲ εἰς τὸ γυμνάσιον ἐνίοτε ἐξουσίαν ἔχω, ἀλλ' ἀπελθὼν ⟨ἂν⟩ εἰς τὸ βαλανεῖον ἠλειψάμην τῇ αὐτῇ παλαιστρικῇ χρώμενος ᾗ καὶ πρὸ τοῦ ἐν τῷ γυμνασίῳ. οὕτω καὶ δεῦρο ἄβατον ἡγησάμενος τὴν ἰδίαν μεταβὰς ἀλλαχοῦ κατοικῶ, δύναμαι δὲ μεταβὰς ὥσπερ ἐξ ἑτέρας νεὼς εἰς ἑτέραν ὁμοίως εὐπλοεῖν, οὕτως ἐξ ἑτέρας πόλεως εἰς ἑτέραν ὁμοίως εὐδαιμονεῖν. οὔκουν ἀκλήρημά τι καὶ ὄνειδος ἐμόν, εἰ μὴ μετὰ πονηρῶν οἰκήσω. ἢ ἐμὸν ὄνειδος, ἀλλ'

1 τῇ γὰρ αὐτῇ ἐμπειρίᾳ κτέ.] cf. Musonius Stobaei vol. II p. 276, 15 Mein. ‖ 2 χειρούμενον Buecheler: χρώμενον libri | καὶ τοὺς libri; κἀς τοὺς Halm, κατὰ τοὺς Meineke v. IV p. LXV ‖ 5 ἔστι Halm l. c. p. 12: ἐστὶ vel ἐστὶν libri ‖ 6 μοι om. A ‖ 7 εἰσελθεῖν delendum putat Meineke v. IV p. LXV recte ‖ 8 θεσμοφόριον LM Θεσμοφορίον S θεσμοφόρ(ιον)// A² | ἐξουσίαν ἔχω delet Wilamowitz l. c. p. 301. sed fortasse consulto iterantur verba interlocutoris οὐδὲ γὰρ — ἐξουσίαν ἔχω, ut supra plus semel ponitur πιστεύονται bisque πιστευόμενος: alioqui exspectandum erat οὐδὲ γὰρ νῦν εἰς τὸ Θεσμοφόριον ἐγώ, οὐδ' αἱ γυναῖκες κτέ. | οὐδὲ libri; οὐδ' αἱ Meineke v. IV p. LXV ‖ 9 ἐναυλίου L | οὐδ' εἰς τὰ ἄβατα ⟨οὐθείς⟩ [ἕξομεν] Wilamowitz | ἀλλὰ εἰ libri, nisi quod εἰ om. L | 10 τοῖτο A | παιδαριω(δ) L ‖ 11 ἀλλὰ M | ἀπελθὼν ex ὀπελθὼν corr. M¹ | ἂν addidi probante Buechelero ‖ 13 τοῦ] τ(ῦ) L | οὕτω SA: οὕτως LM ‖ 14—18 κατοικῶ, δύναμαι — εὐδαιμονεῖν. οὔκουν — οἰκήσω Wachsmuth et Buecheler: κατοικῶ. οὔκουν — οἰκήσω. δύναμαι — εὐδαιμονεῖν libri ‖ 16 ἑτέραν L confirmans coniecturam Meinekii: ἑτέραν πόλιν SMA ‖ 17 οὔκουν S LMA; οὐκ οὖν et deinceps οἰκήσω; Gaisford non recte ‖ 18 εἰ μὴ S LM: εἰ A | ἀλλ' οὐ L: ἀλλὰ οὐ ut videtur SMA

οὐ τῶν ἐμὲ ἐκβαλόντων ἐπιεικῆ καὶ δίκαιον ὄντα; οὐκ ἀηδῶς Φιλήμων· ἠγωνισμένου γάρ ποτε αὐτοῦ καὶ ἀπηλλαχότος ἀστείως συναντῶντές τινες 'ὡς εὐημέρηκας' ἔφασαν 'Φιλῆμον'· 'ὑμεῖς μὲν οὖν' φησίν 'οἴεσθε οὕτω τεθεαμένοι· ἐγὼ μὲν γὰρ ἀεὶ ἀγαθὸς ὢν διατελῶ.' — Τί οὖν; ὑπὸ χειρόνων φυγαδεύεσθαι οὐ παροινία; — Σὺ δ' ἂν ἐβούλου, φησίν, ὑπὸ καλῶν καὶ ἀγαθῶν; ἢ οὐχ οὕτω μὲν σὸν ἔγκλημα; οὐθένα γὰρ ἀγνωμόνως καὶ ἀδίκως ἄνδρες ἀγαθοὶ φυγαδεύουσιν· οὐ γὰρ ἂν ἦσαν δίκαιοι. — Παρευδοκιμεῖσθαι οὖν ὑπὸ τῶν τοιούτων καὶ χειροτονίᾳ καὶ ψήφῳ οὐκ ὄνειδος; — Οὐ σόν γε, ἀλλὰ τῶν τούτους χειροτονούντων καὶ ψηφοφορούντων· ὥσπερ εἰ τὸν ἄριστον ἰατρὸν ἀφέντες φαρμακοπώλην εἵλοντο καὶ τούτῳ τὸ δημόσιον ἔργον ἐνεχείρισαν, πότερον τοῦ ἰατροῦ εἶπας ἂν ὄνειδος καὶ ἀκλήρημα τοῦτο ἢ τῶν ἑλομένων; — Ἀλλὰ τοῦτό γε, εὑρεθῆναι τὴν πατρίδα μοχθηρὰν καὶ

---

1 *ἐκβαλλόντων* L M A *ἐκβαλόντων* (quod praetulit Cobet mnem. IX p. 121 sq.) ex *ἐκβαλλ.* corr. S¹ ‖ 2 *φῖλη̃ μ* (superscr. *ὢν*) alterum ex altero corr. A¹ | *ἠγων. κτἑ.* cf. Diels Herm. XIII p. 9 | *ἠγωνισμένου* L. Dindorf Steph. thes. III p. 2260: *ησωνισμεν. οὐ* (in marg. *ζη*/ S¹) S *ἧς ὢν ἴσμεν· καὶ* L *ησωνισμεν οὐ* M *ἥσσων ἴσμεν οὐ* A Tr. p. 194; *ἡσσωμένου* perperam Gaisford | *καὶ* om. L fortasse recte ‖ 3 *ἀστείως* S L M A; *ἄστεως* male coniecit editor Francofurtensis p. 556 mrg., unde Gaisford ‖ 4 *μὲν οὖν* S M A: *μέν* L | *οὕτω* S M A: *οὕτως* L ‖ 5 *ἐγὼ μὲν γὰρ* S M A: *ἐγὼ δὲ* L | *τί οὖν — 6 παροινία;* dedimus interlocutori ‖ 6 *οὐ* om. L | *Σὺ δ' ἂν ἐβούλου κτἑ.*] disputandi ratio similis Xenoph. apol. Socr. 28, cf. gnomol. Vat. 478 Sternb. ‖ 7 *φησίν* addito indicari videtur ab epitomatore haec respondere Teletem, nisi fortasse ipse Teles auctore aliquo usus est cuius nomen intercidit (cf. Tel. p. 26, 13 H.), illa ratio placuit Webero l. c. p. 213 adn. ‖ 8 *ὀθένα* pro *οὐθένα* M ‖ 9 *ἄνδρες* bis scripsit L | *ἂν* om. L | *δίκαιοι* sed *ι* ex *η* L ‖ 10 *παρευδοκιμεῖσθαι — 11 ὄνειδος* dedi interlocutori ‖ 12 *τούτοις* pro *τούτους* M | *ψηφοφορούντων* S M: *ψηφηφορούντων* L A ‖ 14 *πότερον* scripsi coll. Tel. p. 1, 5. 7 H.: *πότερ' ἂν* S L M A (sic); *πότερα* Meineke Gaisfordi errore deceptus ‖ 15 *εἶπας* S A *εἰ πᾶσ* M: *εἶπες* L | *ἂν* ante *ὄνειδος* om. A | *ἀνακλήρημα* A | *τοῦτον ἢ* A ‖ 16 *Ἀλλὰ — p. 743, 2 ἀκλήρημα* sunt interlocutoris ut infra p. 743, 8 *ἀλλ' ὅμως — 9 καταγενέσθαι*

ἀχάριστον οὖσαν, εἰς ἣν πολλά τις ἐπόνησε, πῶς οὐκ ἀκλήρημα; — Καὶ πῶς ἂν εἴη τοῦτο ἀκλήρημα, ἀλλ' οὐκ εἰ δεῖ εἰπεῖν οὕτως εὐκλήρημα τὸ γνῶναι ποία τις πρότερον μὴ εἰδότα; ἀλλ' εἰ μὲν τὴν γυναῖκα ᾔσθου πονηρὰν καὶ ἐπίβουλον οὖσαν πρότερον μὴ εἰδώς, ἂν ἔσχες χάριν, καὶ εἰ τὸν οἰκέτην δραπέτην καὶ κλέπτην, ἵνα φυλάττῃ· εἰ δὲ τὴν πατρίδα πονηρὰν καὶ ἀχάριστον ᾔσθου, ἀκληρεῖν ἡγῇ σύ, ἀλλ' οὐ χάριν ἔχεις; — Ἀλλ' ὅμως μέγα μοι δοκεῖ τὸ ἐν ᾗ ἐγένετό τις καὶ ἐτράφη, ἐν ταύτῃ καταγενέσθαι. — Πότερον καὶ ἐν οἰκίᾳ ἐν ᾗ ἐτράφης καὶ ἐγένου ἐν ταύτῃ καταγενέσθαι, κἂν ᾖ σαπρὰ καὶ ῥέουσα καὶ καταπίπτουσα; καὶ ἐν νηῒ ἐν ᾗ ἐγένου καὶ ἐκ παιδίου ἔπλεις, ἐνταῦθα κἂν ἀκάτιον ᾖ, οὐδ' εἰ κωπηλατοῦντα διαρρήγνυσθαι δέοι, εἰς τὴν εἰκόσορον μεταβάντα ἀσφα-

---

1 *ἀχαριστοῦσαν* A | *πῶς οὐ κλήρημα* A¹, tum praecipit *τὸ γνῶναι*, delevit tamen ‖ 3 *εἰ δεῖ* L: *ᾔδει* S M *ᾔδει* A; *ἤδη* Tr., inde vulg. | v. *ᾔδει εἰπεῖν* ex parte redintegravit M² in membranae loco minus bono | *οὕτως* om. S Tr., inde vulg. | *πότερον* compend. hic et infra L | v. *πρότερον μὴ εἰδότα* et mox syllabas *βουλον οὖσαν πρό* distinctiora reddebat M² ‖ 4 pro *εἰ* habet nescio quid correctum ex *ἐκ* ut videtur vel ex *ἐπ* L ‖ 5 *μὴ εἰδὼς ἂν* S L *μη ειδωσαν* M *μὴ εἰδῶσαν* A¹ | *ἔσχες* Tr., inde vulg.: *ἔχες* S A *εἶχες* L *εχεσ* M ‖ 8 *ἡγῇ σύ* Buecheler: *ἡγήσῃ* (vel — *σῃ*) M A L *ἡγήσου* S *ἡγῇ σου* Tr.; *ἡγῇ σε* male Gesn.¹ p. 236, inde vulg. | *ἔχεις* S M A L; *ἕξεις* Meineke | *μοι δοκεῖ μέγα* L | *σοι* pro *μοι* Tr. non reputans verba esse interlocutoris ‖ 9 ante *ἐν ταύτῃ* addit *καὶ* Gaisford tamquam ex A: om. libri omnes ‖ 10 domus similitudo Bionem redolet, vide Tel. p. 10, 14 H., item Homericum illud *τράφεν ἠδὲ γένοντο* | *καὶ ἐν ταύτῃ κ.* A, hinc ad priorem locum aberravit Gaisford ‖ 11 *ἐν ταύτῃ καταγενέσθαι* secludit Wilamowitz l. c. p. 305 adn. 18 | *σαθρὰ* mavult Cobet mnemos. IX p. 122 cf. Gorgiae verba Stob. flor. 118, 29: *ὥσπερ δὲ ἐκ σαπροῦ καὶ ῥέοντος συνοικιδίου ἀσμένως ἀπαλλάττομαι.* *prosiliam ex aedificio putri ac ruenti* interpretatur Seneca ep. 58, 35; cf. Sen. de ira II 28, 4 ‖ 12 *πεδίου* S | *ἐκ παιδίου κατὰ τύχην ἔπλεις* L ‖ 13 *ᾖ, οὐδ' εἰ* Gaisford: *οὐ δεῖ* (sic) S *οὐ δεῖ ἡ* L *οὐ δεῖ ἢ* (*ἦ* A) M A; *ᾖ, καὶ* scripserat Gesn.¹, inde vulg. ‖ 14 *διαρρήγνυσθαι* scripsi idemque placuit Wilamowitzio displicuerat Cobeto: *ἀπορρήγνυσθαι* libri; *ἀποτετρῦσθαι* perperam Cobet l. c. p. 122 oblitus Bacchi remigantis apud Aristophanem ran. 254 sq. ora-

[redacted]

λῶς καὶ ἀκόπως; καὶ ὀνειδίζουσι μὲν ὅτι Κυθήριος, ὅτι Μυκόνιος, ὅτι Βελβινείτης· ὅμως δὲ μέγα τι φασὶ τὸ ἐν ᾗ ἐγένετό τις καὶ ἐτράφη, ἐν ταύτῃ καταβιῶναι, καὶ τὰς πλείους μὲν ἐξώλεις τῶν πόλεων καὶ τοὺς ἐνοικοῦντας ἀσεβεῖς, μέγα δὲ καὶ προσηνὲς τὴν πατρίδα ὥσπερ καὶ † αὐτή. ἀλλὰ καὶ ὅτι μέτοικος ὀνειδίζουσι † δὲ πολλοὶ λέγοντες

μέτοικε σύ,
οὐδ' ἐγγενὴς ὢν τήνδε δουλώσας ἔχεις.

καὶ Κάδμον μὲν τὸν κτίστην Θηβῶν θαυμάζεις, ἐμὲ δὲ εἰ μή ⟨εἰμι⟩ πολίτης, ὀνειδίζεις; καὶ Ἡρακλέα μὲν ὡς ἄριστον ἄνδρα γεγονότα ἐπαινοῦμεν, τί δὲ μέτοικον εἶναι

---

tionis color Bioneus, cf. Tel. p. 29, 4 H. | *δέ οἱ* M | ⟨*ἐξὸν*⟩ *εἰς τὴν εἰκ. μ. ἀ. κ. ἀ.* ⟨*πλεῖν*⟩ temere Gesn.[1] p. 238, inde vulg. | *εἰκόσορον* SA: *εἰκόσωρον* LM | *μεταβάντα* tacite scripsit Gesn.[1], inde vulg.: *μεταβάντες* SMA *μεταβάν τις* L

1 *ἀκώπως* L | *μὲ* pro *μὲν* A[2] | *Κυθήριος* egregie Wilamowitz coll. Synes. p. 303 A. 387 Krab. *μέτοικος ἀτιμότερος ἀστοῦ Κυθηρίου*: *κύπριος* libri | *ὅτι μυκώνιος* A, sed *ὅτι* A[2]: *ὁ μυκώνιος* S *ἢ Μυκώνιος* L *ὁ μυκόνιος* M; *Μυκόνιος ἀνήρ* venit in proverbium, vide Gottingenses ad Zenobii cent. V 21 ‖ 2 *ὅτι Βελβινήτης* (*Βελβινείτης* Buecheler) Valckenaer ad Herodot. VIII 125 ubi hodie scribunt fere ex codicibus *Βελβινίτης*: om. verba S, *ἢ* (sed *ἢ* superscr.) *ὅτι μεμφίτης* L *ὅτι βελβινθείτης* M *ὅτι βελβινοείτης* A; *ἢ ὅτι Βελβ.* minus apte Gaisford et Meineke, sed praestat fortasse *ἢ ὅτι Μυκ. ἢ ὅτι Βελβ.* ‖ 5 *προσηνές* ⟨*τι*⟩ ci. Giesecke | *ὥσπερ καὶ αὐτή* (*αὐτη* sine acc. S *αὐτῇ* ut videtur M) SLMA: *ὥσπερ καθ' αὑτήν* Buecheler, *ὥσπερ καὶ Αἰγεῖ* sed verba ante *λέγοντες* traiciens Wachsmuth ‖ 6 *ἀλλὰ καὶ ὅτι μέτοικος — μέτοικε* interlocutoris esse putabat Wilamowitz | *καὶ ὅτι* SLM: *ὅτι καὶ* A | *ὀνειδίζουσι δὲ πολλοὶ* libri: *ὀνειδίζουσιν οἱ πολλοὶ* Iacobs lect. Stob. p. 76, melius *ὀνειδίζουσι δὴ π.* Sitzler *neue philol. rundschau* a. 1890 p. 277 ‖ 7 *λέγοντες* secludit Iacobs, fortasse recte | *λέγοντες μέτοικε* (sed *λέγοντες* A[2] mrg) SMA *μέτοικε λέγοντες* L ‖ 8 tr. gr. fr. adesp. 536 p. 944 N.[2] 'versiculum in Cadmum fuisse iactatum probabilest, puto in Eur. Cadmo' Buecheler | *σύ, Οὐδ' ἐγγενὴς* (*ἐγγενὴς* Valckenaer *εὐγενὴς* Wachsm.) Wachsmuth: *σὺ δ' εὐγενὴς* (vel *δευγ.*) libri ‖ 10 *κάδμων* L | *θαυμάζεις* et mox *ὀνειδίζεις* Wilamowitz: *θαυμάζει — ὀνειδίζει* libri: aberravit Cobet ‖ 11 *μὴ* om. L | post *εἰ μὴ* addidi *εἰμὶ* ‖ 12 *ἐπαινοῦμεν* SLM: *ἐπαινούμενον* A[1] corr. A[2] | *τὸ δὲ* SL sed *τὸ* ex corr. ut videtur S[1]: *τὸν δὲ* MA[1] (corr. A[2]) Tr. p. 195

ὄνειδος ἡγούμεθα; Ἡρακλῆς δ' ἐξ Ἄργους ἐκπεσὼν Θήβαις κατῴκει. Λακεδαιμόνιοι οὐδὲν τῶν τοιούτων ὄνειδος ἡγοῦνται· ἀλλὰ τὸν μὲν μετασχόντα τῆς ἀγωγῆς καὶ ἐμμείναντα, κἂν ξένος κἂν ἐξ εἵλωτος, ὁμοίως τοῖς ἀρίστοις τιμῶσι· τὸν δὲ μὴ ἐμμείναντα, κἂν ἐξ αὐτοῦ τοῦ βασιλέως, εἰς τοὺς εἵλωτας ἀποστέλλουσι, καὶ τῆς πολιτείας ὁ τοιοῦτος οὐ μετέχει. — Ἀλλὰ τό γε ἐν τῇ ἰδίᾳ μὴ ἐξεῖναι ταφῆναι πῶς οὐκ ὄνειδος; — Καὶ πῶς μέλλει τοῦτο ὄνειδος εἶναι ὃ τοῖς ἀρίστοις πολλάκις συνέβη; ἢ τίς τιμὴ αὕτη ἥ τις τοῖς κακίστοις περιγίνεται; καὶ Σωκράτην μὲν ἐπαινοῦσιν, ὅταν ἐπιλαμβανόμενος Ἀθηναίων λέγῃ· οἱ μὲν γὰρ στρατηγοὶ ἐφ' οἷς καλλωπίζονται, ὑπερόριοι τεθαμμένοι εἰσί, τὰ δὲ ὀνείδη τῆς δημοκρατίας ἐν τοῖς δημοσίοις τάφοις· ὅμως δὲ τὸ μὲν ἐπὶ ξένης ταφῆναι ὄνειδος, τὸ δ' ἐν τοῖς δημοσίοις τάφοις τίμιον; τί δὲ καὶ διαφέρειν ἂν δόξαι ἐπὶ ξένης ταφῆναι ἢ ἐν τῇ ἰδίᾳ; οὐκ ἀηδῶς γάρ τις τῶν Ἀττικῶν φυγάδων λοιδορουμένου τινὸς αὐτῷ καὶ λέγοντος 'ἀλλ' οὐδὲ ταφήσῃ ἐν

1 Ἡρακλῆς — 2 μετῴκει] Cratetis tragoediae argumentum a Laertio VI 98 commemoratae Teletem respicere putat Duemmler Antisth. p. 68 sq. | δὲ L | πεσὼν pro ἐκπ. A[1], corr. A[2] | θήβαις S M A θήβας L: ἐν Θήβαις vel Θήβησι coniecit Meineke. Θήβας κατῴκει ad tragici sermonis similitudinem dictum putat Blass coll. Eur. Med. 11. 'potest ἐκπεσὼν Θήβαις μετῴκει (κατ-?) ex tragoedia esse sumptum' Buecheler ‖ 2 κατώκει vel κατῴκει libri; μετῴκει Cobet | Λακεδ. — 7 οὐ μετέχει] cf. Ps. Heraclit. ep. IX p. 91, 10 et adnotationem Bernaysii | λακεδαιμόνιοι S M A[1]: λακεδαιμόνιοι δὲ L, Tr. inde A[2], vulg.; suspectior igitur particula ‖ 4 ἢ addi voluit post ξένος, item mox ante ἐξ αὐτοῦ Cobet | ἀρίστως S ‖ 7 sq. Ἀλλὰ — ὄνειδος dedimus interlocutori | τό (γε supra) L ‖ 9 εἶναι pro ἢ τίς L ‖ 10 καὶ ante τοῖς κακίστοις addi vult Cobet | σωκράτην S: σωκράτουσ M, compend. L A[1], corr. A[2]; Ἰσοκράτην ci. Cobet n. l. p. 677 ‖ 11 ἐπιλαβόμενος L ‖ 12 λέγει M | ὑπερό (inc. f. 96[r]) ὑπερόριοι τεθεαμένοι L ‖ 14 ὅμως Cobet: ὁμοίως S L A; v. ὁμοίως — 15 τάφοις interciderunt in M propter homoeoteleuton | ὅμως δὲ — 15 τίμιον] ἡγοῦνται vel νομίζουσιν aut simile quid supplendum videtur Cobeto; nihil deest, immo efficacissima oratio, modo interrogandi signum ponatur post τίμιον cum Buechelero | τὸ μὲν S L A: καὶ τὸ μὲν Tr., inde vulg. | ξένοις L ‖ 16 τί Halm lect. Stob. p. 13: ὅτι

τῇ ἰδίᾳ, ἀλλ' ὥσπερ οἱ ἀσεβεῖς Ἀθηναίων ἐν τῇ Μεγαρικῇ', 'ὥσπερ μὲν οὖν οἱ εὐσεβεῖς Μεγαρέων ἐν τῇ Μεγαρικῇ'. τί γὰρ τὸ διάφορον; ἡ οὐ πανταχόθεν, φησὶν ὁ Ἀρίστιππος, ἴση καὶ ὁμοία ἡ εἰς ᾅδου ὁδός; ἢ τὴν ἀρχὴν εἰ μὴ ταφήσῃ, τί σοι μέλει; ἀλλ' ἡ περὶ ταφῆς ἀγωνία, φησὶν ὁ Βίων, πολλὰς τραγῳδίας ἐποίησεν. ὥσπερ καὶ ὁ Πολυνείκης ἐντέλλεται

θάψον δέ μ' ὦ τεκοῦσα, καὶ σύ, σύγγονε,
ἐν γῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην
παρηγορεῖτον, ὡς τοσόνδε γοῦν τύχω
χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.

εἰ δὲ μὴ τύχοις χθονὸς πατρῴας, ἀλλ' ἐπὶ ξένης ταφείης,

SLMA | ἂν δόξαι Halm: ἂν δόξῃ SL, A[2] e corr. ἀνδόξῃ M ἐνδόξῃ A[1]; vide Tel. prol. p. XXI
2 post οὖν si quid addendum est, φησίν fuit inserendum, non ἔφη quod tacite supplevit Gesn.[1] p. 238, inde vulg. nam φησί praeferre solet Teles in apophthegmatis, vide Tel. p. 12, 4. 11. 13, 5. 11. 14 H. | μεγαρέων SMA: ἀθηναίων L || 3 διάφερον (o supra) A[1] | ἡ οὐ — 4 ὁδός] Aristippi dicto se continuit qui codicem scripsit ex quo pendent Stobaei cod. Voss. gr. O. 9 et editio Frobeniana. utrobique igitur verba Ἀρίστιππος ἔφη· πανταχόθεν ἴση καὶ ὁμοία ἡ εἰς ἅδην ὁδός (sic) leguntur in capite περὶ ξένης post ecl. 40, 7. Gaisfordi neglegentia deceptus etiam Meineke locum inter *Addenda ex ed. Frob.* rettulit v. IV p. 143. adscribuntur verba modo Anaxagorae modo Diogeni; testimonia collegit Sternbach gnomol. Vatic. 115, quibus addantur Arcesilas ap. Laert. IV 31 et Arr. Epict. diss. II 6, 18 | πανταχόσ (θ supra) L || 4 ὁδοῦ pro ὁδός M || 5 μέλει Tr., inde vulg.: μέλλει S μέλλοι L μέλλῃ M μέλλει A || 6 ἀγωνία Iacobs animadv. in Stob. p. 249: ἄγνοια SLMA | ὥσπερ καὶ κτἑ.] Bionis nomen iterans, quia ad novum argumentum transitur περὶ ταφῆς, iam cum poetis pugnat Teles sine aliena ut videtur persona, ut tamen versiculi quasi adversarii vices expleant || 7 ἐντέλλε (τ supra) L || 8 Eur. Phoen. 1447—1450 | δέ SMA[2], Eur.: om. LA[1] | μ (ε supra) L | σύ SM, sup. lin. A[1] ut videtur, Eur.: τὸ L ubi σύγγονον | 10 ὡς τοσόνδε γοῦν τύχω: γρ. καὶ (malim καὶ ⟨ὡς⟩) τοσόνδε δὴ τύχω schol. in Eur. Phoen. 1449 vol. I p. 395 Schw. | τοσοῦδε A | γοῦν M || 11 sq. κεἰ δόμους ἀπώλεσα. εἰ δὲ μὴ τύχῃς χθονὸς πατρῴας S (A[2] mrg exemplari Trincavelliano adhibito): om. LMA propter homoeoteleuton || 12 τύχοις ci. Gaisford: τύχῃς S | ταφείης Halm lect. Stob. p. 13:

τί ἔσται τὸ διάφορον; ἢ ἐκ Θηβῶν μὲν εἰς ᾅδου ὁ Χάρων πορθμεύει . . .;

καὶ γῆς φίλης ὄχθοισι κρυφθῆναι καλόν.

εἰ δὲ μὴ κρυφθείης, ἀλλὰ ἄταφος ⟨ῥιφθείης⟩, τί τὸ δυσχερές; ἢ τί διαφέρει ὑπὸ πυρὸς κατακαυθῆναι ἢ ὑπὸ κυνὸς καταβρωθῆναι ἢ ἐπάνω τῆς γῆς ὄντα ὑπὸ κοράκων ἢ κατορυχθέντα ὑπὸ σκωλήκων;

συνάρμοσον δέ μου βλέφαρα τῇ σῇ χερί,
μῆτερ.

ἂν δὲ μὴ συναρμόσῃ σου, ἀλλὰ βλέπων καὶ κεχηνὼς ἀποθάνῃς, τί ἔσται τὸ χαλεπόν; ἢ καὶ τῶν ἐν τῇ θαλάττῃ καὶ ἐν τοῖς πολέμοις ἀποθνησκόντων συναρμόζει τις; ἀλλ' ἔμοιγε δοκεῖ ταῦτα παιδιά τις ἡμετέρα εἶναι . . .

ταφήσῃ (vel *-σῃ*) SLMA; praestare fortasse *τυχήσεις — ταφήσῃ* putat Meineke male. neque *ἂν δὲ μὴ τύχῃς χθονὸς πατρῴας, ἀλλ' ἐπὶ ξένης ταφῇς* (ut infra p. 747, 10) satis placeat propter numeros iambicos

1 *ἢ* SLMA; *εἰ* oscitanter Gesn.[1], inde vulg. | *ἐκ Θηβῶν*] Thebarum fit mentio quod Thebis agitur Phoenissarum fabula | *μὲν* SLMA: *μόνον* coniecit Gesn.[2] p. 233 mrg quod receperunt Gaisford et Meineke. at *μὲν* potest verum esse, ut post *πορθμεύει* addendum sit *ἄλλοθεν δ' οὔ;* vel *ἐκ Μεγάρων δ' οὔ;* si quidem Megaris haec scripsit Teles ut visum est Wilamowitzio l. c. p. 301. cautius igitur duxi lacunam indicare post *πορθμεύει* ‖ 3 tr. gr. fr. Nauck.[2] adesp. 281 p. 893. eodem versu Crantor usus esse narratur a Diogene Laertio IV 25. olim hunc inserebant inter Phoenissarum v. 1450 et 1451 incerta coniectura. nam diversa miscent Cynici haud raro. quamquam Euripideum esse versiculum veri haud dissimile sit. infuisse ei Phoenissarum exemplari quo usi sint Teles aut quem expressit philosophus et Crantor aequalis suspicatur Wilamowitz de trag. gr. fr. p. 23 | *καὶ* libri Stobaei: *ἐν* Diog. | *φίλης* ut *η* factum sit ex *ο* S *φίλης* MA Diog.: *φίλοις* L | *μυχοῖσι* pro *ὄχθοισι* Diog. | *κρυφθῆναι* Diog.: *κρυφθῆ καὶ* S *κρύφθ^η καὶ* L *κρυφθῆ* M *κρυφθ^η καὶ* A | *καλόν* Diog.: *τάφῳ* SLMA ‖ 4 *κρυφθείης* SLMA: *κρυφθεὶς* A[2]; *κρυφθεὶς εἴης* (*ἀλλὰ* voce deleta) ci. Valckenaer perperam | *ῥιφθείης* addendum esse vidit Meineke v. IV p. LXV; *ῥιφείης* Cobet l. c. p. 123 ‖ 8 sq. Eur. Phoen. 1451 | *ξυνάρμοσον δὲ βλέφαρά μου* Eur. | *χερὶ* L: *χειρὶ* SMA 12 *καὶ τῶν ἐν τοῖς πολέμοις* L ‖ 13 *παιδειά* A[1] | post *εἶναι* non pauca

καὶ ἡμεῖς μὲν καὶ ἰδεῖν καὶ ἅψασθαι ὀκνοῦμεν· οἳ δὲ σκελετεύσαντες ἔνδον ἔχουσι ὡς καλόν τι καὶ ἐνέχυρα τοὺς νεκροὺς λαμβάνουσιν. οὕτως ἀντέστραπται τῷ ἡμετέρῳ ὁ ἐκείνων τρόπος.

9 Μουσωνίου ἐκ τοῦ Ὅτι οὐ κακὸν ἡ φυγή (Muson. rel. ed. Peerlkamp. p. 163 sqq.).

